Scholia in Pindari Epinicia ad librorum manuscriptor...

Pindar

Digitized by Google

1837
ARTES VERITAS SCIENTIA
LIBRARY OF THE
UNIVERSITY OF MICHIGAN
E PLURIBUS UNUM
TUEBOR
SI QUAERIS PENINSULAM AMOENAM
CIRCUMSPICE

Digitized by Google

SCHOLIA

IN

PINDARI EPINICIA

AD LIBRORUM MANUSCRIPTORUM FIDEM

EDIDIT

EUGENIUS ABEL.

PARS TERTIA

SCHOLIA RECENTIA.

VOLUMEN PRIUS.

BUDAPESTINI ET BEROLINI.
SUMPTIBUS ACADEMIAE LITTERARUM HUNGARICAE.
APUD S. CALVARY EIUSQUE SOCIUM.

MDCCCXCI.

SCHOLIA RECENTIA

IN

PINDARI EPINICIA

EDIDIT

EUGENIUS ABEL.

VOLUMEN PRIUS.

SCHOLIA IN OLYMPIA ET PYTHIA.

BUDAPESTINI ET BEROLINI.
SUMPTIBUS ACADEMIAE LITTERARUM HUNGARICAE.
APUD S. CALVARY EIUSQUE SOCIUM.

MDCCCXCI.

PRÆFATIO.

Eugenius Ábel, quem mense Decembri anni præteriti non sine magno litterarum nostrarum damno præmatura morte abreptum amisimus, cum laboraret morbo gravissimo, mihi mandavit, ut editionem hanc Scholiorum recentiorum in Pindari Epinicia, quam iam pridem, anno MDCCCLXXXIV in recensione critica Scholiorum veterum in Nemea et Isthmia (Berolini, apud S. Calvary et socios) viris antiquitatis studiosis promiserat, publici iuris faciendam curarem. Cui mandato post tristem viri clarissimi obitum scriptis eius in ordinem redigendis plagulisque singulis, vitia typographica ne superessent, sedulo expurgandis pro viribus satisfacere conabar. Prolegomena etiam ex commentariolis ipsius composita addere nuper in animo habui; sed cum in scriptis relictis nihil, quod ad hanc rem pertineret, invenissem, satius duxi ea omittere, quam suscipere laborem, cui præter editorem ipsum neminem parem esse cognovi. Ceterum viris doctis in hoc litterarum genere versatis tota edendi ratio ex apparatu critico uberrimo facile apparebit.

Accipite igitur, quicunque antiquitati favetis, benevolenti animo opus postumum viri ingenii acumine indefessaque veri inveniendi diligentia pariter excellentis, quem iniquo fato iuvenem obiisse cum tota doleat litterarum respublica, nos Hungari nostrum fuisse eum semper gloriabimur.

Scripsi Budapestini mense Maio a. MDCCCXC

Geyza Némethy
ph. dr. historiam litterarum Romanarum in Regia Scientiarum Universitate Hungarica privatim docens.

INDEX CODICUM COMPENDIIS SIGNATORUM.

U = Vindobonensis 130. sæc. XIII—XIV.
V = Parisinus 2403. sæc. XIII. ex.
Γ = Parisinus 2465. sæc. XIV.
Δ = Laurentianus 32, 44. sæc. XIV. ex.
Σ sive Aug. *B* = Monacensis 550. sæc. XV.
Y = Ambrosianus H. 7. inf. sæc. XV—XVI.
Φ = Ambrosianus E. 77. sup. 2. sæc. XV.
a = Leidensis Q. 38. olim Voss. 135. sæc. XV. ex.
b = Bodleianus Barocc. 62. sæc. XV.
g = Gottingensis 1. sæc. XV.
q = Vindobonensis 198. sæc. XIV.
s sive Cygn. = Cygneus.
v = cod. biblioth. Reginæ Vaticanæ 92. sæc. XIV—XV.
w = cod. biblioth. Urbinatis Vaticanæ 140. sæc. XIV.
x = Vratislaviensis biblioth. Rehdigerianæ sæc. XV. ex.
z = Hafniensis, olim Rostgaardiensis.
α' = Laurentianus conv. 94. sæc. XIV.
β' = Parisinus 2882. sæc. XV. ex.
γ' = Ambrosianus E. 8. sup. 2 sæc. XV.
ε' = Ambrosianus C. 22. sup. sæc. XIV—XV.
ζ' = Estensis III. C. 21. a. 1485.
ι' = Escorialensis O. 76. sæc. XV. ex.
ι'' = Vratislaviensis in biblioth. gymnasii Fridericiani.
μ' = Vindobonensis 219. a. 1337.
ν' sive Mosc. B. = Gottingensis in bibl. Univ. sæc. XIV.
ξ' = Parisinus suppl. Gr. 158. sæc. XIV.
π' = Marcianus 478 sæc. XV.
ο' = Laurentianus conv. 8. a. 1352.
φ' = Parisinus 2787. sæc. XIV. pr. m. sæc. XV. sec. m.

Ἐκ τῶν Σουίδα.

Πίνδαρος, Θηβαῖος, Σκοπελίνου υἱός, κατὰ δέ τινας Δαϊφάντου· ὃ καὶ μᾶλλον ἀληθές· ὁ γὰρ Σκοπελίνου ἐστὶν ἀφανέστερος καὶ προσγενὴς Πινδάρου. τινὲς δὲ καὶ Παγωνίδου ἱστόρησαν αὐτόν. μαθητὴς δὲ Μυρτίδος γυναικός, γεγονὼς κατὰ τὴν ξε΄ Ὀλυμπιάδα, κατὰ τὴν Ξέρξου στρατείαν ὢν ἐτῶν μ΄. καὶ ἀδελφὸς μὲν ἦν αὐτῷ ὄνομα Ἐρωτίων καὶ υἱὸς Διόφαντος· θυγατέρες δὲ Εὔμητις καὶ Πρωτομάχη. καὶ συνέβη αὐτῷ τοῦ βίου τελευτὴ κατ' εὐχάς· αἰτήσαντι γὰρ τὸ κάλλιστον αὐτῷ δοθῆναι τῶν ἐν τῷ βίῳ, ἀθρόον αὐτὸν ἀποθανεῖν ἐν θεάτρῳ ἀνακεκλιμένον εἰς τὰ τοῦ ἐρωμένου Θεοξένου αὐτοῦ γόνατα

---

4 *συγγενής* coni. Kuester, *προγενέστερος* coni. Bernhardy. — Post *Πινδάρου* addendum esse *τοῦ ἑτέρου* vel *τοῦ διασήμου* coni. Kuester. — *Παγώνδου* coni. Gaisford, recepit Westermann. — 5 »Pearsonus ad hunc locum sequentia notaverat: *Forte, καὶ Μυρτίδος γυναικός. μαθητὴς δὲ Λάσου ἢ Σιμωνίδου.* Cogitet lector.« *Kuester*. »Intellexit Pearsonus hæc frusta narrationis esse male disiectæ. Recte Thomas M. *οἱ δὲ Παγώνδου καὶ Μυρτοῦς*. Aliorsum vero spectat *γυναικός*: de quo coniecturam petere licebit e Corinnæ fragmento apud Apollon. de Pron. p. 325. [fr. 10 ed. Bergk.]« *Bernhardy*. — Ceterum *Μύρτιδος* pro *Μυρτίδος* tacite edidit Westermann. — 6 *τὴν οε΄* coni. Reines. — 7 *Δαίφαντος* scribendum esse viderunt critici inde a Beckio. — 10 *ἀθρόον*] »Forte *ἀθρόως*, h. e. *αἰφνιδίως*, et pendent hæc a *συνέβη*.« *Heyne*.

ἐτῶν νε´. ἔγραψε δὲ ἐν βιβλίοις ιζ´, Δωρίδι διαλέκτῳ, ταῦτα· Ὀλυμπιονίκας, Πυθιονίκας, προσόδια, παρθένια, ἐνθρονισμούς, βακχικά, δαφνηφορικά, παιᾶνας, ὑπορχήματα, ὕμνους, διθυράμβους, σκολιά, ἐγκώμια, θρήνους, δράματα τραγικὰ ιζ´, ἐπιγράμματα ἐπικὰ καὶ καταλογάδην παραινέσεις τοῖς Ἕλλησι καὶ ἄλλα πλεῖστα.

Πίνδαρος, Σκοπελίνου, Θηβαῖος, καὶ αὐτὸς λυρικός, ἀνεψιὸς τοῦ προτέρου.

Περὶ Πινδάρου. ὅτι τὰς Θήβας τὴν πόλιν Ἀλέξανδρόν φασιν εἰς ἔδαφος κατασκάψαι καὶ πλὴν ἱερέων τε καὶ ἱερειῶν τοὺς ἄλλους ἀνδραποδίσαι· καὶ τὴν Πινδάρου δὲ τοῦ ποιητοῦ οἰκίαν καὶ τοὺς ἀπογόνους τοῦ Πινδάρου λέγουσιν ὅτι ἀπαθεῖς ἐφύλαξαν αἰδοῖ τῇ Πινδάρου, ὥς φησιν Ἀρριανὸς ὁ ἱστορικὸς ἐν τῇ Ἀναβάσει Ἀλεξάνδρου.

---

1 *ἐτῶν οε´* coni. Bernhardy. — **2** Post *Πυθιονίκας* addendum esse *Νεμεονίκας, Ἰσθμιονίκας* vidit Kuester. — **4** *ἢ* post *σκολιά* addidit Daub (Jahrb. f. Philol. Suppl. 11. p. 423), improbavit Hiller (Hermes 1886 p. 358). — *ιζ* delevit Bergk in ed. p. 367. probante Hillero l. l. — **5** *ἔπη ,κ ,δ* coni. Bergk in ed. p. 367. pro *ἐπικά*, improbavit Hiller l. l. — **10** *ἱερέων τε καὶ ἱερειῶν* ex Arrhiano Exp. I, 9. Heyne pro vulgato *ἱερῶν τε καὶ ἱερέων* scribendum esse Boeckhio persuasit.

Εὐσταθίου Μητροπολίτου Θεσσαλονίκης ἔτι ἐν διακόνοις ὄντος πρόλογος τῶν Πινδαρικῶν παρεκβολῶν.

1. *῞Απαντι μὲν ποιητῇ μέμηλε τοῦ ᾄδειν, ὡς οἵ τε πρὸ Ὁμήρου ἱστοροῦνται ποιεῖν διὰ Μουσῶν μέσων καὶ εἴ τι κατ'*

De Eustathii Prooemio Commentariorum Pindaricorum hæc Aug. Boeckh in præfatione Scholiorum p. XXIX: »Eustathii interpretatio Pindaricorum in bibliotheca Basileensi extitisse dicitur, cuius præfationem satis longam et eruditam se vidisse narrat La Croze in epistola ad Io. Christ. Wolfium Thes. Epist. T. III, p. 256. sed Gisb. Cupero sciscitanti a Basileensibus responsum est, codicem illum manuscriptum in illa bibliotheca iam non exstare. V. Nov. Syll. Epist. Norimberg. Vol. I, p. 474. Quem librum aut periisse aut latere magnopere doleo.« At non periisse codicem mox a. 1832 patefactum est, quo anno Francofurti ad Moenum Eustathii Metropolitæ Thessalonicensis Opuscula accedentibus Trapezuntinæ Historiæ Scriptoribus Panareto et Eugenico e codicibus manu scriptis Basileensi, Parisinis, Veneto primum edidit Theophil. Lucas Frideric. Tafel Tubingensis, in quo libro p. 53—61 extat Commentariorum Pindaricorum præfatio cum aliis Eustathii opusculis e codice Basileensi Græco A. III. 20 signato, bombycino sæc. XII. (fol. 42b—47b) accuratissime edita. Quæ paullo emendatior et notis uberrimis instructa quinquennio post Gottingæ repetita est a F. G. Schneidewino (Eustathii Prooemium Commentariorum Pindaricorum. Edidit F. G. Schneidewin. Accesserunt: I. Supplementa corporis fragmentorum Boeckhiani. II. Exercitationum Criticarum in Poetas Græcos capita VI. VII. VIII. IX. X. XI. Gottingæ 1837). Denique ea quæ in hac diatriba ad Pindari vitam spectant excerpta leguntur in Vitarum Scriptoribus

ἐκείνας ἄλλο δαιμόνιον φῦλον πρὸς μέλος ἁρμόττεται καὶ αὐτὸς δὲ ὁ κορυφαῖος ἐν ἐκείνοις Ὅμηρος. καὶ τὸ τοιοῦτον ᾄδειν, εἴτ' οὖν ὁ μεμελισμένος λόγος, ὃ δὴ καὶ ᾠδῆς ἐστιν ὅρος, παρήγαγεν ὡς οἷα καί τις πρωτοτυπία τοὺς ῥαψῳδούς, τοὺς στιχῳδούς, τοὺς ἀρνῳδούς, τοὺς κιθαρῳδοὺς καὶ ὅσοι ἕτεροι τοιαύταις ἐναγλαΐζονται κλήσεσιν. ὅπως δὲ ᾄδοντες ἦσαν ὡς ἕκαστοι καὶ καθ' οἵας ἁρμονίας, ὧν προεῖχον τέσσαρες αὗται μάλιστα, ἡ κατὰ Ἴωνας, ἡ τῶν Δωριέων, ἡ Αἰολικὴ καὶ ἡ Λυδιστί (τὰς γὰρ ἀπ' αὐτῶν μίξεις καὶ τῆς ἀρχαίας ἐν ἁρμονίαις ὁδοῦ ἀποπλανήσεις καὶ ὅσαι δὲ ἀπὸ βαρβάρων ὡς εἰς κληρονομίαν παρενεγράφησαν τοῖς Ἕλλησιν, οὐ πάνυ τι ἐφίλουν οἱ εὐγενεῖς ᾄδειν), θεωροῦσιν ἐν τοῖς παλαιοῖς ἄνδρες πολλοί τε καὶ σοφοί, οὓς εἴ τις αἱροῖτο, ἐπερχέσθω τοῦ φιλῶς εἰδέναι χάριν· ἐπιστήμην γὰρ ἐκεῖθεν ἀναλαβέσθαι πρὸς ἀκρίβειαν οὐκ ἂν οἶμαι ῥᾴδιον εἴη (ὀκνῶ γὰρ εἰπεῖν ὡς καὶ ἀδυνάτου ἐγγύς) τοῖς καὶ αὐτὰ τὰ δάκτυλα πρὸς ἐμμελῆ κίνησιν ἀρρύθμοις καὶ οὐδὲ οἵοις τε οὖσι μουσικῆς κρατῆσαι τέχνης ὡς ἐξ ὑπαρχῆς, εἰ καὶ αὐτοὶ ἀνατεταμένοι πρὸς ὄγκον ἢ κόμπον μὴ μόνον κατὰ περιγείους μουσικῆς νόμους, ἀλλὰ καὶ κατὰ οὐρανίαν ἐμμέλειαν ᾄδειν ἂν τερθρεύοιντο, ὁποίαν τινὰ ὁ τὴν σοφίαν αἰθέριος Πυθαγόρας εἰς γῆν ἐκεῖθεν καταγαγεῖν ἐσεμνύνατο καὶ πρὸς αὐτὴν τὰ πλῆκτρα

Græcis Minoribus ab Antonio Westermann a. 1845 Brunsvigæ editis p. 90—96, et in fronte Pindari a Guilelmo Christ a. 1869 Lipsiæ editi p. XIV—XX.

Ceterum Procemium in codice, quem *C* littera notavi, non est in capitula divisum; retinui tamen procemii divisionem a Tafelio institutam atque etiam a Schneidewino servatam. Titulus in *C* et apud Tafelium *τοῦ αὐτοῦ ἐν διακόνοις ὄντος πρόλογος τῶν Πινδαρικῶν παρεκβολῶν*; mutavit Schneidewin.

p. 3, **3** *Ἅπαντι μὲν ποῆ* *C*. — p. 4, **3** *ἐστὶν* *C* et edd. — **5** *ἁρμωδούς* ex *ἀρνωδούς* m. alt. sæc. XVI. in *C*.

χειρίζεσθαι. οὔκουν ἐν τοῖς νῦν ἐπιστήμην ἐστὶν ἀναλαβέσθαι παλαιτάτην ᾠδικήν· ταὐτὸν γὰρ ἄρτι ἐνευστοχῆσαι τοῖς παλαιοῖς μεθοδευταῖς τῆς ᾠδῆς ἔν γε τοῖς κρυφιωδεστέροις, καὶ αὐτόν τινα μελικὴν ἐκκαινῆς γλαφυρὰν ἐπιστήμην ἐξευρεῖν. τὸ γὰρ ἀτριβὲς καὶ ἐκ μακροῦ ἀδιασάφητον καὶ σεσιγημένον τῶν μεθόδων, ὅθεν ἡ τέχνη κατέδυ ὡς οἷα καὶ τεθνηκυῖα, εἰς ταὐτὸν ἤγαγεν ἐν τοῖς καθ' ἡμᾶς τό τε ἐξευρεῖν ἀρχαιοπρεπεῖς ᾠδὰς καὶ τὸ συνιέναι ὧν ἐπ' αὐταῖς βαθέα τεχνολογοῦσιν οἱ παλαιοί. ἀλλ' οὕτω μὲν ποιητὴς ἅπας ᾠδικὸς κατὰ μέθοδον, ἣν εἴτε αὐτὸς ἐξευρὼν διωργάνωσεν εἴτε καὶ ἑτέρωθεν παρειληφὼς ἠκριβώσατο.

2. Ἡ δὲ λυρικὴ διαχείρισις, ἐν ᾗ προλάμπει ὁ κατὰ τοὺς σεμνολογοῦντας μεγαλοφωνότατος Πίνδαρος, ἐξαίρετόν τινα ἑτεροιότητα ᾠδικὴν ἔχει παρά γε τὰς παλαιάς, οὐ ποικίλως ἐγχρωαίνουσα, καθὰ τρέχοι ἂν Ὅμηρος καὶ οἱ κατ' αὐτόν, ἀλλ' ὁδὸν ἁπλουστέραν ἑλομένη τινὰ καὶ ὀλιγοσχιδῆ καὶ οὐδὲ ὡραϊζομένη πανηγυρικῶς οἷς ποικιλείμων πρόεισι καὶ τανύπεπλος, ἄλλως δέ πως καινοφανέστερον σφιγκτὸν ἑαυτῇ πέπλον σεμνὸν καὶ οὐδὲ εὐπάρυφον ἐκφανῶς ἐξυφαίνουσά τε καὶ ῥάπτουσα καὶ οὔτε τὸν αὐτῆς ἀνδρῶνα εἰς πολυκλίνους τόπους εὐρύνουσα, οὐδὲ μὴν εἴ τις παρ' αὐτῇ σεμνὴ γυναικωνῖτις εἰς θαλάμους οὐδ' αὐτὴν διϊστῶσα, οἳ λίαν προσήκοιεν ἂν προσώποις γυναικικοῖς εἰς κόσμον διαπρεπῶς. μισθοῦ γάρ τινος οἱ λυρῳδοὶ χοραυλοῦντες καὶ ἀπολαμβάνοντες πρόσωπα, ἐν οἷς δώρων ἁλίσκονται, λαλοῦσι γλίσχρως μέν τοι πρὸς λῆψιν καὶ τὰς γλώσσας ὡς οἷον ἐκδήσαντες τῶν τοιούτων πονοῦνται πρὸς αὐτοῖς καὶ μόνοις· ὅθεν οὐκ ἔχουσι πολυειδῆ θαμὰ τρωπᾶν ῥητορείαν κατὰ τὸν

2 ταυτὸν C. — 4 ἐκκαινῆς ex ἐκαινῆς m. alt. in C. — 6 ταυτὸν C. — 7 ※ᾠδάς et crux est etiam in margine; estne hoc corruptelae vel lacunae signum? — 18 δέ πώς C. — 21 γυναικωνίτις C. — 27 τρωπᾶν Tafel edidit. — ῥητὸ C.

πολύφωνον Ὅμηρον· ἀλλὰ κατὰ μισθωτούς τινας ενί τινι προσανέχουσιν ὡς τὰ πολλὰ προσώπῳ καὶ ὡς πρὸς ὕδωρ αὐτὸ ᾄδοντες ταχὺ ἀποῤῥέουσι τοῖς μελίσμασι καὶ τοῦ Ὁμηρικοῦ Ὠκεανοῦ μακρὰν μένοντες ἀγαπητὸν εἰ καὶ εἰς ἀξιόλογα λιβάδια καταστάζοιεν.

3. *Αὐχοῦσι δὲ ὅμως καὶ ἐν τοῖς τοιούτοις πολὺ τὸ σεμνὸν ὅσοι τοῦ κατὰ τὴν τοιαύτην ποίησιν σκοποῦ πρὸς εὐστοχίαν κατατοξάζονται, ὧν ὑπέρκειται Πίνδαρος* π ο λ λ ὰ *μέν, ὥς γε αὐτὸς ἂν εἴποι* (Ol. II. 149—152), *β έ λ ε α φ ω ν ε ῦ ν τ α ὑ π' ἀ γ κ ῶ ν ο ς φ έ ρ ω ν, οὐδὲν δέ τι τῶν τόσων βελῶν εἰς μάτην ἐπαφιείς, βαθὺς τὰς μεθόδους τῶν ῥητορειῶν πόριμος ἐμπλατύνεσθαί τε καιρίως οἷς φράζει καὶ αὖθις ἀποστενοῦν, τὸ σῶμα τοῦ λόγου ἰσχναίνων ὅποι δέον ἐστὶ καὶ τοῦτο πολυειδῶς, οἷον ποτὲ μὲν παρεκβαίνων ἔνθα προγόνων ἄλση χώραν αὐτῷ ὑφαπλοῖ περιϊέναι τὰ ἐκεῖσε κατ' ἀρετὴν κάμπειμα, ποτὲ δὲ στενολεσχῶν ἔνθα φίλωσιν εὑρίσκοι ἐν τοῖς ἐπαινουμένοις τοῦ ἀνθολογεῖν τὰ χρηστότερα· εἰπεῖν δέ, φασί, ταῦτα καὶ ἄλλως, τὸ μὲν μῆκος τοῦ λόγου διὰ βαρεῖαν ὁλκὴν δωρεᾶς (οὐδὲ γὰρ ἐλύριζεν οὐδ' αὐτὸς ἀδώρητα), τὸ δὲ ὀλιγόμηκες διὰ βραχύτητα δόσεως, οἷα συμμετρῶν τοὺς λόγους οἷς ἐλάμβανε καὶ ὡς εἰπεῖν πρὸς χεῖρας δωροφόρους λαλῶν καὶ αὐταῖς τὸ σῶμα παρεξισῶν.*

4. *Ἔστι δὲ αὐτοῦ θαυμάζειν ὥσπερ τὰ βραχυλογικά, οὕτω καὶ τὰ τοῦ πλατυσμοῦ, καθ' ὃν εὐροῶν μὲν ἐπαίνοις ὅποι ἐγχωρεῖ πλατὺς ῥέει· δυσπορίστως δὲ ἔχων ἐγκωμιάζειν ἢ ἐπιτέμνει τὸν ἐπίνικον σχάσας τὸ γραφεῖον, ὡς οἷα μηδὲ βάπτειν ἔχων αὐτὸ εἰς ἀντίχαριν χρυσοῦ ἢ τινος δωρεᾶς, ἢ ἀλλὰ παρεκβαίνει τὰ*

---

9 *φωνεῦντα*, quod in duobus codicibus Moschopuleis legitur, tuetur etiam Eustathius ad Il. E p. 402, 49. — **13** *ἰσχαίνων* C et edd. — **17** *εἰπεῖν δέ, φασί, ταῦτα* Schneidewin ex § 26. init. pro *ποιῶν δέ φασι ταῦτα.* — **25** *μὴ δὲ* C. — **26** *ἢ ἀλλὰ*] «Sic aperte MS. Ubi noli *ἢ ἄλλῃ* legere. Tritum enim apud Nostrum *ἢ ἀλλά*, coll. p. 242, 40. 245, 60.

πολλὰ εἰς μακρόν, ὡς εἶναι ἔστιν οὐ τὴν παρέκβασιν, τὸ πάρεργον τοῦ ἔργου τῆς ᾠδῆς, μείζονα καὶ προκοιλιοῦσθαι τὸ σῶμα τοῦ μέλους τῇ παρεκβάσει δίκην προγάστορος. καὶ ἔστιν οὐδὲ τοῦτο ἁμάρτημα γραφῆς τῷ Πινδάρῳ, ἀλλὰ τέχνης μέθοδος παρεκβατικὴ χαρτὰ ποιούσης αὐτῷ καὶ τὸ τοῦ λόγου ἅρμα ἐλαυνούσης μακροτέραν πρὸς ἔνδειξιν πολυμαθείας τε καὶ ἰσχύος γραφικῆς.

5. *Διττῆς δὲ οὔσης τῆς παρεκβάσεως καὶ τῆς μὲν ἀπηρτημένης πάντη καὶ ἀσυμφυοῦς πρὸς τὰ τοῦ νικητοῦ, τῆς δὲ κολλωμένης εἰς τὰ αὐτοῦ καὶ συμβαλλομένης εἰς τὸν τοῦ νικητοῦ ἔπαινον, αὕτη μὲν ὡς μέρος ἐστὶ τῆς ᾠδῆς, ἐκείνη δὲ ἄλλως ἀποσεμνύνει τὸν νικηφόρον ἀρχούμενον, εἰ τοὔδαφος τῆς Πινδαρικῆς ᾠδῆς συγκατακείμενον καὶ αὐτὸν ἔχει προσώποις ἡρωϊκοῖς, ἢ καὶ ἄλλως, ἐὰν θεῖος καί πως οὕτω σύνναος ὁ νικητὴς ἐν μιᾷ ᾠδῇ γίνοιτο προσώποις μεγάλοις καὶ ὑπὲρ αὐτὸν καὶ τὰ τῆς τιμῆς συμμερίζοιτο. λογιστέον δὲ εἰς παρεκβάσεων σύναρσιν καὶ τὰς τῶν φυλῶν ἤτοι φατριῶν μνήμας καὶ τὰς περὶ αὐτῶν ἱστορίας, ἔτι δὲ καὶ τὰς τοπογραφίας εἴ που καὶ αὐταὶ παραπέσαιεν καὶ τὰ ἐκ μύθων δὲ καὶ ἱστοριῶν παραδείγματα, δι' ὧν ἡ παρεκβατικὴ μέθοδος τῷ Πινδάρῳ ἐξανύεται.*

6. *Δῆλον δὲ ὡς καὶ ἀσάφειαν ἐπιτηδεύεται ἐν πολλοῖς·*

---

70. 247, 60. 248, 40. etc. Adde *ἢ γοῦν ἀλλὰ* 245, 70. etc. Cfr. quoque *aut vero* apud Cic. Verr. II, 4, 35.» *Tafel.* »Similiter Scholiastæ *ἢ δὲ* particulis abutuntur, velut Scholia Aristidis p. 216.» *Schneidewin.*

6 *μακρό* (supra: *τρ*) *C.* — 9 *πάντῃ* Tafel edidit. — 11 *ἔστι C.* — 18 vocabulis *ἔτι δέ* expl. fol. 43*a*, fol. 43*b* inc. *καὶ τὰς περὶ αὐτῶν ἱστορίας, ἔτι δέ*, quæ tamen ab eadem manu deleta sunt. — *τύπογραφίας C*, sed *ὁ* refinxit m. alt., quid manus pr. scripserit incertum est. — 18. 19 *παραπέσαιεν*] «An *παραπέσοιεν*? Sed cfr. Buttmann. Ausf. gr. Sprachlehre I. II, p. 217 sq.» *Tafel.*

καὶ οὕτω πλουτῶν ἐν τῷ γράφειν ὅμως καὶ ταὐτολογεῖ νόμῳ ῥητορικῷ ποτὲ μὲν ἐν τοῖς ἔγγιστα, ποτὲ δὲ πορρώτερον.

7. Κατείληπται δὲ καὶ ἄριστα γνωμολογῶν τὰ μὲν καὶ ἐκ παλαιτέρων παραποιῶν, τὰ δὲ καὶ αὐτὸς ἀποφαινόμενος. φιλοτιμεῖται δὲ καὶ μύθοις καὶ ἱστορίαις, ἐκεῖνο μὲν ποιητικώτερον, τοῦτο δὲ πρὸς ἀλήθειαν, ἧς ἐφίενται οἱ σοφοί.

8. Καὶ μὴν εἰ καὶ δωρίζει, οὐχ ἥκιστα δὲ καὶ αἰολίζει, ὅμως οὐδὲ τῶν ἄλλων διαλέκτων ἀπέχεται λόγῳ κοινῆς, καθάπερ οὐδὲ γλωσσῶν τῶν ἰδίως. ποιεῖ δὲ αὐτὸ μετεωριζόμενος εἰς πολυειδὲς μέγεθος λυρικῷ χαρακτῆρι· διὸ καὶ ἀττικίζων, φιλῶν δὲ καὶ τὴν σαφήνειαν τὴν τῶν Ἑλληνικῶν καλιῶν οἷον ψυχήν, ἵνα μὴ ἄψυχα γράφῃ καὶ πάντῃ ἀγλευκῇ, ἀνθολογήματος τοιοῦδε γλυκέος ἀποστερῶν τὰ σύμβλα τῆς αὐτοῦ ποιήσεως, ὅμως βραχέα τοῖς τοιούτοις ἐντρέχων ταχὺ μεταπηδᾷ διαλέκτοις τε φίλαις αὐτῷ ἰδιάζων τοὺς λόγους καὶ μὴν καὶ τοὺς κοινοὺς παρεκκλίνων σχηματισμούς, δι᾽ αὐτὸ δὲ οὐδὲ τῇ γοργοτάτῃ κατακόρως χρώμενος καὶ μάλιστα τῇ κατὰ κόμματα καὶ ὅσῃ δὲ περὶ λέξεις γλισχρεύεται.

9. Καὶ τὴν σκωπτικὴν δὲ φιλῶν πολύτροπον καὶ ταύτην διαχειρίζεται γλυκασμοῦ χάριν πῇ μὲν κατὰ ὁμοτέχνων, πῇ δὲ καὶ ἑτεροίως. ὡς δὲ καὶ ἐπιχειρηματικός ἐστιν ὅτι μάλιστα καὶ εὔπορος ἐπὶ πᾶν καὶ ὡς ἀπρόσιτος μὲν καὶ θύρας ἐπιτεθειμένας ἔχων τοῖς ὅ φασι βεβήλοις τὰ εἰς ἀγροικίαν, τοῖς γε μὴν συνετοῖς ἀείδων χαρίεντα, οἳ τὸ λαβυρινθῶδες τῆς ἐν αὐτῷ φράσεως καὶ τοῖς πολλοῖς ἀδιόδευτον ἀπευθύνουσι καὶ τὰς ἕλικας περιοδεύοντες ἕως καὶ ἐνδοτάτου, εἶτ᾽ αὖθις ἀνελίττουσι καὶ οἴκοι κατ᾽ ἔμφρονα νοῦν ἀποκαθίστανται· καὶ ὡς ἱλαρύνει

1 ταυτολ. C et edd. — 3 καὶ ex C addidi. — τα μὲν C. — 7 οὐχήκιστα C. — 12 πάντῃ Tafel, πάντα Schneidewin ed. — 15 τὲ C. — 21 ὅτιμάλιστα edd. — 26 $\overset{\text{ττ}}{\text{ἐνδο}}$ εἶτ᾽ C.

μὲν ἀκοὴν οἷς καὶ ξυνετὰ λαλεῖ καὶ πρὸς γλύκασμα, ἐκπλήττει δ' αὖθις οἷς καὶ τὴν φράσιν κατὰ πολυτροπίαν στρυφνοῖ ἑτέρωθι καὶ λέξεις δὲ τὰς ἐκ τριόδων ἀποῤῥίπτων παρεμπλέκει που καὶ ἃς ὁ τὴν ἀρχὴν ἀκούσας πάνυ ἐπαπορεῖ· ἔτι δὲ καὶ ὡς τοῖς ἐπιθέτοις παμποίκιλός ἐστι καὶ ὅσα δὲ ἄλλα πρὸς ἀρετὴν ποιήσεως ἔστιν αὐτῷ ἐπιγράψαι, ἡ τῆς ἀναγνώσεως ἐκκαλύψει διέξοδος. ἧς προληπτέον καὶ ταῦτα πάνυ ἀναγκαίως εἴς τε σαφήνειαν πλείονα τῶν προσεχῶς δεδηλωμένων καὶ εἰς θεωρίαν ἐντελεστέραν, ἣν οὐκ ἂν ἐρεῖ τις ἀπᾴδειν πρὸς τὰ τοῦ λυρικοῦ.

10. *Ὁ προκεχειρισμένος εἰς παρεκβολὴν μελικός, οὗ τὸ τῆς μεταλλείας πολύσχημον φαίνεται, πολύνους ὢν ἐφ' ἅπασιν ἐν μὲν διηγήσεσι καὶ ἑτέραις οὐκ ὀλίγαις ἐννοίαις ἀσαφέστερον διάκειται καί, ὡς αὐτός πού φησιν* (Ol. II. 154. 155), *ἑρμηνέων ἐς τὸ πὰν χατίζει. πὰν ἐκεῖνος ἐνταῦθα λέγων οὐ τὸ ἁπλῶς καθόλου, ἀλλὰ τὸ μεθ' ὑπεξαίρεσιν τῶν συνετῶν, ὅ ἐστι συνιέντων, ὡς λογιωτέρων, ὧν περιαιρεθέντων τῆς τῶν ἀκροατῶν ὁλότητος τὸ ἐπίλοιπον ἀλλὰ καὶ αὐτὸ πᾶν ἐστιν ἀπέριττον μέντοι κατὰ γνῶσιν καὶ δι' αὐτὸ ἑρμηνέων χατίζει. καὶ οὕτω μὲν ἐν ἄλλοις ὁ Πίνδαρος ἀσαφῶς ἐθέλει γράφειν ὡς ἑρμηνέων δεῖσθαι ἐς τὸ πὰν, καθὰ εἴρηται. ὅτε δὲ θαυμαστῶς γνωμολογεῖν δεήσει καὶ ἄλλως δὲ εἰπεῖν τι ἀστεῖον, τότε δὴ βιάζεταί πως εἰς τὰ πολλὰ ἠρέμα πρὸς σαφήνειαν ἑαυτόν, ὡς ἂν τὸ καλὸν εἴη κάλλιον παρ' αὐτῷ καὶ μὴ λανθάνοι ἀσαφείᾳ βαθείᾳ ἐπηλυγαζόμενον, ὅσα καὶ φῶς νέφει τινί.*

11. *Γίνεται δὲ αὐτῷ ἡ ἀσάφεια, ἣν ἐπίτηδες πολλὴν ἐπισύρεται, ἔκ τε συντάξεων ἀσυνήθων κατ' ἰδιότητα σχήματος φίλην αὐτῷ, ἃς ἀναστρέφειν χρὴ πρὸς ὀρθότητα φράσεως, καὶ ἐκ τοῦ*

---

4 *ὡς* supra lineam est in *C.* — 5 *πάνυ ποικίλος ἐστὶ* edd. — 6 *ἐστὶν* edd. — 13 *πού φησὶν C.* — 20 *εἰς τὸ* edd.

χρῆσθαι ἀντὶ ὅλων τοῖς μερικοῖς. ὃ ζηλοῖ ὡς μάλιστα καὶ Λυκόφρων ἐν τοῖς ὕστερον. παραδείγματα τοῦ μὲν Λυκοφρονείου ζήλου ἐν τοῖς ἑξῆς μυρία Πινδαρικὰ φανεῖται, τοῦ δὲ τάσσειν ἀσυνήθως καθ' ὑποταγὴν τῶν ὀφειλόντων προτάττεσθαι τὸ ἐνίκησαν οἵ (Fr. 12 ed. Bergk.), ἤγουν οἵτινες ἐνίκησαν· καὶ τὸ ἔπαθον αἳ μεγάλα (Ol. II. 40. 41), ἤγουν αἵτινες ἔπαθον· καὶ καμόντες οἳ πολλά (Ol. II. 15), ἤγουν οἳ καμόντες· καὶ ἐν καὶ θαλάσσῃ (Ol. VII. 47)· καὶ ἐν καὶ τελευτᾷ (Ol. II. 51)· καὶ τεκεῖν μή τινα (Ol. II. 168) καὶ ὅσα τοιαῦτα.

12. Ἔτι δὲ ἀσαφὲς αὐτῷ σὺν ἄλλοις καὶ τὸ ἐν στοιβῇ ἀποφάσεων μίαν παραλείπειν ὡς νοουμένην κατὰ κοινοῦ καὶ αὐτὴν ἐκ τῶν ἐφεξῆς ἐκπεφωνημένων, οἷον ἄδικον οὔτε ὑπέροπλον ὕβριν δρέπων (Pyth. VI. 47. 48), ἤγουν οὔτε ἄδικον ὕβριν οὔτε ὑπέροπλον. καὶ πάλιν ναυσὶ δ' οὔτε πεζὸς ἐὰν εὕροις ἐς Ὑπερβορέους ὁδόν (Pyth. X. 46. 47), ἤγουν οὔτε ναυσὶν οὔτε πεζῇ ὁδεύσαις ἂν ἐς Ὑπερβορέους. καὶ ἑτέρωθι δὲ (Pyth. X. 64. 65) νόσοι οὔτε γῆρας οὐλόμενον κέκραται γενεᾷ, ἤγουν οὔτε νόσοι οὔτε γῆρας. τοῦτο δὲ τὸ σχῆμα καὶ τοῖς ὕστερον ἐζήλωται, οἷον ξίφος οὐδὲ πῦρ οὐδ' αἰκισμός, ἤγουν οὐ ξίφος, οὐ πῦρ, οὐκ αἰκίαι. τοιοῦτόν τι καὶ τὸ βαρουμένη γαστὴρ οὐ μόνον πρὸς δρόμον, ἀλλ' οὐδὲ πρὸς ὕπνον ἐπιτηδεία. τὸ γὰρ ἐντελὲς οὐ μόνον οὐ πρὸς δρόμον ἐπιτηδεία. ἔχοι δ' ἂν οὕτω συμβιβάσαι τις καὶ τὸ ἐπ' οὐδενὸς οὖν τῶν ἁπάντων ἔστιν, ἐφ' ὅτῳ οὐχὶ

---

1 χρᾶσθαι est fort. in *C*. — 4 vocem ἀσυνήθως in *C* m. alt. refinxit. — 9 τελεῖν *C* et Tafelii editio. — 14 apud Pindarum ἥβαν legitur; «error Eustathii ortus ex itacismo, quum ἥβην scriptum esset.» *Schneidewin*. — 17 ὁδεύσαις coni. Hermann. — 6 «Induxi quæ

τῶν ἁπάντων. ἀρνήσεως γὰρ ἔνδειαν τὸ πρῶτον ἔχειν δόξοι ἂν κόμμα νοουμένης ἀπὸ κοινοῦ ἐκ τῆς κειμένης ἐν τῷ δευτέρῳ. Πινδαρικὸν δὲ καὶ τὸ Διῒ καὶ σὺν Αἰακῷ (Pyth. VIII. 142. 143), *ἤγουν σὺν Διῒ καὶ σὺν Αἰακῷ. καὶ ἐν αὐτῷ γὰρ ἀπὸ κοινοῦ λαμβάνεται, ὡς καὶ ὀπίσω τὸ τεθὲν ἔμπροσθεν, ἤγουν ἡ σ ὺ ν πρόθεσις.*

13. *Ἔστι δὲ καὶ διὰ τὸ λίαν περιφραστικὸν ἀσαφὴς ὁ Πίνδαρος, ὃ τεχνᾶται δεξιώτατα εἰς ἑαυτόν τε τοῦτο ποιῶν καὶ εἰς τὰ τῶν ἄλλων.*

14. *Ὅτι δὲ ὥσπερ ἡ πυκνὴ περίφρασις παρ' αὐτῷ ἀσάφειαν ποιεῖ, οὕτω καὶ ἡ συντομία, καθ' ἣν καὶ στενολεσχεῖ που ὁ ἐν πολλοῖς πλατύνεσθαι τεχνώμενος,*

15. *καὶ ἡ καινότης δὲ τῶν διαλέκτων, δι' ἧς καινοφραδής ἐστι καὶ ἀλλόκοτος εἰς ἀκοήν, ἡ τοῦ βιβλίου δηλώσει ἀνάγνωσις.*

16. *Καὶ ἐπιθέτων δὲ πόριμος ἐπινοητὴς ὁ αὐτὸς διεκπέφηνεν, ὡς ὅτε δίχα μυρίων ἄλλων τὸ γενναῖον κρατησίμαχον* (Pyth. IX. 150) *λέγει, καὶ ἵππον κρατησίποδα* (Fr. 13) *τὸν δρόμῳ νικήσαντα, πρὸς ὁμοιότητα τοῦ χαλκόποδες ἵπποι καὶ τοῦ κραταίποδες· καὶ πόλεμον χαλκεντέα* (Nem. I. 24), *καὶ λαὸν ἱππαιχμον* (Nem. I. 25), *ὡς πρὸς τὸ ἱπποκορυστήν· καὶ φόβον ἀνδροδάμαντα* (Nem. III. 67), *ὡς εἴ τις εἴποι λαοδάμαντα· καὶ Δία εὐρύζυγον* (Fr. 14) *ἄλλως παρὰ τὸ ὑψίζυγον· τὸν δ' αὐτὸν*

---

legebatur post vv. *τῶν ἁπάντων* negationem *οὐκ*: postulabat mens Grammatici. Ipsum acutulum dictum neque cuiatis sit indagare potui neque quid sibi velit.» *Schneidewin.*

3 *καὶ* post *Διῒ* Hermann addidit. — 4 *σὺν* ante *Αἰακῷ* ex C est. — 8 *ἑαυτὸν τὲ C.* — 13 Ante *καὶ ἡ* male a Tafelio novi paragraphi signum positum esse vidit Schneidewin, qui v. 12 pro colo, quod post *τεχνώμενος* legebatur, comma posuit.

καὶ ὀρσίκτυπον (Ol. X. 97) καὶ ἐρισφάραγον (Fr. 15) καὶ ὀρσινεφῆ (Nem. V. 63) καὶ αἰολοβρόντην (Ol. IX. 64) καὶ φοινικοστερόπαν (Ol. IX. 10), καὶ Ἀθηνᾶν δὲ ἐγχεἰβρομον (Ol. VII. 78) καλεῖ ἐπιθετικῶς, καὶ αἰχμὴν δαμασίμβροτον (Ol. IX. 119) καὶ ἀλιερκέα Αἴγιναν (Ol. VIII. 34), ὡς εἴπερ ἔφη ἀμφίαλον· καὶ κρατησιβίαν χερσὶ (Fr. 16) τὸν ῥωμαλέον, καὶ ἁρμασιδούπους (Fr. 17) τοὺς ἱππικωτάτους, καὶ ἐλασίχθονα Ποσειδῶνα (Fr. 18) τὸν ἐννοσίγαιον, καὶ ἑλικοβλέφαρον Ἀφροδίτην (Fr. 123, 5), καὶ ζωθάλμιον χάριν (Ol. VII. 19. 20), καθ' ἣν ζῶν τις θάλλει· καὶ ἀγῶνα δὲ μνησιστέφανον (Fr. 19), ὃν καὶ ἑτέρως κατὰ λόγον δριμύτατον μνηστῆρα στεφάνων (Fr. 20) εἶπεν, ὥς που καὶ αὐλητικὸν νόμον μνηστῆρα ἀγώνων (Pyth. XII. 41. 42) ἔφη, ἤγουν εἰς μνήμην ἄγοντα τοὺς ἀγῶνας· καθὰ καὶ λαὸν μνηστῆρα πολέμου (Nem. I. 24) δριμέως πού φησι τὸν μεμνημένον μάχης, παρὰ τὸ μνήσασθε δὲ θούριδος ἀλκῆς. πολλαχοῦ δὲ καὶ δριμέως γράφει μηδὲ μιᾶς τῶν ῥητορικῶν ἰδεῶν ἀπεχόμενος, ὡς καὶ ὅτε τοὺς ἐνδόξους εὐωνύμους φησί (Ol. II. 13), καὶ λιτὴν δὲ Ἠῶ (Fr. 21) τὴν εὐκταίαν καί, ὡς ἄν τις Ὁμηρικῶς εἴποι, πολύλλιστον, εἴτε καὶ καθ' ἑτερόν τινα τρίλιστον. τοιοῦτον δέ τι καὶ τὸ σθένει ἀντιάνειραν (Ol. XII. 23) φάναι Ὁμήρου Ἀμαζόνας ἀντιανείρας εἰπόντος. ὅλως δὲ καὶ ἡ φιλοτιμία τῶν καινοφώνων ἐπιθέτων ἐπιτετήδευται τῷ Πινδάρῳ τὰ πλείω ἐκ παραποιήσεων καὶ ὁμοιώσεων παλαιῶν. καὶ δοκεῖ ὁ ἀνὴρ κἀνταῦθα μὴ ἐθέλειν ποιηταῖς ἑτέροις φανερῶς ἐπακολουθεῖν, εἰ δέ που καὶ ἄλῳ ἐφεπόμενος, ἔχειν ἐκτροπάς τινας, δι' ὧν ἄλλην τινὰ τρέπεται παρὰ τὰς λεωφόρους.

1 ὀρεσίκτυπον C et Tafelii editio, corr. Hermann apud Tafelium. — 16 που φησὶ C. — 18 μὴ δὲ μιᾶς C; — num μηδεμιᾶς scribendum? — 21 πολύλλιστον Schneidewin pro πολύλιστον. — 27 ἀλῶ C et edd.

17. *Ἔστι δὲ πρὸς τούτοις καὶ ἀλληγορικὸς ὁ ἀνὰ χεῖρα μελοποιὸς καθ' ἑκατέραν ἀλληγορίαν τήν τε κατὰ ῥήτορας, ἣν καὶ Ἑρμογένης οἶδε καὶ οἱ Ὁμηρίζοντες, καὶ ἣν πραγματεύονται οἱ τὰ μυθικὰ θεραπεύοντες. εἰ δὲ σκληρῶς ἀλληγορεῖ τὰ πλείω, ἀλλὰ καὶ οὕτως ἡδὺς δοκεῖ, ὡς καὶ ἁπλῶς λυρικὸς καὶ ὡς Πίνδαρος ἰδιότητα σώζων, ἣν αὐτὸς εἵλετο, οὐκ ἐκπίπτων ἄκων εἰς ψυχρίαν, ἀλλὰ σκοπὸν αὐτὸ προθέμενος καὶ εὐστοχῶν εἰς γραφῆς ἰδιότητα δυσμίμητον· καθ' ἣν καὶ τὴν τροπὴν πάνυ φιλῶν, ἧς ἄνευ οὐκ ἂν συσταίη οὔτε λόγος ῥητορικὸς οὔτε ἄλλη τις ὁμιλία, ἐπεκτείνει καὶ τὰ τῆς τροπῆς δι' ἀλληγορίας ἐχούσης τι καὶ σκληρότητος, εἰς παράσημον ἑαυτῷ καὶ τοῦτο τιθέμενος.*

18. *Ἐμμετριάζει δὲ καὶ ἐκφράσεσι καὶ προθεωρίαις δέ που διαφωτίζει ῥητορικῶς τὰ γραφόμενα.*

19. *Παρεκβαίνει δὲ καὶ εἰς παλαιὰς ἱστορίας οἷα καὶ πολυίστωρ, ἔτι δὲ καὶ εἰς μύθους τρόποις πολλοῖς, ἐνίοτε καὶ ὑπὲρ τὸ μέτριον, χρώμενος ταῖς μὲν τῶν παρεκβάσεων οὐ κατά τινα ἐκφανεστάτην συνάρτησιν, ταῖς δὲ διὰ παραδειγματικὴν ἀνάγκην, τισὶ δὲ καὶ πρὸς γνωμολογικὴν πίστωσιν, ταῖς πλείοσι δὲ δι' ἐγκώμια προγόνων ἢ πατρίδος ἢ φατριᾶς τοῦ νικητοῦ.*

20. *Οὕτω δὲ στρυφνῶς φράζει ταῖς ἐννοίαις κατὰ πολύνοιαν, ὡς ἔργον εἶναι πολλαχοῦ μιᾷ τινι σταθερῶς ἐννοίᾳ ἐνευστοχῆσαι τὸν ἀναγινώσκοντα διὰ τὸ οὕτω καὶ οὕτω νοεῖσθαι αὐτὴν κατὰ τὰ ἐν χρησμοῖς ἀμφίβολα. πολλὰ δὲ τῶν τοῦ Πινδάρου καὶ γνωμικῶς δοκοῦντα λέγεσθαι ὅμως καθ' ἑτεροίαν ἐπιβολὴν εἰς ἰδίαν ἔννοιαν ἕλκονται. ἔστι δὲ δεινὸς καὶ οὐ μόνον τὸ ἓν ἐπεκτείνειν παραφράσεσι καὶ περιφράσεσι καὶ τισιν ἑτεροίαις μεθόδοις, ἀλλὰ καὶ τὰ πολλὰ συναιρεῖν εἰς κομιδῇ βραχύ.*

---

7 *αὐτὸ*] *ἑαυτῷ?* cf. v. 11. — **12** *ἐμμετριάζει*, quod etiam in *C* extare videtur, Schneidewino debetur; *ἐμμετεργάζει* Tafel edidit. — **19** *ἢ πατριᾶς* *C* et Tafel. — **26** *καὶ* $\overset{\epsilon\rho}{\pi}$ *φράσεσι* *C*.

Ὁμήρου γοῦν χάλκεον οὐρανὸν φαμένου καὶ θεῶν ἕδος ἀσφαλὲς καὶ χρύσεον δάπεδον, αὐτὸς ἐπιτεμὼν ταῦτα συνεῖλεν εἰς τὸ χαλκόπεδον θεῶν ἕδραν (Isthm. VII. 62) *τὸν οὐρανὸν φάναι. ἔστι δὲ καὶ ἐπιτυχὴς ταῖς γνώμαις καὶ ὑψηλός, οἷα μὴ μόνον εὐφυής, ἀλλὰ καὶ μεγαλοφυής.*

21. *Αἰολίζει δὲ τὰ πολλά, εἰ καὶ μὴ ἀτριβῆ δίεισιν Αἰολίδα, καὶ κατὰ Δωριεῖς δὲ φράζει, εἰ καὶ τῆς σκληροτέρας Δωρίδος ἀπέχεται, καθ' ἣν παίζει ὁ Κωμικὸς ἔν τε ἄλλοις καὶ ἐν τῷ Μῶα* (Lys. 995), *πᾶα* (Lys. 1298), *ὅ ἐστι Μοῦσα, πᾶσα. εἰ μή τις τοιοῦτόν τι ἐρεῖ παρ' αὐτῷ εἶναι τὸ ἐπιτόσσαις* (Pyth. X. 52), *ὅ ἐστιν ἐπιτυχών, καὶ τόσσαι καλῶν* (Fr. 22), *ἤγουν ἐπιτυχεῖν· καὶ τὸ ἀμεῦσαι, ὅ ἐστι παρελθεῖν καὶ νικῆσαι, οἷον ἀμεύσασθαι Νάξιον Τίσανδρον* (Fr. 23), *ὅθεν καὶ ἀμευσιεπῆ φροντίδα* (Fr. 24) *φησὶ τὴν ταχέως εὑρετικὴν διάνοιαν· καὶ ἀμευσίπορον τρίοδον, καθ' ἣν ἀμείβεται πορεία, ὡς ἄγεσθαι εἰς ταὐτὸν παρὰ τούτῳ τὸ ἀμείβειν καὶ τὸ ἀμεύειν. εἴη δ' ἂν ὁμοίως παρ' αὐτῷ ἀσαφὲς καὶ τὸ αἶτος* (Ol. III. 30), *ὅπερ ἐστὶν ἐνδιαίτημα, καὶ τὸ πέδοικος* (Fr. 25), *ὅ ἐστι μέτοικος, καὶ τὸ πέδα στόμα φλέγει* (Fr. 26), *ἀντὶ τοῦ μετὰ στόμα, καὶ τὸ πεδασχεῖν* (Fr. 27), *ἤτοι μετασχεῖν. τὸ μέντοι ἐρίξαι, ἤγουν εἰς ἔριν κινῆσαι, οἷον οὐ ψεῦδος ἐρίξω* (Fr. 11), *ἤγουν οὐ πρὸς ψεῦδος φιλονεικήσω, οὐχ οὕτως ἀσαφές, οὐδὲ τὸ τιμῇ καὶ νικῇ ἀντὶ τοῦ τιμᾷ καὶ νικᾷ (ὧν ἀπαρέμφατα εἴη ἂν τιμῆν καὶ νικῆν), οὐδὲ τὸ ὄρνιξ, ὄρνιχος, δωρισθὲν καὶ αὐτό. ἀλλὰ ἡ αἱμακουρία* (Ol. I. 146) *καὶ τὸ ἀκασκᾶ* (Fr.

---

3 *χαλκόπεδον* Schneidewin pro *χαλκεόποδα*. — 8 *ἔν τε ἄλλοις* in *C* in marg. postea a librario additum est. — 9 Comma post *Μῶα* et *Μοῦσα* Schneidewin addidit. — 16 *εἰς αὐτὸν C*. — 19 *πεδὰ C*. — 20 *μετὰ* Hermann pro *κατὰ*. — 24. 25 Verba *τιμῇ—οὐδὲ τὸ* in *C* in margine scripta sunt. — 26 *ἀκασκὰ C*.

28) (ὃ δηλοῖ τὸ ἡσύχως, ὅθεν ἴσως καὶ ὁ παρ' Ὁμήρῳ ἀκάκητα) κατὰ τὰ πρὸ τούτων δεδώρισται; ὡς καὶ ἡ κατὰ ἔκθλιψιν ἀσυνήθη πέροδος (Nem. XI. 51), ἤγουν περίοδος· καὶ ὁ κεχλαδὼς (Ol. IX. 3) δὲ ἡ μετοχὴ δοκῶν παρακεῖσθαι τῇ χλιδῇ καινότατα παράκειται, τά τε ἄλλα καὶ διότι μὴ διὰ τοῦ η περιάγει τὴν χλιδὴν κατὰ τὸ δᾶμος, δῆμος. οὕτω δὲ καὶ τὸ πρὰν Δωρικὸν ἀποροῖτο ἄν, διὰ τί μὴ περιήγαγε τὸ πρὶν εἰς τὴν διὰ τοῦ η γραφήν. ἔτι οὐ τέτριπται εἰς κοινὴν σαφήνειαν οὐδὲ τὸ λέγειν Πινδαρικῶς ἄποινα τὴν ἀγαθὴν ἀμοιβήν, ὅ ἐστιν ἀντίχαριν ἔπαθλον. μάλιστα δὲ ἄτριπτον εἰς συνήθη γνῶσιν τὸ ἀρμῷ, ἤγουν ἄρτι, ὃ παρ' ἑτέροις ἀρμοῖ λέγεται, ὡς καὶ παρὰ Λυκόφρονι (v. 106) γινόμενον, ὅθεν καὶ τὸ ἀρτίως, οἷον Ἐλπίσιν ἀθανάταις ἀρμῷ φέρονται (Fr. 10), καὶ τὸ ἔπει δὲ ἀντὶ τοῦ ἔπειτα ἡ ἀποκοπὴ καινὸν παρ' αὐτῷ ποιεῖ· ὥσπερ καὶ ἡ ἔλλειψις τὸ ἃς (Ol. X. 61), ἀντὶ τοῦ ἕως, οὗ χρῆσις καὶ παρὰ τῷ εἰπόντι ἃς γόνυ χλωρόν (Theocr. XIV. 70), ἤγουν ἐφ' ἧς ἡλικίας καὶ ἕως νεάζει

---

5 Delevi colon post ἄλλα. — 6 προάγει C et edd. — 7 πράν] «Neque utitur Pindarus neque hoc videtur velle Eustathius» *Schneidewin*. Bergk (p. 378) verba οὕτω δὲ καὶ — γραφήν obscuritate laborare affirmat erroremque subesse conicit; male. Eustathius enim propter κεχλαδώς a χλιδή ductum χληδή, non χλιδή, et propter πράν pro πρίν potius πρήν scribi vult. — 11 ἀρμοῖ C, ἀρμῷ tacite edd., hic et infra v. 13, et ἁρμῷ etiam Bergk edidit. Sed confer Etym. M. 144, 47 : Ἀρμός, ἀρμοῖ, ἀρμῷ· αὕτη ἡ δοτικὴ μετῆλθεν εἰς ἐπιῤῥηματικὴν σημασίαν καὶ ἐφύλαξε τὴν αὐτοῦ γραφήν, οἷον ἀρμῷ, σημαίνει τὸ ἀρτίως· . . . . οὕτω Θέων ὁ Ἀρτεμιδώρου· προστίθησι δέ, ὅτι τὸ ἀρμοῖ ψιλούμενον μὲν σημαίνει τὸ ἀρτίως, δασυνόμενον δὲ τὸ ἁρμοδίως. Et Eust. ad Il. p. 140, 17 : Τὸ ἀρμοῖ ἐπίῤῥημα, ὃ δηλοῖ νεωστί, διφορεῖται μὲν κατὰ τοὺς παλαιούς, ἡ δὲ πλείων χρῆσις δασύνει αὐτό («consentiunt Scholl. Il. A. 486» *Schneidewin*). — 14 ἔπει] «In iis quæ supersunt frustra quæras : opinor et in iis quæ interciderunt. Quanquam etiam Hesychius v. ἔπει inter alias glossas annotavit hanc : ἢ ἔπειτ. Scr. ἔπειτα.» *Schneidewin*.

τις. οὕτω δὲ καὶ παρὰ τῷ Πινδάρῳ καὶ παρ' ἄλλοις ἡ ἔλλειψις καινοποιεῖ καὶ τὸ ᾧ, ἀντὶ τοῦ καθά, οἷον ᾧ τ' ἀπὸ τόξου ἱείς (Nem. VI. 47), *ἤγουν ᾧ τρόπῳ ἢ νόμῳ, ἵνα λέγῃ, ὅτι ὡς τοξεύων κατ' εὐθὺ λόγοις ἐπαίνων καὶ μὴ πλαγιάζων παρεκβάσεσιν, ἵνα ᾖ τὸ ᾧ ἀπὸ τόξου ἱεὶς ταὐτὸν τῷ ᾗ, ὅπερ ἐστὶ θηλυκῶς, ἀντὶ τοῦ καθά. ἀσύνηθες δὲ καὶ τὸ τὴν Τροίαν Τρωΐαν Πινδαρικῶς λέγεσθαι κατ' ἔκτασιν τῆς ἀρχούσης, καὶ τὸ ἐκεῖθεν ἐπίῤῥημα Τρωΐαθεν* (Nem. VII. 60). *ἐπὶ πλέον δὲ ἀσύνηθες καὶ τὸ ξυνᾶνα λέγειν τὸν κοινωνόν, ὡς ἀπὸ τοῦ ξυνὸς ὁ κοινός· ἵνα εἴη ὥσπερ ἐκ τοῦ ἄλκιμος ἀλκιμάν, ὅθεν Ἀλκμάν, οὕτω καὶ ἐκ τοῦ ξυνὸς ὁ ξυνάν. Ἄκαστον γοῦν τὸν βασιλέα Μαγνήτων βίου ξυνᾶνα λέγει τῇ αὐτοῦ γυναικί* (Nem. V. 50).

22. *Συχναὶ δὲ καὶ ἀποστροφαὶ παρὰ Πινδάρῳ, ἃς καὶ Ὅμηρος ἐν Ἰλιάδι φιλεῖ· ἔτι δὲ καὶ στροφαὶ ἐννοιῶν, ὃ καὶ ποικιλίαν παραποιητικὴν ἐν αὐτῷ ἐργάζεται. εὕρηται δὲ καὶ περιαυτολόγος ἐν πολλοῖς φιλοτιμότερον καὶ σκωπτικὸς δὲ τῶν ἀντιτέχνων ὁμοίῳ λόγῳ καὶ ἀμφίγλωσσος δὲ ἐν οὐκ ὀλίγοις· ὅς γε πῇ μὲν τὴν εὐφυίαν ἐπαινεῖ καὶ τὸ αὐτομαθές, ὡς καὶ αὐτὸς πολλὰ εἰδὼς φυᾷ* (Ol. II. 155), *πῇ δὲ τὰ κατὰ μάθησιν διδακτά. καὶ εὐδαιμονίαν δέ που πρὸς τοὺς ἐπαινουμένους μετρῶν ποτὲ μὲν ταύτην λέγει, ποτὲ δ' ἐκείνην· οἷον ποτὲ μὲν πλοῦτον ἢ τιμήν, ποτὲ δὲ σὺν τούτοις καί τι ἄλλο ἀγαθόν.*

23. *Πλουτεῖ δὲ καὶ πολὺν ὄγκον αὐτῷ ἡ φράσις καὶ οὐδὲ*

---

2 *ᾧ* et *ᾧ τ'* C, vix recte, uamquam etiam apud Pindarum *ᾧτ'*, quod primus Triclinius scripsit, cum cod. B *ᾦτ'*, cod. D *ᾧ τ'* tueatur, editores plurimi receperunt. — 4 *κατευθύ* ex *κατ' εὐθύ* C. — 5 *ταυτὸν* C. — 6 *ἢ* C. — 13 »Nem. V. 27. Acastum appellat *ξυνᾶνα Μαγνήτων σκοπόν*. At Eustathius alium locum videtur significare.« *Schneidewin.* Contra Bergk ad Nem. VII 50 vidit *βίου* apud Eustathium interpretis esse, non poetæ.

λαλεῖν ἐθέλει κατὰ τοὺς πλείονας· ἀλλ' ἔστιν αὐτῷ ἐξαίρετον τὸ ἐπὶ πᾶσι ξενόφωνον τάχα που καὶ αὐτῷ θελήσαντι πατεῖν ἑτέρων ἴχνια, μὴ καθ' ὁμά, εἴποι ἂν Καλλίμαχος (Fr. 293).

24. Φιλοτιμεῖται δέ ποτε καὶ τοὺς ἀλείπτας τῶν ἀθλούντων παρεντιθέναι τοῖς μέλεσι παρέκβασιν καὶ ταύτην τεχνώμενος, ὅτε ὡς εἰκὸς καὶ ἐκεῖνοι δωροῖντό τι μνείας χάριν τῷ λυρικῷ φιλοῦντι τὸν χρυσόν, ὡς δειχθήσεται, ἴσως δὲ καὶ πλατυσμοῦ μέλους ἕνεκεν· ὃς δὴ πλατυσμὸς καὶ εἰς φατριῶν, ὡς ἐῤῥέθη, καὶ πατρίδων ἐπαίνους ἐξοκέλλειν τὸν μελοποιὸν ἐν πολλοῖς ποιεῖ καὶ εἴς τινα ἑτεροῖα, ὧν δόξοι ἂν εἰς λίαν περιττὸν ἐκ παρέργου αὐτὸς μεμνῆσθαι τοῖς μὴ εὖ ἐπεσκεμμένοις αὐτόν· ὡς καὶ ὅτε εἰς ἡρωϊκοὺς μύθους παρεκκλίνει κατ' οὐδὲν δέον, ἐν ᾧ δὴ τόπῳ καὶ ἀσάφειαν καινὴν πολλάκις ἔχει, οἷα δυάζων τὰ ἡρωϊκὰ πρόσωπα, ὁποῖόν ἐστι καὶ τὸ ἣν ὁ δεῖνα Κυρήνης στεφάνωμα, ἣν ἥρπασεν Ἀπόλλων (Pyth. IX. 5). ἐνταῦθα γὰρ ἐνοπτρίζει τῇ ἐστεφανωμένῃ Κυρήνῃ πόλει τὴν ἡρπασμένην ἡρωΐδα κόρην τὸ κύριον, ἧπερ ἡ πόλις ὁμώνυμος. πολλαχοῦ δὲ τοιοῦτον δυαστικὸν ἐμφάντασμα ποιεῖ ἔχον καὶ αὐτὸ ἴδιόν τι πρὸς χαρακτήρισμα.

25. Τοιοῦτος δὲ ὢν τὴν ποίησιν, ὡς ἀμυδρότατα ὑπογράψαι τὸν ἄνδρα (χρῶσαι γὰρ τὸ σκιαγράφημα τοῦτο εἰς ἐντελὲς εἴη ἂν πάνυ ἐργῶδες), ἐπιμεμέληται ὑπὸ τῶν παλαιῶν καὶ εἰς γένους ἀναγραφὴν τὴν κατά τε Πλούταρχον καὶ ἑτέρους, παρ' οἷς φέρεται ὅτι κώμη Θηβαίων οἱ Κυνοκέφαλοι. ἐκ ταύτης οἱ τοῦ σοφοῦ τοῦδε γενέτορες, πατὴρ μὲν Παγώνδας ὀνοματικῷ τύπῳ Βοιωτίῳ κατὰ τὸ Ἐπαμεινώνδας, Κρεώνδας· κατὰ δέ τινας

8 φατριῶν Schneidewin cum Hermanno pro πατριῶν. — ἐῤῥήθη edd. — 12 καὶ a manu prima, ut videtur, supra lineam additum est in C. — 16 'ενοπρίζει C (spiritum lenem add. m. alt.). — 18 ἔχων C. — 22 A voce Ἐπιμεμέληται incipiunt Westermanni et Christii excerpta. — 25 ὠνοματικῷ Tafelii ed. — 26 κατὰ δέ τινας — Μυρτοῦς] «in his mihi alicubi excidisse videtur ἦν.» Tafel.

Δαϊφάντου ἢ Σκοπελίνου αὐλητοῦ καὶ Μυρτοῦς. ὃς δὴ Σκοπελῖνος τὴν αὐλητικὴν διδάξας τὸν παῖδα, ἐπεί, φασίν, εἶδεν αὐτὸν μείζονος ἕξεως φύντα ἤπερ ὑπ' αὐτῷ τελειωθῆναι, παρέδωκεν εἰς μάθησιν μελοποιῷ, τῷ περιφανομένῳ Λάσῳ τῷ Ἑρμιονεῖ, παρ' ᾧ ἐπαιδεύθη τὴν λυρικήν. ἔνιοι δὲ τὸν αὐτὸν ἔφασαν διωνυμίας λόγῳ Σκοπελῖνον καὶ Δαΐφαντον λέγεσθαι. ἄλλοι δὲ πάτρων Πινδάρου εἴτε πατρωὸν τὸν Σκοπελῖνον εἶπον γενέσθαι. εἰσὶ δὲ οἳ καὶ οὐ Μυρτώ, ἀλλὰ Κλεοδίκην, ἢ κατὰ συναίρεσιν Κλειδίκην μητέρα τῷ Πινδάρῳ ἀναγράφουσι, γενομένῳ ἐπὶ ἄρχοντος Ἀβίωνος κατὰ τοὺς χρόνους Αἰσχύλου, ᾧ καὶ συγγεγένηται, ὁμιλήσας καὶ ἀπονάμενός τι καὶ τῆς ἐκείνου μεγαλοφωνίας. τέθνηκε δὲ ὅτε τὰ Περσικὰ ἤκμαζε, κατὰ τὴν ἕκτην καὶ ὀγδοηκοστὴν Ὀλυμπιάδα, ζήσας ἔτη ἓξ καὶ ἑξήκοντα, κατὰ δὲ ἐνίους ὀγδοήκοντα. ἔσχε δέ, φασί, θυγατέρας δύο, Πρωτομάχην καὶ Εὔμητιν, καὶ υἱὸν δὲ Διόφαντον, γήμας Μεγάκλειαν· ὧν δὴ θυγατέρων μέμνηται καὶ ἐπίγραμμα παλαιὸν ἐκεῖνο·

Ἦ μάλα Πρωτομάχη τε καὶ Εὔμητις λιγύφωνοι
Ἔκλαυσαν, πινυταὶ Πινδάρου θυγατέρες,

---

1 ὅς ex ὃ m. alt. in *C*. — 2 *ἐπεί φασιν* *C* et edd. — 5 *διωνυμίας* (sic) paulo evanidum in *C* a m. alt. refictum est, at certissimum est idem a manu prima scriptum fuisse; *διωνυμίας* edd., male. — 6 *πάτρων* quod Schneidewin coniecit præf. ad Pind. p. LXXII et Christ edidit, est in *C*, cett. edd. male *πατέρα*. — 9 *ἄρχοντος Ἀβίωνος*] «An *ἄρχοντος α* (i. e. *ἐπωνύμου*) *Βίωνος*? Sed hoc nunc parum placet. Lege *ἄρχοντος Βίωνος*.» *Tafel*. Probaverunt hoc Schneidewin et Christ, sed *Ἀβίωνος* est etiam apud Thomam Magistrum. — 12 «*Περσικά*] hoc si sanum, totum illud *ὅτε ἤκμαζε* transponi malim post *Ἀβίωνος*, sed Thomas quoque eadem eodem ordine habet.» *Westermann*. — 14 *δέ φασι* *C* et edd. — 15 *Δαΐφαντον* Schneidewin, Westermann, Christ, sed Diophantus Pindari filius nominatur etiam apud Suidam et in vita Ambrosiana (Vratislaviensi). — 17 Hoc epigramma etiam in vita Vratislaviensi legitur. — *Πρωτομάχα* Vrat. — *λιγύφρονοι* Vrat. — 18 «E. Gerhardus, Bœckhius, Tafelius, Hermannus transponunt:

Ἀργόθεν ἦμος ἵκοντο, κομίζουσ᾽ ἔνθοθι χρωσσοῦ
Λείψαν᾽ ἀπὸ ξείνης ἀθρόα πυρκαϊῆς.

ἐν ᾧ δὴ ἐπιγράμματι οὐ δηλουμένου τοῦ πῶς ἐν Ἄργει θανὼν ὁ Πίνδαρος εἶτα εἰς τὴν πατρίδα ἐκεῖθεν ἐκομίσθη, ὅμως ἔστιν ὑπονοῆσαι, ὅτι ἀπελθὼν εἴς τινα Πελοποννήσιον ἀγῶνα καὶ θανὼν κατ᾽ αὐτὸ τὸ Ἄργος ἀπεδόθη ἐκεῖθεν πατρίδι νεκρός. τῷ δὲ ῥηθέντι υἱῷ Διοφάντῳ καὶ δαφνηφορικὸν ᾆσμα γράψαι λέγεται ὁ πατήρ, ὅς, φασί, καὶ Σιμωνίδου ἤκουσε νεώτερος μὲν ἐκείνου ὤν, πρεσβύτερος δὲ Βακχυλίδου.

26. *Εἰπεῖν δὲ τοῦτο καὶ ἄλλως κατὰ τοὺς παλαιούς, ἐπέβαλε Πίνδαρος τοῖς χρόνοις Σιμωνίδου, ἢ νεώτερος πρεσβυτέρου. τῶν αὐτῶν γοῦν μέμνηνται ἀμφότεροι πράξεων. ἀλλὰ καὶ παρὰ Ἱέρωνι τῷ Συρακουσίων τυράννῳ ἄμφω ἐγένοντο, ἀποδημήσαντες δηλαδὴ καθ᾽ ἑτέρους καὶ αὐτοὶ σοφοὺς εἰς τὴν*

Πινδάρου ἔκλαυσαν θυγατέρες πινυταί. Ego vero poetæ *ἐπιδεικτικῷ* non admodum vetusto illud condono in quo conspirant testes, ne non tam librariorum vitia tollere quam ipsum poetam ad sanam mentem revocare velle videamur.» *Schneidewin.* «*Πινδαρίου θύγατρες* dedi ex emendatione Ungeri Theb. parad. 1. p. 123 (cf. Schneidewin. Ephem. Gott. 1843. p. 1788), qui et *Πινδάρῳαι* scribi posse monuit (et sic dedit Schneidewinus praef. ad Pind. p. XCIV). *Πινδάρου θυγατέρες* hic et vit. II. [Ambros.] libri. *Πινδάρου αἱ θύγατρες* Schneiderus, priore versu *σε* pro *τε* et hic *Πίνδαρε θυγατέρες* Meinekius delect. poet. anthol. p. 239., *Πινδάρου ἔκλαυσαν θυγατέρες πινυταί* cum Gerhardo Boeckhius atque alii.» *Westermann.* Ceterum *θύγατρες* C.

1 *κομίζουσ᾽* Eust., vita Ambr., *κομιζοῦσ᾽* Boeckh, *κομιζοῦσ᾽* Schneidewin et Westermann citra necessitatem. — 4 *ἐκεῖ μάθη* C (*θεν* / *ʼεκο* superscr.) (corr. m. pr.) — 6 «Godofr. Hermannus *ἐκεῖθεν τῇ πατρίδι.* Nec prætermittendum videtur, ultimam verbi *ἀπεδόθη* particulam et vocem *ἐκεῖθεν* raso ibi bombyci inscriptam esse alio (ut videtur) atramento.» *Tafel.* De qua re ego nihil notavi. — 7 *Δαϊφάντῳ* Schneidewin, Westermann, Christ. — 8 *ὅς φασι* C et edd. — 13 *Συρακ.* Christ pro *Συῤῥακ.* — 14 *σοφούς* uncis inclusit Christ.

Σικελίαν. καὶ μὴν πρὸς τὸ ἱστορηθὲν τοῦτο διαφέρεσθαι δοκεῖ τὸ περιφερόμενον. λέγεται γάρ, ὅτι Πίνδαρος ἐρωτηθείς, διὰ τί Σιμωνίδης μὲν πρὸς τοὺς τυράννους ἀπεδήμησεν εἰς Σικελίαν, αὐτὸς δὲ οὐκ ἐθέλει; ἔφη, διότι βούλομαι ἐμαυτῷ ζῆν, οὐκ ἄλλῳ.

27. *Ἄιδεται δὲ καὶ ὡς εὐσεβὴς ἦν, τιμῶν Πᾶνα καὶ Ῥέαν καὶ Ἀπόλλωνα, καὶ ὅτι κατὰ τὴν τοῦ Ξέρξου διάβασιν ἤκμαζε τὴν ἡλικίαν. διὰ δὲ τὸ θεοφιλὴς δόξαι καὶ τιμῆς πολλὴν περιουσίαν ἔσχεν ἐν Ἕλλησιν. Ἀπόλλων γοῦν οὕτω, φασίν, αὐτὸν ἐφίλει, ὡς καὶ μερίδα λαμβάνειν ἐκ τῶν θυομένων ἐκείνῳ καὶ τὸν ἱερέα δὲ βοᾶν ἐν ταῖς θυσίαις· Πίνδαρος ἐπὶ τὸ δεῖπνον τῷ θεῷ ἢ καὶ ἄλλως· Πίνδαρος ἴτω ἐπὶ τὸ δεῖπνον τοῦ θεοῦ. κατὰ δὲ ἄλλους ἐν Δελφοῖς κλείειν ὁ νεωκόρος μέλλων τὸν νεὼν κηρύσσει καθ᾽ ἡμέραν· Πίνδαρος ὁ μουσοποιὸς παρίτω πρὸς τὸ δεῖπνον τῷ θεῷ. καὶ γὰρ ἐν τῇ τῶν Πυθίων ἑορτῇ ἐγεννήθη, ὡς δηλοῖ καὶ αὐτὸς εἰπών· Πενταετηρὶς ἑορτὰ βουπομπός, ἐν ᾗ πρῶτον ἐβάσθην ἀγαπατὸς ἐν σπαργάνοις* (Fr. 193), *ὃ ἐστιν ἐλέχθην, ὡς ἀπὸ τοῦ βάζω, ἢ καὶ ἄλλως εὐάσθην, εὐφημήθην, ὡς ἀπὸ τοῦ εὐάζω. λέγεται δὲ καὶ ὅτι ὁ Πὰν μεταξὺ Κιθαιρῶνος καὶ Ἑλικῶνος ὤφθη ᾄδων παιᾶνα Πινδάρου. διὸ καὶ αὐτὸς ᾆσμα ἐποίησεν, ἐν ᾧ χάριν αὐτῷ τῆς τιμῆς ἀνθομολογεῖται, οὗ ἀρχή· Ὦ Πάν, Πάν,*

---

2 *διατί* C. — 4 *ζῇν* Tafel et Schneidewin. — 6 *Αἴδεται* Tafel et Schneidewin; Westermann *λέγεται* coni. — 11 *βοᾷν* Tafel, Schneidewin. — 17 *ἐν ᾗ* e vita Ambr. nunc editur. — *πρῶτος* Schneidewin, Westermann, Christ, errore, quo etiam Bergk deceptus est p. 446. — *εὐνάσθην* (sic Christ edidit, qui om. *ὃ ἐστιν — εὐάζω*) et *ὑπὸ σπαργάνου* recte vita Ambr. — «Ridicula est sedulitas Eustathii in explicando illo sive *ἐβάσθην* sive *εὐάσθην*. Nam quum *εὐάσθην* vitiose scriptum repperisset, *ἐβάσθην* inepte novavit memor ille alieno tempore, nihil esse frequentius earum litterarum permutatione.» *Schneidewin*. — 22 Alte-

Ἀρκαδίας μεδέων καὶ σεμνῶν ἀδύτων φύλαξ (Fr. 95) *τῇ ἱστορίᾳ δὲ ταύτῃ μαρτυρεῖ καὶ ἐπίγραμμα παλαιὸν ἐκεῖνο·*

Νεβρείων ὁπόσον σάλπιγξ ὑπερίαχεν αὐλῶν,
Τόσσον ὑπὲρ πάσας ἔκραγε σεῖο χέλυς.
Οὐδὲ μάτην ἁπαλὸς περὶ χείλεσιν ἑσμὸς ἐκεῖνος
Ἔπλασε κηρόδετον, Πίνδαρε, σεῖο μέλι.
Μάρτυς ὁ Μαινάλιος κερόεις θεὸς ὕμνον ἀείσας
Τὸν σέο καὶ νομίων λησάμενος δονάκων.

λέγει δὲ τὸ ἐπίγραμμα τοῦτο νεβρείους μὲν αὐλοὺς τοὺς ὡς εἰκὸς ἐξ ὀστέων ἐλάφου νεογνῆς. δῆλον γάρ, ὡς νεβρὸς τὸ νεογιλὸν τῆς ἐλάφου· ὡς δὲ ἀπὸ ὀνείων ὀστῶν, οὕτω καὶ ἀπὸ νεβρείων αὐλοὶ ἐγίνοντο. ἡ δὲ χέλυς, ὅ ἐστιν ἡ κιθάρα, ἐξ ἀρχαιοτάτης κλήσεως κεκληρονόμηται εἰς φράσιν. ἦν γὰρ ὅτε ὄστρακον χέλυος, ἤγουν χελώνης, εἰς κοίλωμα κιθάρας τῷ Ἑρμῇ ἐχρησίμευσεν (ὡς καὶ μετ' ὀλίγα γεγράψεται), καθ' οὗ ἐνταθεῖσαι χορδαὶ τὴν κιθάραν ἀπετέλεσαν. ὁ δὲ ἑσμὸς δηλοῖ μὲν τὴν βοτρυδὸν συνίζησιν τῶν μελισσῶν, ὧν ἐν τοῖς κατωτέρω πλατεῖα μνήμη ἔσται. δασύνεται γὰρ ἀπὸ τοῦ ἕζω. κάθισμα γὰρ μελισσῶν ἡ λέξις δηλοῖ, καὶ συνιστᾷ τὸ δασὺ ἐνταῦθα πνεῦμα ὁ παρὰ Ἀριστοτέλει ἐν τῷ περὶ ζώων ἱστορίας ἀφεσμός. τὸ δὲ κηρόδετον μέλι ἀφομοιοῦταί πως τῷ παρ' Αἰσχύλῳ

rum *Πὰν* delendum esse constat, uncis inclusit Westermann, delevit Christ.

5 *ἁπαλοῖς* Schneidewin et Westermann recte ediderunt, Brunckium secuti, qui in Anthologia Planudea II p. 718, 305 ed. Jacobs, idem poetæ reddiderat; *λαροῖς* Christ edidit. Ceterum apud Planudem, qui epigramma Antipatro tribuit, magna est lectionis varietas. — 20. 21 *ἀφορισμός* Tafel, Schneidewin, male, cum id quod iam Hermann coniecit *ἀφεσμός* in codice a prima manu scriptum clare legatur; altera lectio alteri manui debetur. Male Tafel: «*ἀφορισμός (definitio)*; licet scriptio codicis ibi perobscura est, cum in media voce bombycis lamina elisa sit. Tu lege cum Godofr.

(Prom. 574) *κηροπλάστῳ δόνακι*, ὃς δηλοῖ τὸ σύριγγα. Μαινάλιος δὲ θεὸς ὁ Πὰν ὡς Ἀρκαδικός. ἐν Μαινάλῳ γὰρ ἐτιμᾶτο, Ἀρκαδίας ὄρει. κερόεις δὲ ὁ αὐτός, ἐπεὶ κερασφόρος ἐπλάττετο διὰ τὰς τῶν ὀρῶν ἐξοχὰς τὰς ὑψηλοτάτας, αἳ αὐταὶ μέρος εἰσὶ τοῦ παντός, εἰς ὃ μεταλαμβάνεται καὶ ὁ Πάν. ὅτι δὲ κέρατα ἐλέγοντο καὶ αἱ ὀρειναὶ ὑπεροχαί, δηλοῖ ὁ γράψας *ὑψικέρατα πέτραν* (Fr. 325), τὴν καὶ ὑψηλὴν καὶ εἰς ὀξὺ λήγουσαν. ὕμνον δὲ ἀείσας ταὐτόν ἐστι τῷ *ᾄσας παιᾶνα*, τόν, ὡς δεδήλωται, Πινδαρικόν, εἰ καὶ ἄλλως ἑτεροῖόν τι παρὰ τὸν ὕμνον ὁ παιάν. *δόνακες δὲ νόμιοι*, τουτέστι *φίλοι τοῖς νέμουσι*· καὶ ὅλη σύριγξ ἡ τῷ Πανὶ φίλη διὰ τὰς πνοὰς τῶν κατακόσμων ἀνέμων καὶ τοὺς ἐκεῖθεν συριγμούς, ἃ τῷ Πανὶ φίλα εἰσί. καὶ οὕτω μὲν τὸ εἰρημένον ἐπίγραμμα θεοφιλῆ ἐμφαίνει γενέσθαι τὸν Πίνδαρον. λέγεται δὲ καί, ὡς Δημήτηρ ὄναρ ποτὲ αὐτῷ ἐπιφανεῖσα ἐμέμψατο, ὅτι μόνην θεῶν αὐτὴν οὐχ ὕμνησεν. ὁ δὲ καὶ εἰς αὐτὴν ἐποίησεν, ἀρξάμενος οὕτω· *Πότνια θεσμοφόρε* (Fr. 37)· καὶ βωμὸν δὲ ἀμφοῖν πρὸ τῆς οἰκίας ἱδρύσατο. Χαμαιλέων δέ, φασί, καὶ Ἴστρος ἱστοροῦσιν, ὡς περὶ Ἑλικῶνα θηρῶντος αὐτοῦ καὶ καμάτῳ κατενεχθέντος εἰς ὕπνον, μέλισσα τῷ στόματι προσκαθίσασα κηρία ἐνέθετο· οἱ δὲ ὄναρ φασὶν ἰδεῖν αὐτόν, ὡς μέλιτος καὶ κηροῦ πλῆρες αὐτῷ γεγόνοι τὸ στόμα. καὶ οὕτως οἰωνισά-

Hermanno ἀφισμός coll. Eod. in Wolff. Liter. Anal. II. 1. p. 73 sq. (Opusc. Vol. II. p. 252. sqq.).» Probavit Hermanni coniecturam Schneidewin, recepit Christ. Apud Westermannum tota epigrammatis explicatio deest.

2 *θεός* Schneidewin et Christ pro *θετός*. — 8 *ταυτόν* C. — **11. 12** *κατὰ κόσμον* C. — **12** *παντὶ* quod post *Πανὶ* legebatur delevit Christ Schneidewinum secutus. — **12. 13** *φίλά εἰσι* C. — **15** *ὅτι* pro *εἰ* scripsi ex vita Ambrosiana. — *οὐχ'* C. — **18** *δέ φασι* C et edd. — **19** *θεριοῦντος* coni. Unger Parad. Theb. 1 p. 190 collato Pausania IX. 23, 2, probavit Leutsch, Philol. XI. p. 22.

μενος ἔπειτα εἰς ποιητικὴν ἐτράπη, καθηγησαμένων αὐτῷ τοῦ μαθεῖν ἢ τοῦ Λάσου, ὡς εἴρηται, ἢ τοῦ Ἀθηναίου Ἀγαθοκλέους, ἢ Ἀπολλοδώρου, ὅν φασι καὶ προϊστάμενον κυκλίων χορῶν καὶ ἀποδημοῦντα πιστεῦσαι τὴν διδασκαλίαν Πινδάρῳ παιδὶ ὄντι· τὸν δὲ εὖ τὸ πιστευθὲν διακοσμήσαντα περιβοηθῆναι. τινὲς δέ γε, ὡς κατωτέρω ῥηθήσεται, τὸ σημεῖον τῆς μελίσσης παιδὶ νεωτάτῳ ἔτι ὄντι Πινδάρῳ ἐπιγενέσθαι ἱστοροῦσιν. ὅτι δὲ ἐν παλαιῷ ἐπιγράμματι κεῖται γοργῶς μνῆμα τοῦ μελισσείου τοῦδε κηρίου, δεδήλωται ἀνωτέρω.

28. *Ἐχθρὰ δέ, φασί, φρονούντων ἀλλήλοις Ἀθηναίων καὶ Θηβαίων, ἐπεὶ ἔγραψέ που· Ὦ ταὶ λιπαραὶ καὶ μεγαλοπόλιες Ἀθῆναι* (Fr. 76), *κατὰ δέ τινας, ἐπεὶ ἔρεισμα Ἑλλάδος ἔφη τὰς Ἀθήνας* (Fr. 76), *ἐζημίωσαν αὐτὸν Θηβαῖοι χιλίαις δραχμαῖς, ἃς ἐξέτισαν ὑπὲρ αὐτοῦ Ἀθηναῖοι ὡς φιλαττικοῦ. λέγεται δὲ καί, ὡς Λάκωνες ἐμπρήσαντές ποτε Θήβας κατὰ μάχην, ἧς ἦρχε Παυσανίας ὁ σφῶν βασιλεύς, ἀπέσχοντο μόνης τῆς οἰκίας τοῦ ποιητοῦ ἰδόντες ἐπιγεγραμμένον τό· Πινδάρου τοῦ μουσοποιοῦ τὴν στέγην μὴ καίετε. τοῦτο δέ, φασί, καὶ Ἀλέξανδρος μετὰ ταῦτα πεποίηκε. καὶ αὐτὸς γὰρ ἐμπρήσας Θήβας ἐφύλαξε τὴν οἰκίαν, ἣ καὶ εἰς πρυτανεῖον ὕστερον ἀπετελέσθη.*

29. *Φέρεται δὲ λόγος καὶ θεωρούς ποτε ἀπιόντας εἰς Ἄμμωνος αἰτῆσαι Πινδάρῳ οἷα φίλῳ τὸ ἐν ἀνθρώποις ἄριστον καὶ θανεῖν αὐτὸν ἐν ἐκείνῳ τῷ ἐνιαυτῷ. τοῦτο δὲ πάντως καὶ θανάτου ἐστὶ σέμνωμα ὡς κολούοντος τὴν ἐν κακοῖς μακροτέραν βιοτήν· ὃ δὴ καὶ ἐπὶ τῶν κτισάντων τὸν Πυθοῖ ναὸν ἱστόρηται, οἳ τὸ ἔργον συντετελεκότες θαύματος ἄξιον ὂν καὶ ἀγαθὸν μέγα ἑαυτοῖς θεόθεν αἰτησάμενοι, εἶτα ἕωθεν οὐκ ἔτ᾽ ἦσαν ὡς θα-*

5 *πιστευθὲν* Westermann pro *πιστωθέν*. — **10** *δέ φασι* C et edd. — **19** *δέ φασι* C et edd. — *μετὰ ταῦτα* C. — **22. 23** *εἰς Ἀπόλλωνος* coni. Leutsch Philol. XI. p. 17. — **25** *ἔστι* C. — **28** *εἶθα* Tafelii ed. — *οὐκέτ᾽* C.

νάτῳ ἀπεληλυθότες. καὶ Κλέοβις δὲ καὶ Βίτων ὅμοια τῆς ὑπὲρ ἀγαθοῦ εὐχῆς ἀπώναντο, ἡνίκα ἐκεῖνοι τὴν μητέρα ἐπὶ ἁμάξης ἑλκύσαντες διὰ μέσης ἀγορᾶς ἐς νενομισμένην δημοτελῆ θυσίαν (οἱ γὰρ ἱεροὶ βόες οὐ παρῆσαν) ἔτυχον μὲν εὐχῆς μητρόθεν ὡς ἐπὶ κρείττοσιν· αὐτοὶ δὲ προὐκαλέσαντο θάνατον, ὃς αὐτίκα ἐκείνων ἐλάβετο. ἀλλὰ ταῦτα μὲν οὕτω παρερρίφθω οὐδ' αὐτὰ εἰς κενόν.

30. *Τοῦ δὲ κατὰ Πίνδαρον γένους οὕτω πεζολογικῶς προενηνεγμένου, φέρεται εἰς αὐτὸ καὶ δι' ἐπῶν παλαιῶν ταῦτα, οἷς ἐμφέρονται καί τινα ἐπέκεινα τῶν προειρημένων·*

Πίνδαρον ὑψαγόρην Καδμηΐδος οὖδεϊ Θήβης
Κλειδίκη εὐνηθεῖσα μενεπτολέμῳ Δαϊφάντῳ
Γείνατο, ναιετάουσα Κυνὸς κεφαλῆς παρὰ χώρῳ,
Οὐχ οἷον· ἅμα τῷ καὶ Ἐρίτιμον εἰδότα θήρης,
Εἰδότα πυγμαχίης τε παλαισμοσύνης τ' ἀλεγεινῆς.
Τὸν μὲν ὅτε κνώσσοντα ποτὶ χθόνα κάτθετο μήτηρ
Εἰσέτι παιδνὸν ἐόντα, μέλισσά τις ὡς ἐπὶ σίμβλῳ
Χείλεσι νηπιάχοισι τιθαιβώσσουσα ποτᾶτο.
Τῷ δὲ λιγυφθόγγων ἐπέων μελέων θ' ὑποθήμων
Ἔπλετο δῖα Κόριννα, θεμείλια δ' ὤπασε μύθων
Τὸ πρῶτον· μετὰ τὴν δ' Ἀγαθοκλέος ἔμμορεν αὐδῆς,
Ὅς ῥά οἱ κατέλεξεν ὁδὸν καὶ μέτρον ἀοιδῆς.
Εὖτε δ' Ἀλεξάνδροιο Φιλιππιάδαο μενοινῆς
Καδμείων ἀφίκοντο Μακηδόνες ἄστεα πέρσαι,
Πινδαρέων μεγάρων οὐχ ἥψατο θεσπιδαὲς πῦρ.
Ἀλλὰ τὸ μὲν μετόπισθεν· ἔτι ζώοντι δ' ἀοιδῷ
Φοῖβος ἄναξ ἐκέλευσε πολυχρύσου παρὰ Πυθοῦς

---

9 *εἰς αὐτὸν* edd. — In carmine v. 4 *θήρην*[ης] *C.* — 5 *πυγμαχίην*[ης] *C.* — *παλαισμοσύνην*[ης] *τ' ἀλεγεινήν*[ης] *C.* — 6 *τον μὲν C.* — 9 *τωδὲ C.* — 10 *δῖα C.* — 11 *τὴν δ' C.* — 12 *κατέλεξεν* (sic) *C.* — 15 *οὐχ' C.* — 24 *παραλέξατο C.* — Ceterum integram codicum et editionum quæ

Ἦια καὶ μέθυ λαρὸν ἀεὶ Θήβηνδε κομίζειν.
Καὶ μέλος, ὡς ἐνέπουσιν, ἐν οὔρεσιν ἠύκερως Πὰν
Πινδάρου αἰὲν ἄειδε καὶ οὐκ ἐμέγηρεν ἀείδων.
Ἦμος δ' ἐν Μαραθῶνι καὶ ἐν Σαλαμῖνι παρέσταν
Αἰναρέται Πέρσαι μετὰ Δάτιδος ἀγριοφώνου,
Τῆμος ἔτι ζώεσκεν, ὅτ' Αἰσχύλος ἦν ἐν Ἀθήναις.
Τῷ δὲ Τιμοξείνη παρελέξατο, δῖα γυναικῶν,
Ἣ τέκεν Εὔμητιν μεγαλήτορα καὶ Δαΐφαντον,
Πρωτομάχην δ' ἐπὶ τοῖσιν. ἔμελψε δὲ κῦδος ἀγώνων
Τῶν πισύρων, μακάρων παιήονας ἀναδεδεγμένος
Καὶ μέλος ὀρχηθμοῖο θεῶν τ' ἐρικυδέας ὕμνους
Ἠδὲ μελιφθόγγων μελεδήματα παρθενικάων.
Τοῖος ἐὼν καὶ τόσσα παθὼν καὶ τόσσα τελέσσας
Κάτθανεν, ὀγδώκοντα τελειομένων ἐνιαυτῶν.

31. *Οὕτω δὲ καὶ τούτων ἡσμένων εἰς τὸ τοῦ ποιητοῦ γένος οὐκ ἀγλαφύρως, οἱ παλαιοὶ ἔξω τῶν ἐν τῇ Πινδαρικῇ βίβλῳ κειμένων γνωμικῶν ἀποφθεγμάτων προσιστοροῦσι καὶ τάδε. Πίνδαρος ἐρωτηθείς, τί πρίονος ὀξύτερον, εἶπε· διαβολή. Δελφόσε δὲ ἐρωτηθείς, τί πάρεστι θύσων, παιᾶνα, εἶπε· μονονουχὶ λέγων ἐκ τῶν ἐλλογίμων ἀνδρῶν θυσίαν εἶναι λόγους τῷ κρείττονι. πρὸς ὃ συλλαλεῖ καὶ ὁ γράψας, ὡς ἄκαπνα θύουσιν ἀοιδοί. πρὸς δὲ τὸν ἐρωτήσαντα, διὰ τί οὐ τῷ εὖ πράττοντι τὴν θυγατέρα δίδωσιν; οὐ μόνον εὖ πράττοντος ἔφη δεῖσθαι, ἀλλὰ καὶ εὖ πράξαντος. τῷ δὲ πυθομένῳ, διὰ τί*

---

est in hoc carmine varietatem in editione scholiorum veterum ad Olympia et Pythia congeram.

15 *καὶ τούτῳ* C. — **19** *δ' ἐρωτηθεὶς* Christ. — **22** *διατί* C. — **24** Vocis *εὖ* evanidæ nunc accentu stantum superest. Male Tafel *πράξαντος εὖ* edidit et hæc adnotavit: «*πράξαντος*. Sic haud admodum dubie ms., licet scripturâ valde pallidâ. Edd. *πράξοντος* [Extant enim hæc apophthegmata etiam apud Bœckhium p. 10].

μέλη γράφων ᾄδειν οὐκ ἐπίσταται; καὶ γὰρ οἱ ναυπηγοί, ἔφη, πηδάλια ποιοῦντες κυβερνᾶν οὐκ οἴδασι. τοῦτο δέ πως παρέοικε πρὸς τὸ ἐρωτηθῆναι μέν τινα σοφιστὴν διὰ τί δημηγορεῖν ἄλλους πρὸς ὄχλον διδάσκων αὐτὸς οὐ δύναται οὕτω ποιεῖν; ἐκεῖνον δὲ εὐστόχως εἰπεῖν, ὡς καὶ ἡ ἀκόνη ὀξύνουσα εἰς τομὴν τὰ σιδήρια ὅμως αὐτὴ τέμνειν οὐ δύναται.

32. Ὅτι δὲ οὐ δεξιὸς ἦν αὐτὸς ᾄδειν ὁ Πίνδαρος, ἀλλ' ὑποβολέα οἷον εἶχεν ἕτερον τοῦ τοιούτου ἔργου, δηλώσει ἐν οἷς μνήσεταί τις Αἰνείου χοροστάτου· ὃν καὶ δοκεῖ φιλεῖν οἷα ἐπικοσμοῦντα οἰκείᾳ τέχνῃ τὰς Πινδαρικὰς ᾠδὰς ὡς κορυφαῖον χοροῦ ἄριστον.

33. Εἰ δὲ κατὰ τοὺς παλαιοὺς Πίνδαρος ἔφη τοὺς φιλοσοφοῦντας ἀτελῆ σοφίας δρέπειν καρπόν (Fr. 209), ἀλλὰ τοῦτό γε εἰς ψόγον ἂν ἐμπίπτοι, ὁποῖος καὶ τῷ Κωμικῷ προσατέτριπται, ὅς που τοὺς φιλοσόφους διὰ τὸ ἀπράγμονας εἶναι σκώπτει ὡς ἀργούς (Aristoph. Nub. 334).

34. Ποιήματα δὲ πολλὰ γράψαι Πίνδαρος λέγεται, ὧν καὶ φέρονται οὐκ ὀλίγα, οὐ μὴν τὰ πάντα ὑπεμνηματισμένα. εἰσὶ δὲ παιᾶνες, διθύραμβοι, προσόδια, παρθένια, τὰ καὶ αὐτὰ μνημονευθέντα πρὸ βραχέων, ὑπορχήματα, ἐγκώμια, θρῆνοι καὶ ἐπι-

---

Deinde εὖ addidi ex edd. Abest (ut videtur) a nostro cod.» Unde Schneidewin εὖ delevit Westermanno et Christio probantibus et hæc de acuto Pindari dicto excogitavit: «Optime vero codex Basileensis. Desiderabat poetæ [sic; poeta?] hominem *non solum locupletem sed qui probe vixisset.* In eo ipso, quod verbo πράττειν diverso significatu usus est, vis dicti et acumen cernitur. Hinc recte εὖ omittitur.» — *διατί C.*

3 *διατί C.* — **11** *τοὺς Π.* Schneidewin, errore. — **20** «Er hat im Anfange ὕμνοι ausfallen lassen, dann das zweite und dritte Buch der Parthenien, wahrscheinlich weil er die Worte gar nicht verstand [? ?]» *Leutsch* l. l. p. 17.

νίκιοι, κατὰ τὴν ἱστορίαν ὡσεὶ τετρακισχίλιοι, οὓς καὶ ἐπινίκους τετρασυλλάβως φασίν, οἳ καὶ περιάγονται μάλιστα διὰ τὸ ἀνθρωπικώτεροι εἶναι καὶ ὀλιγόμυθοι καὶ μηδὲ πάνυ ἔχειν ἀσαφῶς κατά γε τὰ ἄλλα. εἰ δὲ καὶ ὕμνοι λέγονται οἱ αὐτοί, ἀλλ' αὐτὸ παραχρήσεως εἶδός ἐστι, καθ' ἣν καὶ τὸ ὑμνεῖσθαι ἀντιφραστικῶς που ἐπὶ ψόγου ἐτέθη, ὡς δηλοῖ καὶ τὸ ὑμνεῖθ' ὑπ' ἀστῶν φροιμίοις πολυῤῥόθοις (Aesch. Sept. 6). *δῆλον δὲ ὡς αἱ ἐπινίκιοι ᾠδαὶ τοῦ Πινδάρου καὶ εἴδη τουτέστιν ἰδέαι χάριν σεμνότητος ὀνομάζονται, ὅπερ ὑποκορισθὲν εἰς εἰδύλλια ἐπιγραφὴ γέγονε τοῖς Θεοκρίτου ποιήμασι. μελοποιὸς δὲ ὢν ἐς τὸ καθόλου ὁ Πίνδαρος παρωνυμεῖται πρὸς μέρος μουσικοῦ ὀργάνου λυρικὸς καλούμενος, καθά τις ἕτερος κιθαρῳδὸς καὶ ἄλλος ἀπὸ ψάλτρου ψαλτῳδός. οὐκ ἐξ ἀνάγκης δέ γε πρὸς λύραν μόνην ἐμελῴδει, ἀλλ' αὐτὸ μὲν ἐπελέγη πρὸς*

---

1 *κατὰ τὴν στιχομετρίαν* coni. Th. Birt (Das antike Buchwesen 1882. p. 165), *μετὰ τῶν ἱστοριῶν*, id est ratione habita etiam *ἱστοριῶν*, quibus res ad mythologiam et historiam spectantia explicantur, coni. Vitelli (Museo Italiano di Antichità Classica 1884. I p. 162), qui similia e Gregorii Nazianzeni codicibus attulit. Ad *τετρακισχίλιοι* confer Bergkium p. 367. 368: »Eustathium sane apparet Epiniciorum numeros indicare voluisse, sed numerus non congruit, nam debebat potius *ἑξακισχίλιοι* scribi: abutitur enim Schneidewin hoc numero, qui dicit eo firmari versuum discriptionem a Boeckhio restitutam: at veteres grammatici fere cola, non versus aut periodos curabant. Neque tamen puto *ἑξακισχίλιοι* restituendum esse, sed Eustathius cum in fine indicis versuum numerum reperisset hunc, ͵ϛ ͵δ eumque non, ut par erat, ad universa carmina, sed ad epinicia referret, atque iam nimis amplum esse putaret, ex coniectura *τετρακισχίλιοι* scripsit, quemadmodum etiam alias corrupta pro viribus corrigere studet.« — 2 *περιᾴδονται* coni. Bergk p. 371, qui antea *πράττονται* coniecerat. — 3 *μὴ δὲ* C. — 4 *ἄλλο αὐτὸ* Christ. — 5 *εἶδος ἐστί* edd. — 6 Apud Aeschylum *ὑμνοῖθ'* legitur. — 7 Cum voce *πολυῤῥόθοις* expliciunt Westermanni excerpta.

τι ἐξαίρετον εἰς κλῆσιν τῷ ποιητῇ. σεμνύνεται γὰρ πολλοῖς καὶ πολλαχῶς ἡ λύρα. ὁ δὲ καὶ ἑτέροις ὀργάνοις ᾄδων ἐχρᾶτο, καθὰ δηλοῖ καὶ τὸ *ἀναξιφόρμιγγες ὕμνοι* (Ol. II. 1) καὶ ἑξῆς. εἰ δ' ἴσως ταὐτόν τι φόρμιγξ καὶ λύρα, οὐδ' οὕτως αὐτῷ μόνον τὸ τῆς λύρας χρῆμα πρὸς ἴδιόν τι ἀποκεκλήρωται. ὡς δὲ *λύρα* εἴρηται ἢ παρὰ τὸ *λύειν ἀράς*, οἷς πρὸς ἡδονὴν γλυκέως ἁρμόττεται, ἢ παρὰ τὸ μυθικῶς εἰς *λύτρον καταλλακτήριον* εὑρεθῆναι ὑπὸ Ἑρμοῦ, ὃς *χέλυν* ὅ ἐστι λύραν ἐξ ὀστράκου συντεθεῖσαν χελώνης δοὺς τῷ Φοίβῳ ἀντὶ βοῶν κλοπῆς οὕτως ἐλύσατο ἑαυτῷ τὸν ὑπὲρ τοῦ κλέμματος χόλον, λέγουσι καὶ αὐτὰ οἱ παλαιοί.

35. Ἰστέον δὲ καί, ὅτι τεσσάρων ὄντων περιωνύμων ἀγώνων Ἑλληνικῶν, οἳ καὶ ἱεροὶ ἐκαλοῦντο, οὓς οἱ νικῶντες ἠξιοῦντο λόγου τοῖς λυρικοῖς, πρώτους ἐξέθεντο οἱ τῷ Πινδάρῳ φίλοι πρὸς ἀνάγνωσιν τοὺς Ὀλυμπιονίκας διὰ τὸ τοῦ Ὀλυμπικοῦ ἀγῶνος πάνυ ἔνδοξον, οὗ τὴν θέσιν σεμνολογοῦντες τῶν τινες παλαιῶν εἰς τὰ κατὰ Πέλοπα καὶ Οἰνόμαον αὐτὴν ἀναφέρουσιν, ὡς ἐκεῖθεν χρόνου ἀρξαμένου τοῦ τῶν Ὀλυμπίων ἀγῶνος· πρὸς ὃ οἱ δυσαρεστούμενοί φασιν ὡς αἰσχρὰν οὕτως οὖσαν τῇ αἰτίᾳ τὴν θέσιν οὐκ ἂν διεφύλαξαν οἱ ἀρχαῖοι οὐδ' ἂν παρέμεινεν εἰς οὕτω μακρὸν ἱερὸς λεγόμενος ὁ ἀγών, ἐφ' οἷς οὐ τοιοῦτός ἐστι διὰ τὸ κατ' αἰτίαν αἶσχος, ἐφ' ᾗ τέθειται, ἥπερ ἐστὶν ἔρως Ἱπποδαμείας καὶ φόνος Οἰνομάου περίεργος. ἕτεροι δὲ εἰς Ἡρακλῆν ἀνάγουσι τὴν τοῦ Ὀλυμπικοῦ ἀγῶνος καταβολήν, καθὰ καὶ ὁ Πίνδαρος ἐνδοξότερον αὐτὸν κοσμῶν. ἐπεὶ γὰρ τὴν Αὐγέου κόπρον καθήρας οὐκ ἔτυχε τῶν ἐπηγγελμένων, συναγαγών, φασί, στρα-

4 ταυτόν C. — **11** Cum voce *ποίαλαιοί* (sic) explicinnt Christii excerpta. — **19** *δυσαρεστούμενοι φασὶν* C. — **22** *ἥπερ ἔστιν* C. — **25** *κοσμεῖ* edd. — **26** *σ. φασι στρ.* C et edd.

τόπεδον τόν τε Αὐγέαν ἀπάγει τοῦ ζῆν καὶ τὴν Ἦλιν παρίσταται ἤγουν πορθεῖ. καὶ πολλὰ λάφυρα περιποιησάμενος ἀγῶνα τίθησι τοῖς μετ' αὐτοῦ πολεμήσασι· καὶ τὸ ἔθος ἐκεῖθεν διέμεινεν. οἱ δὲ μηδὲ πρὸς τοῦτο εὐαρεστούμενοί φασιν, ὡς οὐδὲ αὕτη ἔμεινεν ἂν ἡ διάθεσις, ἐπεὶ δυσχερείας πραγματικῆς ἦν ὑπόμνησις· ἀλλὰ μᾶλλον Ἴφιτός, φασί, καὶ Εὐρύλοχος τοὺς Κιῤῥαίους καταπολεμήσαντες λῃστὰς τὴν παράλιον τῆς Φωκίδος κατέχοντας καὶ πολλὰ ἐξ αὐτῶν λάφυρα συναγαγόντες ὁ μὲν Ἴφιτος τὰ Ὀλύμπια κατεβάλετο, τὰ Πύθια δὲ ὁ Εὐρύλοχος. καὶ παρέμεινεν ἡ θέσις αὕτη ὡς ἀπὸ ἐνδόξου αἰτίας ἔχουσα τὴν ἀρχήν.

36. Ὅτι δὲ κατὰ πενταετηρίδας ἐτελεῖτο τὰ Ὀλύμπια διὰ τὸ πάνυ πόῤῥωθεν συλλέγεσθαι τῶν ἀθλούντων πολλούς· καὶ ὡς αἱ τοιαῦται πενταετηρίδες καὶ Ὀλυμπιάδες ἐλέγοντο ἐκ τῆς Ὀλυμπίων πανηγύρεως, ἣν ἐπὶ Ὀλυμπίῳ ἦγον Διί, τῷ τοῦ Ἡρακλέος πατρί· καὶ ὅτι, ὅπερ τοῖς ὕστερον πέντε ὁμοῦ ἔνδικτοι, τοῦτο ἑκάστη τῶν Ὀλυμπιάδων τοῖς πάλαι· καὶ ὅσοι δὲ ἆθλοι τὸν Ὀλυμπικὸν συνετέλουν ἀγῶνα, δηλοῦσι μὲν καὶ οἱ παλαιοὶ σαφῶς καὶ ἡ προκειμένη δὲ παρεκβολικὴ πραγματεία ἐκφανεῖ ἅπαν τοιοῦτον ἄξιον γνώσεως.

37. Νῦν δὲ ῥητέον, ὅτι τὸ λεγόμενον πένταθλον οὕτω περιγράφεται μέτρῳ ἰαμβικῷ·

Ἅλμα, πάλη, δίσκευμα, κοντὸς καὶ δρόμος.

καὶ ἑτέρως δὲ ἡρῴῳ μέτρῳ·

Ἅλμα ποδὸς δίσκου τε βολὴ καὶ ἄκοντος ἐρωὴ
Καὶ δρόμος ἠδὲ πάλη· μία δ' ἔπλετο πᾶσι
τελευτή.

---

1 ζῆν edd. — ἦλιν C. — 4 μὴ δὲ C. — 4. 5 εὐαρεστούμενοι φασὶν C. — 6 Ἴφιτός φασι καὶ C et edd. — 18 Ὀλυμπιακὸν C et edd. — 23 ἄλμα C.

38. Ἔτι ἰστέον καὶ ὅτι τὸ ἐν τοῖς ἐπινίκοις Πινδαρικὸν μέτρον τριὰς ἐκαλεῖτο. ἦν δὲ ἐν τῷ καθόλου τοιαύτη τριὰς ποίημα, ἐν ᾧ, καθὰ καὶ ἐν τοῖς τοῦ Κωμικοῦ δηλοῦται, ἔστι στροφὴ καὶ ἀντίστροφος καὶ ἐπῳδός· περὶ ὧν καὶ οἱ τῆς ῥητορικῆς τέχνης ὑπομνηματισταὶ διαλαμβάνουσι σαφέστατα. δῆλον δέ, ἔνθα εἰσὶ τὰ τρία ταῦτα, ἡ στροφὴ δηλαδή, ἡ ἀντίστροφος καὶ ἡ ἐπῳδός, ἐκεῖ καὶ χοροί εἰσι στρεφόμενοι καὶ ἀντιστρεφόμενοι καὶ διὰ μέσων ἐπᾴδοντες, καὶ τὸ στάσιμον· εἴτε κύκλιοι οὗτοί εἰσιν, οὓς οἱ ᾄδοντες ᾀσματοκάμπται σκώπτονται τῷ Κωμικῷ (Aristoph. Nub. 333), εἴτε καὶ ἑτεροῖοι· ὧν καὶ αὐτῶν ἴδμων πάντων ὁ Πίνδαρος, οὐδὲν δὲ ἧττον αὐτοῦ καὶ ὁ κοσμῶν αὐτὸν χοροποιὸς Αἰνέας, περὶ οὗ πρὸ βραχέων εἴρηται. ὅτι δὲ οἱ Πινδαρικοὶ ἐπινίκιοι τῇ προσεχῶς δεδηλωμένῃ τριάδι ἐναλλάγδην συντελοῦνται κατ' ἀκολουθίαν εὐσύντακτον ἐναρμόνιον, ἣν οὐκ ἔστι παραμεῖψαι· καὶ οἵοις ποσὶ καὶ μέτροις ἡ τοιάδε τριὰς ἑκασταχοῦ ἀπαρτίζεται, σαφέστατα ἐκτίθενται οἱ ὑπομνηματισάμενοι, οἷς καὶ ἔστιν εὐμαθῶς ἀκολουθεῖν τοὺς περιελθόντας ἐπισκεπτικῶς τὸ τοῦ Ἡφαιστίωνος μετρικὸν ἐγχειρίδιον. ἀλλ' ἐκεῖνα μὲν ἑτέρου ἔργου· ἐνταῦθα δὲ τὸ προκείμενον ἐπέλευσις οὐκ ἀσυνήθης, τὰ ἐκ τῶν Πινδαρικῶν ἐπινικίων συλλέγουσα χρήσιμα εἰς εἴδησιν εὔχρηστον τοῖς καὶ γράφειν καὶ ἄλλως δέ πως νοεῖν ἐθέλουσι, καὶ τοῦτο οὐ κατὰ ὑπομνηματικὴν ἐξήγησιν, ἀλλ' εἰς ὅσον ἐκ πλατυτάτου λειμῶνος ἀνθολογῆσαι, ὅσα οὐκ ἂν πατοῖτο ἢ ἄλλως ἐξαθερίζοιτο τοῖς γε φιλοκάλοις καὶ εἰδόσι τὰ τῶν Μουσῶν στεφανώματα.

---

7 ἡ ἐπῳδὸς Hermann pro ὁ ἐπῳδός. — 9 οὗτοι εἰσὶν C.

Πινδάρου γένος·

διωρθώθη δὲ παρὰ τοῦ σοφωτάτου Μαγίστρου.

Πίνδαρος, τὸ μὲν γένος Θηβαῖος, υἱὸς Δαϊφάντου κατὰ τοὺς ἀληθεστέρους· οἱ δὲ Σκοπελίνου φασίν· οἱ δὲ τὸν αὐτὸν Παγω-

---

Pindari vitam Thomanam novi ex *b z* Vrat. C *Y i' μ' ξ'* Gen. (libro Geneviensi a Westermanno collato) et Mosc. B apud Bœckhium satis neglegenter collato. In *ΓΔ* nulla legitur Pindari vita. E codice libro Ambrosiano *Y* nullius fere pretii simillimo fluxit editio Aldina, ex alio codice satis integro editio Romana, ex ipsa Aldina editione et ex vetustis codicibus ut videtur nonnullis locis interpolata. In libro ξ' male compacto cum prior vitæ pars usque ad *ταλαίπωροι* (p. 35, 2) alieno loco posita esset, manus sæculi decimi sexti lacunam ex editione Romana supplevit. Ceterum reliquis libris præstat Vrat. C, qui nonnunquam solus cum ea Pindari vita a Thoma Magistro in novam formam redacta conspirat, quæ in nonnullis codicibus veteribus (Cæsareo A, Mediceo D, Parisino A), tum in cod. Gott. et Vrat. D a Bœckhio adhibitis extat. Simili libro usus esse videtur græculus ille, qui vitam quæ in *b* codice legitur consarcinavit.

Titulum om. manus prior in *i'*, in quo *τοῦ σοφωτάτου θωμᾶ τοῦ μαγίστρου εἰς πίνδαρον σχόλια* add. m. 2; *γένος πινδάρου* est titulus in Y, *γένος πινδάρου τοῦ ποιητοῦ* in *b*, *πινδάρου λυρικοῦ γένος* in Ald. — 2 *διωρθώθη δὲ* ex *z ξ'* Mosc. B, Vrat. C, Matr. (apud Iriarte, Catal. p. 446) est, *διορθωθὲν* est in edd. inde a Romana; de cett. codd. non constat. — Verba *κυροῦ θωμᾶ τοῦ*, quæ in edd. ante *Μαγίστρου*

μίδα καὶ Μυρτοῦς, ἀπὸ κώμης Κυνὸς Κεφαλῆς καλουμένης. ἡ δὲ Μυρτὼ ἐγαμήθη Σκοπελίνῳ τῷ αὐλητῇ, ὃς τὴν αὐλητικὴν διδάσκων τὸν Πίνδαρον, ἐπεὶ εἶδε μείζονος ἕξεως ὄντα, παραδέδωκε Λάσῳ τῷ Ἑρμιονεῖ μελοποιῷ, παρ' ᾧ τὴν λυρικὴν ἐπαιδεύθη.

---

inserta leguntur, delevi codices z Vrat. C Mosc. B μ' ξ' Matr. secutus; etiam in titulo vitæ Sophoclis a Thoma Magistro conscriptæ διωρθώθη δὲ παρὰ τοῦ σοφωτάτου Μαγίστρου scriptum legitur; conf. Westermannum in Vitarum Scriptoribus Græcis Minoribus p. XII. — 3 μὲν om. ed. Rom. — τούς] τοῦ Gen. — 4 φασὶ Y; — pro hac voce hoc extat Germani haud dubie additamentum e Suida desumptum in U: σημείωσαι (codex σ with η above, Mommsen male σημεῖον), ὅτι ἐγένετο καὶ ἕτερος πίνδαρος ἐκ σκοπελίνου. — Quæ post φασὶν in Y et edd. inseruntur οἱ δὲ λέγουσι τὸν αὐτὸν (λέγουσιν αὐτὸν Y) Δαϊφάντου καὶ Σκοπελίνου (σκοπελίνου ed. Rom.), pro quibus οἱ δὲ τὸν αὐτὸν σκοπελῖνόν φασιν est in codd. vett., omm. b z Vrat. C ι' ξ'; de ceteris codd. non est notatum. — οἱ δὲ Παγωνίδου (παγωνίδου Y, Παγώνδα Westerm.) Y et edd., οἱ δὲ τὸν αὐτὸν παγωμίδα (παγωμίδου z, παγωμιδάου Gen.) codd. accuratius collati; quod Bœckh ex Vrat. C et Mosc. B παγωνίδα (sic codd. vett.) affert, error esse videtur pro παγωμίδα, quod certe in Vrat. C legitur.

1 καὶ om. ξ'. — ἀπὸ γένους Y, ἀπὸ κόμης Gen. — κυνοκεφάλων cum codd. vett. (et Eustathio) Y et edd. vett., Κυνοκεφαλῶν Heyne, Κυνοςκεφαλῶν Bœckh et Westermann, κυνοσκεφαλῆς καλ. Mosc. B, κυνὸς κεφαλῆς καλ. codd. accuratius collati, nisi quod κυνηκὸς κεφ. καλ. est in ξ'. — In b hæc inde a p. 31, 3 in hunc modum mutata leguntur: Π. μ. γ. ἦν θηβαῖος υἱὸς τοῦ δαϊφάντου κ. τ. ἀλ. ἄλλοι δὲ λέγουσιν αὐτὸν εἶναι υἱὸν σκοπελίνου· ἄλλοι δὲ τοῦ παγωνίδου καὶ τῆς μυρτοῦς ἀπὸ κώμης καλ. κυνὸς κεφαλῆς. — 1. 2 ἡ δὲ — διδάσκων] ὁ δὲ σκοπελῖνος διδάσκων τὴν αὐλητικὴν Y Ald. — 2 αὐλητήκην Gen. — διδάσκω μ'. — 3 ἕξεος ξ'. — παραδέδωκε ex ι' μ' ξ' Gen. Vrat. C est pro παρέδωκε. — 4 εἱρμονεῖ ed. Rom. — Post μελοποιῷ hæc leguntur in U: εὑ.. (εὗρε Mommsen) δὲ πρῶτος τῶν ἄλλων πολλά· ὃς καὶ πρῶτος τῶν διθυραμβοποιῶν ποιητῶν ἐστι. παρ' ᾧ etc. — παρ' οὗ Y b.

γέγονε δὲ κατὰ τοὺς χρόνους Αἰσχύλου καὶ συγγεγένηται αὐτῷ καὶ τέθνηκεν ὅτε καὶ τὰ Περσικὰ ἤκμαζεν. ἔσχε δὲ θυγατέρας δύο, Πολύμητιν καὶ Πρωτομάχην, κατῴκει δὲ τὰς Θήβας, πλησίον τοῦ ἱεροῦ τῆς μητρὸς τῶν θεῶν τὴν οἰκίαν ἔχων τῆς Ῥέας. ἐτίμα δὲ τὴν θεὸν σφόδρα ὢν εὐσεβέστατος, καὶ τὸν Πᾶνα καὶ τὸν Ἀπόλλωνα, εἰς ὃν καὶ πλεῖστα γέγραφε· νεώτερος δὲ ἦν Σιμωνίδου, πρεσβύτερος δὲ Βακχυλίδου. κατὰ δὲ τὴν Ξέρξου κατάβασιν ἤκμαζε τῇ ἡλικίᾳ. ἐτιμήθη δὲ σφόδρα ὑπὸ πάντων τῶν Ἑλλήνων διὰ τὸ ὑπὸ τοῦ Ἀπόλλωνος οὕτω φιλεῖσθαι,

---

1 *καὶ συγγεγένηται αὐτῷ* omm. YAld. — **2** *καὶ τέθνηκεν*] «Hoc temporum rationi repugnat. At *ἤκμαζεν* ipse *κατὰ τὰ Περσικά*, ut vel ex seqq. intelligas» *Heyne*. «Mihi vero verba *καὶ τέθνηκεν* videntur delenda» *Bœckh*, improbante Westermanno. — *καὶ* omm. edd. ante Bœckhium. — *ἤκμαζον* Ald. — *ἐγαμήθη δὲ ἡ μυρτὼ σκοπελίνῳ τ. αὐλ. ὃς ἐδίδασκε πίνδαρον τὴν αὐλητικήν· ἐπειδὴ δὲ εἶδε αὐτὸν μ. ξ. ὄντα παρέδωκεν αὐτὸν λ. τ. ἑρμιονεῖ ὄντι μελ. παρ' οὗ ἐπαιδεύθη τὴν λ. γ. δὲ κ. τ. χρ. αἰσχύλου κ. συγγ.* (om. *αὐτῷ*) *καὶ τέθνηκεν ὅτε ἤκμαζον τὰ περσικὰ* est in *b*. — *ἐγέννησε δὲ b*. — **3** *πολυμήτην* Y ξ' Gen., *Εὔμητιν* edidit Westermann, at *Πολύμητιν, ἄλλοι δὲ Εὔμητιν* est etiam in Par. A, Cæs. A. — *προτομάχην* Gen. — *τὰς Θήβας* om. *b*. — **4** *τοῦ ἱεροῦ τῆς ῥέας τῆς τῶν θεῶν μητρός. ἔχων δήπουθεν τὴν οἰκίαν αὐτὴν τῆς θεᾶς* est in *b*. — *τῶν θεῶν τῆς μητρός* Gen. — *τὴν οἰκίαν ἔχων τῆς ῥέας* Vrat. et codd. vett., *ῥέας τὴν οἰκίαν ἔχων* cett. codd. et edd., nisi quod *οἰκεῖαν* est in ξ', *τῆς ῥέας* in Ald. et *τὴν οἰκίαν* omm. Y Ald. — **5** *τὸν θεὸν* ξ', *ταύτην* Y Ald. — *ἦν δὲ εὐσεβέστατος καὶ τοὺς θεοὺς ἐτίμα σφόδρα καὶ τὸν πᾶνα καὶ τὸν ἀπόλλωνα εἰς ὃν πλεῖστα ἔγραφεν* est in *b*. — *ὢν εὐσεβέστατος* omm. Y Ald. — *πᾶνα* ξ'. — **6** *γέγραφεν* ed. Rom. Westerm. — *δ' ἦν* Westermann. — **6. 7** *ἦν δὲ σιμ. νεώτ. καὶ πρ. βακχ. b*. — **7** *δὲ* post *κατὰ* om. *z*. — *τὴν* om. Gen. — *τὴν τοῦ ξ.* edd. ante Bœckhium. — **8** *ἤκμαζεν* Ald. — *ἤκμαζε δὲ κατὰ τὴν κατάβασιν τοῦ ξέρξου b*. — *τῇ ἡλικίᾳ* ex *z* Vrat. Gen. *ι' μ' ξ'* est pro *τὴν ἡλικίαν*. — *πάντων* omm. *z μ'*. — **9** *τῶν* om. ξ'. — *τοῦ* omm. Y Vrat. — *οὕτω* om. Ald.

ὡς καὶ μερίδα λαμβάνειν ἀπὸ τῶν προσφερομένων τῷ θεῷ, καὶ τὸν ἱερέα βοᾶν ἐν ταῖς θυσίαις Πίνδαρον ἐπὶ τὸ δεῖπνον τοῦ θεοῦ. λόγος καὶ τὸν Πᾶνα ὀρχήσασθαί ποτε τὸν αὐτοῦ παιᾶνα περὶ τοῦ Πέλοπος καὶ χαίρειν ᾄδοντα τοῦτον ἀεὶ ἐν τοῖς ὄρεσι. φασὶ δὲ καὶ ὅτι ποτὲ Λακεδαιμόνιοι Βοιωτοὺς ἐμπρήσαντες καὶ Θήβας, ἀπέσχοντο μόνης τῆς οἰκίας αὐτοῦ, θεασάμενοι ἐπιγεγραμμένον τὸν στίχον τόνδε· Πινδάρου τοῦ μουσοποιοῦ τὴν στέγαν μὴ καίετε. ὅπερ καὶ τὸν Ἀλέξανδρον μετὰ ταῦτά φασι πεποιηκέναι. καὶ γὰρ οὗτος ἐμπρήσας τὰς Θήβας μόνης τῆς ἐκείνου οἰκίας ἐφείσατο. ἐχθρῶς δὲ διακειμένων τῶν Ἀθηναίων πρὸς

---

1 *ὡς* ι', om. Gen. — *μερ. λαμβ. ἀπὸ τῶν πρ. τ. θ.* ex *b* Y Vrat. Ald. est pro *μερίδα τῶν προσφερομένων τῷ θεῷ λαμβάνειν*. — 2 *βοᾶν b* ι' et edd. nonnullæ. — *τὸ*] *τὸν* ξ. — 3 *πᾶνα* ξ. — 3—5 *καὶ τὸν Πᾶνα — ἐν τοῖς ὄρεσι. φασὶ* omm. Y Ald. Conf. etiam *b* librum p. 33, 9 — p. 34, 5: *διὰ τὸ εἶναι αὐτὸν φιλούμενον τοσοῦτον ὑπὸ ἀπόλλωνος ὥστε λέγουσι καὶ μερίδα λαμβάνειν ἀπὸ τῶν προσφερομένων τῷ θεῷ· καὶ τὸν ἱερέα φασὶ βοᾶν ἐν ταῖς θυσίαις· ἄγετε πίνδαρον ἐπὶ τὸ τοῦ θεοῦ δεῖπνον. ᾄδεται δὲ λόγος, ὅτι ποτὲ λακεδαιμόνιοι ἐμπρ. βοιωτοὺς κ. θ.* etc. — 4 Pro verbis *τοῦτον ἀεὶ ἐν τοῖς ὄρεσι* Boeckh in Vrat. D et Gott. *περὶ τοῦ πέλοπος* scriptum esse refert; verba *περὶ τοῦ πέλοπος* ex Vrat. C addidi et *λόγος καὶ τὸν πᾶνα εὑρῆσαί ποτε ᾄδοντα περὶ τοῦ πέλοπος. λόγος δὲ ὅτι ποτὲ λακεδαιμόνιοι* etc. est etiam in codd. vett. — *ἀεὶ* ι'. — 5 *ποτὲ* omm. Y ξ. — 6 *μόνης* om. Ald. — *αὐτοῦ*] *πινδάρου b.* — *θεασ. καὶ ἐπιγεγρ.* Gen. — 7 *στοῖχον* ξ. — *τὸν στίχον τοῦτον* Y Ald. et codd. vett., *τοῦτον τὸν στίχον ἐκεῖ b.* — 7. 8 *τὴν στέγαν* Vrat. ε ι' μ' ξ, edd. ante Boeckhium (qui *τὰν στέγαν* edidit) cum Mediceo D et Parisino A. *τὴν στέγην b* Y Ald. cum Cæsareo A. — 8 *τὸν* excidit in edd. inde a Beckiana. — *τοῦτο αὐτὸ καὶ ἀλέξανδρος ἐποίησε μετὰ ταῦτα· καὶ αὐτὸς γὰρ ὡς λέγεται ἐμπρήσας τὰς θήβας μόνης ἐκείνης τῆς τοῦ πινδάρου οἰκίας ἐφείσατο* est in *b.* — *μετὰ ταῦτα φασὶ* ed. Rom. — 9 *πεποιημέναι* Y. — *καὶ γὰρ καὶ οὗτος* ι' Gen. — 9. 10 *καὶ γὰρ — ἐφείσατο* omm. Y Ald. — 10 *ἐχθρωδῶς* ε ι' et inde a Rom. edd. ante Boeckhium.

τοὺς Θηβαίους, ἐπεὶ εἶπεν ἐν τοῖς αὐτοῦ ποιήμασιν· Ὦ ταλαίπωροι Θῆβαι (Fr. 196) *καὶ Μεγαλοπόλιες Ἀθᾶναι* (Pyth. VII. 1) *ἐζημίωσαν αὐτὸν χρήμασιν οἱ Θηβαῖοι, ἅπερ ὑπὲρ ἐκείνου ἔτισαν Ἀθηναῖοι. γέγραπται δὲ αὐτῷ ἑπτακαίδεκα βιβλία, ὧν τέσσαρα ἡ λεγομένη Περίοδος λέγει τάδε· Ὀλυμπιονῖκαι, Πυθιονῖκαι, Ἰσθμιονῖκαι, Νεμεονῖκαι.*

---

qui *ἐχθρῶς* ex Vrat. C (D Gott.) recepit, idem legitur in Y; *ἐχθωδῶς* ξ, *ἐχθροδῶς* b μ', *ἐχθρῶν* Ald.

1 *ἐν τοῖς αὐτοῦ ποιήμασιν* Vrat. z ί μ' et inde a Rom. edd. ante Bœckhium, *ἐν τοῖς αὐτοῦ π.* b, *ἐν τοῖς π. αὐτοῦ* ξ, *αὐτοῦ* omm. cett. codd. et edd. — 1. 2 *ταλαίποροι* z μ'. — 2 *Θῆβαι* om. b cum codd. vett. — *ὦ ταλ. Θῆβαι καὶ* omm. edd. ante Bœckhium, qui «Gott. in marg. *Ἄλλως Αἰσχίνης ἐν ἐπιστολῇ Ἐπὶ δοκῇ σοι.* V. Aeschinis quæ fertur epist. IV. p. 667. 669.» annotat. — *ἀθῆναι* Y b Vrat. Gen. — 3 *ἐζημίωσαν αὐτὸν οἱ θηβ. χρήμασιν ἅπερ ἔτισαν ὑπὲρ αὐτοῦ ἀθ.* b. — *χρήμασιν οἱ* om. Y, *χρήμασι* (om. *οἱ*) est in Ald. — *ὑπὲρ αὐτοῦ* b Y Ald. et codd. vett. pro *ὑπὲρ ἐκείνου*. — 4 *ἔδωκαν* ί μ' ξ et margo Vrat., *ἔδωκεν* Gen. — δ' Westermann. — *βιβλία ιζ* b. — *ἑπτὰ καίδεκα* Vrat. — Post *ἀθηναῖοι* (sic Y) hæc sequuntur in Y et Ald.: *ἔγραψε δὲ ὀλυμπιονίκας, πυθιονίκας, νεμεονίκας καὶ ἰσθμιονίκας. ἔστι δὲ τὰ ὀλύμπια* etc. — 5 *ἡ περίοδος λέγει ἤγουν ὀλυμπιονίκας, πυθιονίκας, ἰσθμιονίκας καὶ νεμεονίκας* est in b, *ἡ λεγομένη περίοδος τάδε· τὰ ὀλύμπια φημί (φημὶ* om. ί'), *τὰ πύθια, τὰ νέμεα καὶ τὰ ἴσθμια* in z ί' μ' ξ et edd. ante Bœckhium, qui *Ὀλυμπιονῖκαι, Πυθ. Νεμ. Ἰσθμ.* edidit Vrat. C (et D) secutus, in quo tamen *λέγει τάδε* post *περίοδος* additur, vocabula cum *νικαι* composita in penultima accentum acutum exhibent et *ἰσθμιονῖκαι* cum codd. vett. (in quibus *ὀλυμπιονίκας* etc. accusativo casu legitur) ante *νεμεονῖκαι* collocatum est. Fallitur igitur Bergk p. 20, ceterum recte vituperans Bœckhium, quod ordinem librorum auctoritate munitum temere mutaverit, cum inversum ordinem in nonnullis codicibus Thomæ vel alii correctori Byzantino deberi suspicatus est. — Germanus post *Νεμεονίκας* hæc inseruit: *ἀπὸ δὲ τῶν ιζ βιβλίων εἰσὶ καὶ τὰ λεγόμενα προσόδια καὶ παρθένοι* (l. *παρθένια*), *πᾶνα, ὕμνον* (l. *παιᾶνες, ὕμνοι*), *διθυραμβικά, σκολιά*

Ἀλλὰ περὶ μὲν τῶν ἄλλων οὐ χρεία νῦν ἐστι λέγειν, περὶ μέντοι τῆς θέσεως τῶν Ὀλυμπίων λεκτέον. τινὲς μὲν ταῦτα εἰς τοὺς Οἰνομάου καὶ Πέλοπος ἀναφέρουσι χρόνους· ἕτεροι δὲ Ἡρακλεῖ ἀνατιθέασιν, ὃ καὶ Πίνδαρος λέγει ἐνδοξότερον ποιῶν τὸν

(l. *διθύραμβοι, σκολιά*, aliter M. Schmidt in Philol. XVIII p. 237) *καὶ ἄλλα*. De quo additamento recte indicavisse videtur Bergk p. 368: «Qui hæc adiecit haud dubie Suida usus est; ordo carminum plane consentit, sed omissa sunt potissimum minus trita carminum nomina». Post *Νεμεονῖκαι* in Y et edd. (de Bœckhii codicibus nihil relatum est) hæc inserta sunt: *ἔστι δὲ τὰ ὀλύμπια ἀγὼν εἰς τὸν δία, τὰ πύθια ἀγὼν εἰς τὸν ἀπόλλωνα, τὰ νέμεα ἀγὼν καὶ αὐτὸς εἰς τὸν δία, τὰ δὲ (δ' Westerm.) ἴσθμια ἀγὼν εἰς τὸν (τὸν om. Y) ποσειδῶνα, τὰ δὲ (δ' Westerm.) ἔπαθλα τούτων ἐλαία, δάφνη, σέλινον ξηρόν τε καὶ χλωρόν*. Quibus in Y et Ald. ceteris omnibus omissis nota de novem lyricis statim subiungitur.

1 *μὲν*] *μέντοι* Bœckh ex Vrat. C [hoc falsum] Mosc. B; idem est in Gen. *ε*, om. *ξ*. — Gen. mox titulum *περὶ θέσεως τῶν Ὀλυμπίων* habere dicitur. — *τῶν τῆς ἄλλων* (?) Gen. — Post *λέγειν* Bœckh, quem Westermann secutus est, ex Vrat. D, Gott., id est ex libris, quibus vita Thoma antiquior continetur, *καὶ τὰ ἐπιβάλλοντα τούτοις ὕστερον ἐροῦμεν· νῦν δὲ* addidit. — *ἀλλὰ περὶ τῶν ἄλλων ἐροῦμεν ὕστερον· νῦν δὲ περὶ τῆς θέσεως τῶν ὀλυμπιονικῶν λεκτέον. τινὲς μὲν φασίν, ὅτι ἐν τοῖς οἰνομάου χρόνοις καὶ πέλοπος ἐτέθησαν· ἄλλοι δὲ ἀνατιθέασι ταῦτα τῷ ἡρακλεῖ ὡς καὶ πίνδαρος φησί κοσμῶν τὸν ἀγῶνα ἐνδοξοτέροις* etc. est in *b*. — 2 *μέντοι* ex Vrat. *ε ί μ ξ* addidi, *δὲ* Rom., quod omissum est apud Bœckhium et Westermannum. — Post *μὲν* apud Bœckh. et Westerm. *οὖν* additum est ex Gott. — *ταῦτα* omm. *μ* et edd. ante Bœckhium. — 2. 3 *εἰς τοὺς Οἰνομάου* ex Vrat. *ε ί ξ* Gen. (in quo tantum *περὶ* deesse dicitur) est pro *εἰς τὰ περὶ Οἰνομάου*. — 3 *ἀναφέρουσι χρόνους ί ξ*, *ἀναφέρουσι χρόνον* Gen., *χρόνους ἀναφέρουσι* Vrat., *ἀναφέρουσιν* (om. *χρόνους*), *ε μ* et edd. — Post *ἀναφέρουσι* Bœckh, quem Westermann secutus est, ex Vrat. D et Gott. hæc recepit: *ἄλλοι δέ φασιν, ὡς οὕτως αἰσχρὰν οὖσαν τὴν θέσιν οὐκ ἂν διεφύλαξαν*. — *ἄλλοι δὲ* Bœckh ex iisdem codd.,

ἀγῶνα. ἐπεὶ γὰρ τὴν Αὐγείου κόπρον ἐκάθηρε καὶ τῶν ἐπηγγελμένων οὐκ ἔτυχε, συναγαγὼν πολὺν στρατὸν τόν τε Αὐγείαν φονεύει, καὶ τὴν Ἦλιν παρεστήσατο καὶ πολλὰ λάφυρα συναγαγὼν ἀγῶνα τίθησι τοῖς μετ' αὐτοῦ πολεμήσασιν, ὅθεν καὶ τὸ ἔθος διαμεῖναι. ἄλλοι δέ φασιν, ὡς Ἴφιτός τις καὶ Εὐρύλοχος τοὺς Κιῤῥαίους πολεμήσαντες· οὗτοι δὲ ἦσαν οἱ τὴν παράλιον τῆς Φωκίδος λῃσταὶ κατέχοντες· καὶ πολλὰ λάφυρα συναγαγόντες, ὁ

ἄλλοι δ' Westermann. — *ἐνδοξότερον ἰ' ξ* et Westermann (ex Eustathio), *ἐνδοξώτερον* Vrat. *z μ'* et cett. edd., nisi quod Bœckh *ἐνδοξοτέροις* ex Vrat. D et Gott. recepit. — *κοσμῶν* Bœckh et Westermann ex Eustathio, Vrat. D et Gott., *τριῶν* Vrat. C, *ποιῶν* cett. codd. (tantum de *z ἰ' μ' ξ* Gen. constat) et edd. — 5 — p. 37, 1 *ὁ καὶ — γὰρ τήν* om. *z*.

1—5 *ἐπεὶ γὰρ καθῆρε τὴν τοῦ αὐγείου κόπρον κ. τ. ἐπ. οὐκ ἔτυχε· συναγ. στρατόπεδον φ. τὸν αὐγ. καὶ κατέσχε τὴν χώραν ἐκείνου. καὶ περιποιησάμενος πολλὰ λ. τίθησιν ἀγῶνα τοῖς μ. αὐτοῦ πολ. ὅθεν λέγεται διαμεῖναι τὸ ἔθος* est in *b*. — 3 *ἦλιν* Vrat. *z μ'*. — *παραστησάμενος* Bœckh ex Vrat. D et Gott. — *συναναγαγών* Heyne. Bœckh. — 5 *διέμεινεν* Westermann ex Eustathio. — Post *διαμεῖναι* hæc habent edd.: *ἀλλ' οὐδὲ (οὐδ'* Westerm.) *αὐτή (αὕτη* Bœckh et Westerm.) *ἔμεινεν ἡ θέσις ἐπὶ τῆς συμβάσης αὐτῆς (αὖθις* coni. Bœckh, *αὐτοῖς* Beck, Westermann, *αὐτῆς* delendum vel in *αὐτῇ* mutandum esse coni. Heyne) *δυσχερείας· ὑπόμνησις δὲ ἦν (θέσις, ἐπεὶ τ. σ. αὐτοῖς δυσχερείας ὑπόμνησις ἦν* Westermann ex Eustathio). *ἀλλ' Ἴφιτός τις* etc. In *b* codice vita Pindari his verbis explicit: *ἀλλ' ἡ θέσις οὐκ ἔμεινεν. ὁ δὲ ἴφιλος καὶ εὐρύλοχος καταπολεμήσαντες τοὺς κυῤῥαίους. ἦσαν δὲ οἱ κυῤῥαῖοι λῃσταί, κατέχοντες τὴν πάραλον τῆς φωκίδος καὶ π. λ. σ. ὁ μὲν ἴφιλος κατέβαλε τὰ ὀλ. ὁ δὲ εὐρ. τὰ πύθια. καὶ ἔκτοτε συνέβη ἐπιμεῖναι τὴν θέσιν ταύτην.: + γεγονὼς δὲ ὁ πίνδαρος ἐτῶν ξς' τέθνηκεν ἐπὶ βίαντος ἄρχοντος κατὰ τὴν πς' ὀλυμπιάδα. ἤκουσε δὲ σιμωνίδου τοῦ ποιητοῦ: +* 5 *τις καὶ Εὐρ.* om. Gen. — 6 *κιρκηραίους* Gen. — *καταπολεμήσαντες b* et Westermann ex Eustathio, *πολεμίσαντες ξ*. — *δ' ἦσαν* Westermann. — *παράλιτον* Gen., *πάραλον* Bœckh ex Vrat. D et Gott. — 6. 7 *τῶν φωκίδος* Gen.

μὲν Ἴφιτος τὰ Ὀλύμπια συνεστήσατο, ὁ δὲ τὰ Πύθια Εὐρύλοχος· καὶ ἐκ τούτου ἐπιμεῖναι τὸ ἔθος συνέβη.

Τέθνηκε δὲ ὁ Πίνδαρος ἓξ καὶ ἑξήκοντα ἐτῶν γεγονὼς ἢ ὥς τινες ὀγδοήκοντα ἐπὶ Ἀβίωνος ἄρχοντος κατὰ τὴν ἕκτην καὶ ὀγδοηκοστὴν Ὀλυμπιάδα. ἀκροατὴς δὲ γέγονε Σιμωνίδου. ὁ δὲ ἐπινίκιος οὗ ἡ ἀρχή· Ἄριστον μὲν ὕδωρ, προτέτακται ὑπὸ Ἀριστοφάντου συντάξαντος τὰ Πινδαρικὰ διὰ τὸ περιέχειν τοῦ

---

1 εὑρ. δὲ τὰ πύθια ε΄ ; ὁ δ' Εὐρύλοχος τὰ Πύθια Westermann. — 1. 2 ὁ εὑρ. ε. εὔλοχος Vrat. ante corr. (corr. m. 2). — 2 τὴν θέσιν συνέβη edd. — 3 τέθνηκεν (om. δέ) Vrat. — δ' ὁ Westermann. — ὁ om. Γ. — 3. 4 Verba ἢ ὥς τινες ὀγδοήκοντα omm. Gott., Vrat. D aliique codd. vett., uncis inclusit Boeckh, perperam. — 4 βίαντος b et Gott., Ἀβίωνος cett. codd. et Eustathius. Βίωνος (qui ol. 80, 3 archon erat) ex Diod. 11. 79 et κατὰ τὴν π΄ Heyne, γεγονὼς ἐπὶ Ἀρίστωνος ἄρχοντος (ol. 81, 3) ἢ ὥς τινες π΄ κατὰ τὴν π΄ Ὀλυμπιάδα Meursius d. arch. 2, 16; γεγονὼς ἐπὶ Βίωνος ἢ ὥς τινες π΄ κατὰ πς΄ Ὀλυμπιάδα Clinton fast. Hell. 2. p. 61 ed. Lips. — «Sane quidem aliquid hic vitii est, nam Eustathius γενομένῳ ἐπὶ ἄρχοντος Ἀβίωνος κατὰ τοὺς χρόνους Αἰσχύλου, ᾧ καὶ συγγεγένηται. τέθνηκε δ' ὅτε τὰ Περσικὰ (!) ἤκμαζε κατὰ τὴν πς΄ Ὀλυμπιάδα, ζήσας ἔτη ξς΄, κατὰ δ' ἐνίους π΄. in quibus γενομένῳ cum Schneidewino de flore Pindari accipere non permittit oppositum τέθνηκε. natus est igitur archonte Abione, mortuus ol. 86: iam cum certum sit natum esse Pythiorum tempore, i. e. tertio olympiadis anno, sequitur ut si mortuus est ætatis anno 66, Abion archon fuerit ol. 69, 3, sin anno 80, ol. 66, 3. — præstat posterius, nam sic demum recte dici poterat natus esse κατὰ τοὺς χρόνους Αἰσχύλου, qui natus erat ol. 63, 4. itaque volebat Thomas debebat certe, τέθνηκε δ' ὁ Πίνδαρος ξς΄ ἐτῶν γεγονὼς ἐπὶ Ἀβίωνος ἄρχοντος, ἢ ὥς τινες π΄ κατὰ τὴν πς΄ Ὀλυμπιάδα. scilicet verba ἢ ὥς τινες π΄ margini adpicta alieno loco irrepserunt. nec omittendum est, quod Suidas natum Pindarum esse ait ol. 65.» *Westermann.* — τὴν excidit apud Beckium, Heynium, Boeckhium; «ex Eustathio» revocavit Westermann. — καὶ om. Vrat. — 6 ἐπ' Westerm. — 6. 7 Lectionem corruptam ἀριστοφάντου συντά-

ἀγῶνος ἐγκώμιον καὶ τὰ περὶ τοῦ Πέλοπος, ὃς πρῶτος ἐν Ἤλιδι ἠγωνίσατο. γέγραπται δὲ Ἱέρωνι βασιλεῖ Συρακουσίων· αἱ δὲ Συράκουσαι πόλις τῆς Σικελίας· ὃς καὶ κτίστης Αἴτνης ἐγένετο πόλεως, ἀπὸ τοῦ ὄρους αὐτὴν οὕτως ὀνομάσας· ἀποστείλας γὰρ οὗτος ἵππους εἰς Ὀλυμπίαν ἐνίκησε κέλητι.

ξαντος ex z i' μ' ξ et codd. vett. recepi pro Ἀριστοφάνους τοῦ συντάξαντος.

1 τοῦ om. Vrat. — 1. 2 οἳ πρῶτον ἐν ἤλιδι ἠγωνίσαντο z. — 2 δ' Ἱέρωνι Westermann. — 3 πόλεις z ξ'. — τῆς om. i'. — κτιστὴς Westerm. — Αἴτνης om. z. — 4 οὕτως] αἴτνην ξ'. — 5 κέλλητι Vrat. z i' μ' ξ'. — In calce hocce Platonis vel Antipatri Sidonii vel Leonidæ epigramma legitur in *b*:

Ἡρωελεγεῖον δίστιχον εἰς τὸν τάφον Πινδάρου·

ἄρμενος ἦν ξείνοισιν ἀνὴρ ὅδε καὶ φίλος ἀστοῖς,
Πίνδαρος εὐφώνων Πιερίδων πρόπολος.

[Σχόλια μετρικά]

Δημητρίου Τρικλινίου.

Ἰστέον ὅτι πάντα τὰ μέτρα πλὴν τοῦ δακτυλικοῦ κατὰ διποδίαν μετρεῖται καὶ ἀνέρχεται μέχρι τοῦ πενταμέτρου. ἔστι δὴ μονόμετρον μὲν τὸ ἔχον πόδας δύο, δίμετρον τὸ ἔχον πόδας τέσσαρας, τρίμετρον τὸ ἔχον ἕξ, τετράμετρον τὸ ἔχον ὀκτώ, πεντάμετρον τὸ ἔχον δέκα, καὶ περαιτέρω οὐ πρόεισι. παντὸς δὲ μέτρου πλὴν τοῦ δακτυλικοῦ ἀποθέσεις ἤτοι καταλήξεις εἰσὶ τέσσαρες· βραχυκατάληκτον, καταληκτικόν, ἀκατάληκτον καὶ ὑπερκατάληκτον. καὶ βραχυκατάληκτον μέν ἐστιν, ὡς ἐν παραδείγματι ἐπὶ τοῦ μονομέτρου εἰπεῖν, ὅπερ ποδὸς ὅλου δεῖται πρὸς ἀπαρτισμόν, οἷον τὸ φεῦ, φεῦ, ἢ τὸ ἰώ, ἢ τὸ ἔα. ταῦτα γὰρ μονόμετρά ἐστι βραχυκατάληκτα διὰ τὸ ἔχειν μὲν τὸν ἕνα πόδα, τοῦ ἑτέρου δὲ λείπεσθαι. καταληκτικὸν δὲ τὸ δεόμενον μιᾶς συλλαβῆς πρὸς ἀπαρτισμόν, οἷον τὸ ἰώ μοι, ἢ τὸ ὤμοι μοι.

Demetrii Triclinii tractratuli metrici a Bœckhio e codice Vratislaviensi C (apud Bœckhium male Vrat. D excusum est) et ex codice Hephæstionis Vratislaviensi editi sunt. In Vrat. C *q* ξ' præcedit *ἐπιτομὴ τῶν ἐννέα μέτρων ἐκ τοῦ ἐγχειριδίου ἡφαιστίωνος*; initio mutilus est liber φ', qui incipit a verbis *τὸ ἔχον ἕξ* (v. 6). Eadem diatriba extat in Matritensi Pindari codice; v. Iriarte Catal. p. 446. — **3. 4** *κατὰ μονοποδίαν* ξ'. — **4** *ἔστι δὲ·* ξ'. — **5** *μέν* et fort. etiam *τὸ* om. ξ'. — **6** *ἔχον πόδας ἕξ* et *ἔχον πόδας ὀκτώ* *q*. — **10** *μέν ἐστιν* *q* pro *μέν ἐστιν*. — **12. 13** *γὰρ δὴ μον.* *q*. — **15** *ἰώμοι μοι* et *ὤμοι* (om. *μοι*) ξ'.

ταῦτα γὰρ μονόμετρά ἐστι καταληκτικὰ διὰ τὸ ἔχειν ὅλον πόδα καὶ μίαν συλλαβὴν ἤτοι ἥμισυ ποδός, λείπεσθαι δὲ μιᾶς συλλαβῆς πρὸς ἀπαρτισμόν. ἀκατάληκτον δὲ ὅπερ ἀπηρτισμένους ἔχει τοὺς πόδας, οἷον τὸ ἰοὺ ἰού, ἢ τὸ ἰὼ ἰώ, ἢ τὸ φεῦ φεῦ ἰώ· ταῦτα γὰρ μονόμετρά ἐστιν ἀκατάληκτα διὰ τὸ ἀπηρτισμένους ἔχειν τοὺς πόδας καὶ μὴ ἐλλιπεῖς ὡς τὰ εἰρημένα. ὑπερκατάληκτον δὲ τὸ ἔχον μὲν ἀπηρτισμένους τοὺς πόδας, ἔχον δὲ καὶ συλλαβὴν μίαν πλείονα. εἴρηται δὲ πλὴν τοῦ δακτυλικοῦ, ὅτι τοῦτο μόνον κατὰ μονοποδίαν μετρεῖται διὰ τὸ εἶναι τοὺς πόδας τρισυλλάβους. ὅτε μὲν οὖν ἀπηρτισμένους ἔχει τοὺς πόδας, λέγεται ἀκατάληκτον, ὅτε δὲ πλείονα συλλαβὴν ἔχει, λέγεται καταληκτικὸν εἰς συλλαβήν, ὅτε δὲ δύο, καταληκτικὸν εἰς δισύλλαβον. οὐκ ἔχει γὰρ ἐν τούτῳ χώραν τὸ βραχυκατάληκτον ἢ τὸ ὑπερκατάληκτον, ὡς οἱ μετρικοί φασι. ταῦτα καὶ ἐπὶ διμέτρου καὶ τριμέτρου καὶ τῶν λοιπῶν συμβαίνει τὰ πάθη.

Τοῦ αὐτοῦ περὶ σημείων τῆς κοινῆς συλλαβῆς τῶν ἐντὸς κειμένων τῆς βίβλου.

Ἐπειδήπερ οἱ πάλαι τὰ περὶ γραμματικῆς συνταξάμενοι σημεῖά τινα σοφῶς ἐπινοήσαντες παραδεδώκασιν, ἐξ ὧν τήν τε δύναμιν καὶ τήν, ὡς ἂν εἴποι τις, ποιότητα τῶν συλλαβῶν καὶ τὴν προφορὰν διαγινώσκειν ἔχοιμεν· συλλαβῶν δέ μοι καὶ

---

2 *ἦτο ἥμισυ* ξ'. — 4—7 *τοὺς πόδας — ἀπηρτισμένους* om. ξ'. — *ἰὼ ἰὼ* q.—*ἰὼ* q. — 6 *ἐλλειπεῖς* φ' ante corr. — 9. 10 *δισυλλάβους. ὅτι* ξ'. — 10. 11 *λέγεται — ἔχει* om. ξ'. — 11. 12 *λέγεται δὲ ἀκατάληκτον εἰς* ξ'.

Altera Triclinii diatriba extat in Vrat. C μ' ξ' φ' Matr. et in codice Hephæstionis Vratislaviensi, sed initium commentarioli usque ad *ὅτε μὲν οὖν* (p. 42, 13) excidit in μ'. — 16 *τοῦ αὐτοῦ* fort. om. ξ'. — 13 «Codd. *πάλοι*, ut videtur. Possis et *παλαιοί*, sed v. infra.» *Bœckh*, male. — *γραμματικῶν* (!) Vrat. — 19 *σαφῶς* ξ'. — 20 *εἴπῃ* ξ', *εἴπης* Vrat.

οὐ στοιχείων εἴρηται· ἐπειδὴ τὰ μὲν στοιχεῖα καθ' αὑτὰ κείμενα οὐδὲ μιᾶς τινος μετέχει δυνάμεως, συλληφθέντα δὲ καὶ οἷον ἑνωθέντα πρὸς ἄλληλα καὶ τὰς συλλαβὰς ἀποτελέσαντα δυνάμεις τέ τινας καὶ ποιότητας ἔχει· ἐπενόησαν δὲ ἄλλα τε σημεῖα, τόνους φημὶ καὶ πνεύματα καὶ τὰ λοιπά, ἃ δὴ καὶ προσῳδίας ὠνόμασαν, ὡς πρὸς τὴν ᾠδὴν καὶ τὴν ἐκφώνησιν τῶν συλλαβῶν συντελούσας, πρὸς τούτοις δὲ καὶ μακρᾶς μὲν σημεῖον τοδὶ —, τῆς δὲ βραχείας τουτὶ υ, τῆς δὲ κοινῆς οὐδαμῶς· ἐκείνων γὰρ καὶ ὅρους ἔθεντο, ταύτης δὲ οὔ· καὶ τὰς αἰτίας αὐτοὶ λέγουσιν· ἐπενοήθη ἔμοιγε τῆς κοινῆς σημεῖον διὰ τὴν τῶν πολλῶν πλάνην, καὶ οἶμαι καλὸν ἂν δόξαι τοῖς εὖ φρονοῦσιν. ἐπενοήθη δὲ διπλοῦν τὸ σημεῖον διὰ τὸ διπλῆν τινα καὶ ταύτην ἔχειν τὴν δύναμιν. ὅτε μὲν οὖν ἀντὶ βραχείας ὀφείλει λαμβάνεσθαι, σημεῖον ἐπενοήθη τοδὶ ∟· μακρὰ δηλονότι καταρχὰς ἄνω βλέπον τὸ τοῦ ῑ στοιχείου σημεῖον ἔχουσα· ὅτε δ' ἀντὶ μακρᾶς, τοῦτο ἀντεστραμμένον οὑτωσὶ ⏋· μακρὰ δηλονότι ἐν τῷ τέλει κάτω νεῦον τὸ τοῦ ῑ σημεῖον ἔχουσα. βέλτιον γὰρ ταῦτα τιθέναι καὶ διαγινώσκειν ποία ἐστὶν ἡ κοινὴ ἢ πλανωμένους τινὰς τὸ ποιεῖν γράφειν ποιεῖν ἀμαθῶς, καὶ φύσει βραχὺ φωνῆεν, ἔχον δὲ ἐπαγόμενα δύο σύμφωνα, ὧν τὸ δεύτερον ὑγρόν, ἀμετάβολον ἀεὶ ἀντὶ μακροῦ λαμβάνειν ἢ καὶ τὸ φύσει βραχὺ φωνῆεν ὅταν εἰς μέσος λόγου καταλήγῃ, τὴν μακρὰν ἐπιτιθέντας ἀντὶ μακροῦ λαμβάνειν. ἄτοπον γὰρ οἶμαι τοῦτό γε.

Ταῦτά μοι πρὸς τοὺς συνετοὺς εἴρηται καὶ τῶν μέτρων

---

5 καὶ τὰ πνεύματα Vrat. φ'. — 7 μακρὰς ξ'. — 8 τὸ δὶ Vrat. ξ'. — 13 διπλὴν ξ'. — 14 ὀφ. λογίζεσθαι ξ'. — τὸ δί ξ'. — 15 βλέπων ξ' φ'. — τὸ om. φ'. — στοιχείου] στοιχεῖον ξ'. — 17 τ. κατανεῦον Vrat. — νεύων φ'. — τὸ τοῦ ι σημεῖον ἔχουσα στοιχεῖον ξ' ante corr. — 20 ὑγρόν Boeckh addidit. — 21 ἀντὶ τοῦ μ. μ' ξ' φ'.

ἔχοντας πεῖραν· εἰ δέ τινες εἶεν ὑπ' ἀμαθείας μεμφόμενοι, βραχὺς τούτων λόγος. οὐδὲ γὰρ οὐδ' οἱ πάλαι τὰ κάλλιστ' ἐπινενοηκότες ταῦτα τοῖς τοιούτοις ἐκδεδώκασιν, ἀλλὰ τοῖς συνετοῖς, βραχὺν λόγον τῶν μὴ συνετῶν ἔχοντες, ὡς καί πού τις ἔφη· Ἀείδω ξυνετοῖσι· θύρας δ' ἐπίθεσθε βέβηλοι (Orph. Fr. 42 ed. Abel). ἐγὼ δὲ καὶ ἀδικεῖν ἂν φαίην τοὺς συνετούς, ὃς ἂν ἐπινοήσας σοφόν τι τοῦτο λήθης βυθοῖς κατακρύψειε δεδιὼς ἴσως τὴν ἐκ τῶν ἀσυνέτων μέμψιν. ἵν' οὖν μὴ καὶ αὐτὸς ἀδικεῖν δόξω τοὺς συνετούς, τὸ ἐπελθόν μοι κατὰ νοῦν τούτοις προὔθηκα, οὗτοι δ' ἂν εἰδεῖεν εἰ καλῶς ἔχει ἢ μή· ἐπεὶ καὶ ἅ μοι περὶ τῶν χορικῶν μελῶν καὶ τῶν ἄλλων τῶν ἐν τοῖς δράμασι φερομένων εἰδῶν ἐπινενόηται θείᾳ τινὶ καὶ ἀπορρήτῳ ἐμπνεύσει πλεῖστα πονησαμένῳ, περί τε τούτων καὶ τῶν ἐν αὐτοῖς μέτρων, καὶ ταῦτ' ἐν τοῖς δράμασιν ἐξετέθη, ὡς ἂν οἱ ἐντυγχάνοντες ἔχοιεν διαγινώσκειν τάς τε στροφὰς καὶ ἀντιστροφὰς τῶν μελῶν καὶ τὰς ἐπῳδούς, καὶ τίνος ἐστὶν εἴδους καὶ μέτρου τῶν μελῶν ἕκαστον, καὶ μὴ μάτην τὰ τῶν χορῶν ὁρᾶν μέλη τοῖς ὀφθαλμοῖς, μηδὲν δὲ τούτων εἰδέναι· ὥσπερ τινὲς μὴ γραμμάτων ἔχοντες πεῖραν καὶ βιβλίον ἀνὰ χεῖρας ἀράμενοι βλέπουσι μὲν τύπους γραμμάτων, οὐδὲν δὲ τῶν ἐγκειμένων ἴσασιν.

---

1 ἀμαθίας μ' φ'. — 5 ἐπίθεσθαι ξ'. — 7 τοῦτο] τοι' μ', om. ξ'. — λήθης] ὠήθη Vrat. — βυθεῖς ξ'. — 8. 9 ἀδικεῖν δόξω ex μ' ξ' φ' est pro δόξω ἀδικεῖν. — 10 εἰδῆεν ξ', εἰδείων φ'. — ἔχοι (ο ex corr.?) ξ'. — 12 ἀπορήτω ξ'. — 13 ποιησαμένῳ ξ'. — περὶ τοὺς τούτων μ'. — 14 ἐ τυγχάνοντες (sic) ξ'. — 16 μέτρον Vrat. — Verba καὶ τὰς ἐπῳδοὺς καὶ τίνος ἐστὶν εἴδους καὶ μέτρου τῶν μελῶν bis scripta sunt in Vrat. C (Bœckh «codd.» laudat). — 19 ἀναχείρας μ'. — 20 ἴασιν ξ'.

᾿Επίνικοι ᾿Ολυμπιονίκαις.

῾Ιέρωνι Συρακοσίῳ κέλητι. ᾿Ωιδὴ α΄.

[Δημητρίου Τρικλινίου]

περὶ τῶν κώλων τῶν τε στροφῶν καὶ ἀντιστροφῶν τοῦ α΄ εἴδους τῶν ᾿Ολυμπίων. Παλαιόν.

᾿Ιστέον ὅτι οἱ λυρικοὶ ἐν τοῖς ποιήμασιν αὐτῶν ἐχρῶντο στροφῇ, ἀντιστροφῇ καὶ ἐπῳδῷ· στροφῇ μέν, ὅτι ἀπὸ τῶν δεξιῶν ἐστρέφοντο ἐπὶ τὰ ἀριστερά, ἥτινι ἀναλογεῖ ἡ τοῦ παντὸς κίνησις ἡ ἀπὸ τῶν ἀνατολικῶν ἐπὶ τὰ δυτικά· δεξιὰ γὰρ καλεῖ ὁ Ὅμηρος τὰ ἀνατολικά, ἀριστερὰ δὲ τὰ δυτικά· ἀντι-

---

Demetrii Triclinii scholium metricum ad Ol. I extat in codd. Matr. et Mosc. B, tum in *z* Vrat. *ι′μ′ξ′φ′*, in quibus omnibus argumento primi Olympiorum carminis subnectitur. In edd. inde a Romana priorem scholii partem, quæ p. 45, 9 voce *παλινῳδικά* explicit, aliud de eadem re scholium *ἄλλως περὶ αὐτῶν* inscriptum sequitur. Alteram scholii partem Bœckh primus ex Vrat. edidit, sed a priore parte male disiunxit.

Titulum qui est in edd. inde a Rom. *περὶ τῶν κώλων τῶν στροφῶν ἀντιστροφῶν τε καὶ ἐπῳδῶν* delevit Beck. — Titulum, qualis in codd. legitur omm. *z ι′*. Ceterum in eodem titulo *τε* om. *ξ′*, *τῶν Ὀλυμπίων* om. Vrat., *παλαιόν* om. *φ′*. — 7 *στρ. καὶ ἀντ. καὶ ι′*. — *ὅτι* [*φ′*] edd. inde a Beckio. — *τῶν* quod excidit in Beckii editione ex codicibus reduxit Bœckh. — 8 *πρὸς τὰ ξ′*. — *ἀναλογεῖται ι′ξ′*. — 9 *ἡ* omm. edd. — *ἀπὸ τῶν ἀνατῶν ἀνατολικῶν ξ′*. — *δακτυκά ξ′*. — *δεξιᾶ* Vrat. — 10 *ὁ* omm. *ι′ξ′* et edd. inde a Beckio.

στροφῇ δέ, ὅτι ἐκινοῦντο ἀπὸ τῶν ἀριστερῶν ἐπὶ τὰ δεξιά, ἥτινι ἀναλογεῖ ἡ τῶν πλανήτων κίνησις ἡ ἀπὸ δύσεως εἰς ἀνατολάς· ἐπῳδῷ δέ, ὅτι ἵσταντο ἐν ἑνὶ τόπῳ καὶ ἔλεγον τὰς ᾠδάς, ἥτινι ἀναλογεῖ ἡ στάσις τῆς γῆς. ἐχρῶντο δὲ καὶ δυάσι καὶ τριάσιν, ὡς οὗτος ὁ ποιητής, ἤγουν στροφῇ, ἀντιστροφῇ καὶ ἐπῳδῷ, ἢ στροφῇ μόνῃ καὶ ἀντιστροφῇ· πολλοὶ δὲ καὶ τετράσιν, ἤγουν στροφῇ, ἐπῳδῷ, ἀντιστροφῇ καὶ πάλιν ἀνομοίῳ ἐπῳδῷ. πεντάσι δέ, ἤγουν ἐπῳδῷ, στροφῇ, ἐπῳδῷ, ἀντιστροφῇ, ἐπῳδῷ· ἅτινα ἐλέγετο προῳδικά, ἐπῳδικά, μεσῳδικὰ καὶ παλινῳδικά.

Σύγκειται δὲ τὸ πρῶτον τουτὶ ᾆσμα καί τινα τῶν ἑξῆς ἐκ τριάδος ἐπῳδικῆς. ἔστι δὲ στροφῶν τεσσάρων, ἑκάστης δὲ στροφῆς καὶ ἀντιστροφῆς τὰ κῶλα ιζ΄. Τὸ α΄ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, ὃ καὶ ἀπὸ Γλύκωνος τοῦ εὑρόντος αὐτὸ Γλυκώνειον καλεῖται. Τὸ β΄ τροχαϊκὸν δίμετρον βραχυκατάληκτον, ὃ καλεῖται Ἰθυφαλλικὸν ἀπὸ Ἰθυφάλλου τοῦ Διονύσου, ἔχον τὸν δεύτερον πόδα δάκτυλον. ἐμοὶ δὲ καὶ ἀντισπαστικὸν δοκεῖ δίμετρον καταληκτικόν, ὃ καλεῖται Φερεκράτειον ἀπὸ τοῦ εὑρόντος Φερεκράτους, ἐκ τροχαϊκῆς συζυγίας καὶ βακχείου. οἰκεῖα γὰρ τῷ μέτρῳ. Τὸ γ΄ χοριαμβικὸν δίμετρον καταληκτικόν, ἤτοι ἐφθημιμερὲς ἐκ παίωνος τετάρτου καὶ βακχείου ἢ ἀμφιβράχεος διὰ

---

1 ὅτι [φ΄] edd. inde a Beckio. — 2—4 *ἀναλογεῖ ἡ σύστασις τῆς γῆς· ἐπῳδῷ δὲ ὅτι ἵσταντο, ἐχρῶντο δὲ καὶ* etc. *z*. — 2 *ἀναλογεῖται ι΄΄*. — 3 *ὅτι* [φ΄] edd. inde a Beckio. — 4 *ἀναλογεῖται ι΄΄ξ΄*. — *στᾶσις* Vrat. *ι΄΄ξ΄*. — 5 *ἤτοι ι΄΄*. — *καὶ ἀντιστρ*, *ι΄΄* et edd. — 6 *στρ. καὶ μόνη καὶ ἀντ. z* Vrat. *μ΄φ΄*. — 7 *ἤτοι ι΄΄*. — 8 *ἤτοι ι΄΄*. — 9 *προσῳδικά ι΄΄μ΄ξ* et edd. ante Bœckhium. — 11 *ἐπῳδικῶς z*, *ἐπῳδικῆς ι΄΄ξ΄*, *ἐπῳδικῶν* cett. — 12 *ἀναπαιστικόν ξ΄*. — 14 *δίμ. ἀκατάληκτον ξ΄*. — 15 *ἰθυφαλικὸν* et *ἰθυφάλου* codd. omnes. — *διωνύσου ξ΄*. — 16 *ἀντισπατικόν z*. — 16. 17 *δίμετρον κατάληκτικον* (sic) *δοκεῖ z*. — 18 *βακχεῖοι z* Vrat. *φ΄*. — *οἰκεῖοι* codd., corr. Bœckh.

τὴν ἀδιάφορον. ἐμοὶ δὲ καὶ τοῦτο Ἰθυφαλλικὸν δοκεῖ τροχαϊκόν, τοῦ πρώτου ποδὸς τριβράχεος ἤτοι χορείου. εἴη δ' ἂν καὶ παιωνικόν. Τὸ δ' ἀναπαιστικὸν δίμετρον καταληκτικὸν ἤτοι ἑφθημιμερές, ὃ καὶ παροιμιακὸν καλεῖται ὅτι πολλαὶ παροιμίαι τούτῳ τῷ μέτρῳ εὕρηνται. Τὸ ε' ὅμοιον τῷ β', ἤγουν τροχαϊκὸν Ἰθυφαλλικόν, πλὴν τὸν δάκτυλον ἐν τῇ γ' ἔχει οὐκ ἐν τῇ β' χώρᾳ. Τὸ ϛ' ὅμοιον κατὰ πάντα τῷ β'. Τὸ ζ' τροχαϊκὸν δίμετρον καταληκτικὸν ἤτοι ἑφθημιμερές, ὃ καλεῖται Εὐριπίδειον καὶ ληκύθιον ὡς ἐκ τοῦ ληκυθίου. τὸ γὰρ ληκύθιον, ὅπερ καὶ σίφωνα λέγομεν, ἦχον ἀποτελεῖ ἐκ τοῦ ἀνθρωπείου πνεύματος οἷον ὁ τροχαῖος πούς. Τὸ η' τροχαϊκὸν μονόμετρον ὑπερκατάληκτον. ἐμοὶ δὲ καὶ ἀντισπαστικὸν δοκεῖ ἡμιόλιον ἐκ τροχαϊκῆς συζυγίας καὶ ἰάμβου διὰ τὴν ἀδιάφορον. Τὸ θ' ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον. Τὸ ι' ἀντισπαστικὸν δίμετρον καταληκτικὸν ἤτοι ἑφθημιμερές, ὃ καλεῖται Φερεκράτειον, ὡς εἴρηται, ἐξ ἀντισπάστου καὶ δακτύλου ἢ κρητικοῦ ἤτοι ἀμφιμάκρου. Τὸ ια' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ ιβ' χοριαμβικὸν δίμετρον καταληκτικὸν ἐκ χοριάμβου καὶ δακτύλου ἢ κρητικοῦ. ἐμοὶ δὲ καὶ δακτυλικὸν δοκεῖ πενθημιμε-

1 δὲ om. ξ. — ἰθυφαλικὸν codd., corr. Boeckh. — 2 In ξ vocabulis τοῦ πρώτου ποδὸς m. alt. suprascripsit καὶ τοῦ δευτέρου. — 2. 3 παιονικὸν ι'. — 3—8 Verba ἤτοι — τὸ ζ' τροχ. δ. κατ. in ι'ξ' solis servata exciderunt in cett. codd. propter homoeoteleuton verborum ἤτοι ἑφθημιμερές, nisi quod in Vrat. ex quo Boeckhii editio pendet et fort. etiam in Mosc. B de quo non constat lacuna verbis τὸ λεγόμενον παροιμιακόν. τὸ ε' ὅμοιον δευτέρῳ· τὸ ϛ' ὅμοιον τῷ αὐτῷ. τὸ ζ' τροχαϊκὸν δίμετρον καταληκτικόν expleta est. — 5 τῷ ε ᾧ ξ. — ἤτοι ! — ἰθυφαλικόν codd. — 6 χώραν ξ. — 7 τὸν ϛ' est in ξ. — 8 ἤγουν ι'. — 9 σόφωνα Vrat., σύμφωνα ξ ante corr. — λέγομεν bis habet μ'. — 11 Post πούς trium versuum spatium, in quo λήθη ἐγγόνει adscripsit miniator, est in μ', quæ ad lacunam, qua verba ἤτοι ἑφθ. — διμ. καταλ. hausta sunt, spectare videntur. — 14 ἤγουν ι', ἦτο ξ. — 16 κριτικοῖ z. — ἤγουν ι'. — 18 καὶ post δέ om. ξ.

ρές. Τὸ ιγ΄ προκελευσματικὸν δίμετρον καταληκτικόν. ἐχρήσατο δὲ προκελευσματικῷ ἐνταῦθα, ὅς τετράβραχύς ἐστι, διὰ τὸ ταχὺ τῆς φήμης. φησὶ γάρ· ὅθεν ὁ πολύφατος, καὶ ἐν ἑτέρῳ· νόον ὑπὸ γλυκυτάταις, διὰ τὸ ταχὺ τοῦ νοῦ, καὶ ἐν ἑτέρῳ· ὁπότ᾽ ἐκάλεσε πατήρ, διὰ τὸ ταχὺ τῆς κλήσεως. τοιοῦτος γὰρ καὶ ὁ προκελευσματικός, ταχὺς ὡς ἐκ βραχέων συγκείμενος. εὐκίνητα γὰρ τὰ βραχέα, τὰ δὲ μακρὰ τῶν σωμάτων δυσκίνητα. Τὸ ιδ΄ τροχαϊκὸν ὅμοιον τῷ ζ΄. Τὸ ιε΄ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐξ ἀντισπάστου καὶ παίωνος α΄ καὶ συλλαβῆς. ἔν τισι δὲ τῶν κώλων καὶ πεντασύλλαβός ἐστιν ὁ ἀντίσπαστος. ἐμοὶ δὲ δίμετρον δοκεῖ ἀκατάληκτον ἔχον καὶ τὸν β΄ πόδα ἐπίτριτον πεντασύλλαβον. Τὸ ις΄ ἀντισπαστικὸν δίμετρον καταληκτικὸν ἐξ ἀντισπάστου, διτροχαίου καὶ ἀναπαίστου. καλεῖται δὲ τοῦτο Φαλαίκειον, ὅτε τὴν μὲν α΄ ἔχει ἀντισπαστικήν, τὰς δὲ λοιπὰς ἰαμβικάς. ἐνταῦθα δὲ ἀντιπαθής ἐστιν ἡ μῖξις αὐτοῦ. Τὸ ιζ΄ ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον, ὃ καλεῖται Φαλαίκειον ἀπὸ Φαλαίκου, ὡς εἴρηται. ἐπὶ τῷ τέλει ἑκάστης στροφῆς καὶ ἀντιστροφῆς μόνη παράγραφος· αὕτη γάρ ἐστι σημεῖον τοῦ τέλους τῶν τε στροφῶν καὶ ἀντιστροφῶν.

Ἰστέον ὅτι πᾶσαι αἱ στροφαὶ καὶ ἀντιστροφαὶ τοῦ παρόντος ἐπινικίου ὅμοια καὶ ἰσόμετρα ἔχουσι τὰ κῶλα τῇ α΄. ὁ αὐτός ἐστι λόγος καὶ ἐπὶ τῶν ἑξῆς πλὴν τοῦ ιδ΄. ἐκεῖνο γὰρ ἐνηλλαγμένας ἔχει τὰς στροφάς.

---

1. 2 *προκελ.* — *ἐχρ. δὲ* om. *ε.* — **4. 5** *τοῦ νοῦ* — *τὸ ταχὺ* om. *ε.* — **12** *τριμετρον ι΄΄.* — **15** *ἀντιπαθεῖς ε.* — *μῖξις* est *ι΄΄* est pro *μίξις.* — *αὐτῶν ι΄΄.* — **17** *ἑκάστης*] *πάσης ι΄΄.* — **18** *στρ. τε κ. ἀντ.* omnes præter *ι΄΄ξ.* — **18. 19** *αὕτη* — *ἀντιστροφῶν* om. *ξ.* — **20—23** *ἰστέον* — *στροφάς* om. *ε.*

Περὶ τῶν κώλων τῶν ἐπῳδῶν.

Αἱ ἐπῳδοὶ κώλων ιγ΄. Τὸ α΄ παιωνικὸν δίμετρον ὑπερκατάληκτον ἐκ παίωνος β΄ καὶ ἰαμβικῆς συζυγίας καὶ συλλαβῆς· ἐγὼ δ' ἀντισπαστικὸν τοῦτό φημι δίμετρον ἀκατάληκτον τοῦ α΄ ποδὸς ἀντισπάστου πεντασυλλάβου, τοῦ δὲ β΄ ἐπιτρίτου β΄. Τὸ β΄ ἰαμβικὸν πενθημιμερὲς τοῦ α΄ ποδὸς ἀναπαίστου. Τὸ γ΄ ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν ἐξ ἰαμβικῆς συζυγίας, ἀντισπάστου καὶ ἀναπαίστου ἢ βακχείου. καλεῖται δὲ τοῦτο Ἀλκαϊκὸν διὰ τὸ μέσον ἔχειν τὸν ἀντίσπαστον, ἑκατέρωθεν δὲ τὰς ἰαμβικάς. Τὸ δ΄, ὡς ἐμοὶ δοκεῖ, σύνθετον ἤτοι ἀσυνάρτητον ἐξ ἰαμβικοῦ διμέτρου βραχυκαταλήκτου, τὸν α΄ ἔχοντος πόδα τρίβραχυν ἤγουν χορεῖον, καὶ τροχαϊκοῦ πενθημιμεροῦς. εἴη δ' ἂν καὶ ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν ὅμοιον τῷ γ΄, τὸν α΄ ἔχον πόδα πεντασύλλαβον διίαμβον, τὸν β΄ ἀντίσπαστον, τὸν δὲ γ΄ κρητικὸν ἤτοι ἀμφίμακρον. Τὸ ε΄ παιωνικὸν τρίμετρον καταληκτικὸν ἐκ παίωνος β΄, ἐπιτρίτου γ΄ καὶ βακχείου. Τὸ ϛ΄ ἀντισπαστικὸν τρίμετρον ἀκατάληκτον ἐξ ἀντισπάστου, διιάμβου καὶ αὖθις ἀντισπάστου ἢ διιάμβου ἢ ἐπιτρίτου διὰ τὴν ἀδιάφορον. καλεῖται δὲ τοῦτο Φαλαίκειον, ὡς τὴν α΄ χώραν ἔχον ἀντισπαστικήν, τὰς δὲ λοιπὰς ἰαμβικάς, ὡς εἴρηται. Τὸ ζ΄ Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ὑπερκατάληκτον ἐξ Ἰωνικοῦ καὶ τροχαϊκῆς συζυγίας καὶ συλλαβῆς. Τὸ η΄ ἰαμβικὸν δίμετρον βραχυκα-

---

Scholium metricum epodorum deest in ε φ'. Titulum om. ι'; 2 [α]ἱ ἐπῳδοὶ κώλων ι' more Tricliniano, ἑκάστης ἐπῳδοῦ τὰ κῶλα cett. (ἑκ. δὲ ἐπ. ξ'). — δεκατρία Vrat. μ', δέκα τρία Bœckh. — 4 δὲ ἀντ. codd. præter ι'μ'ξ. — 10 ἤγουν ι'. — 11 βραχυκατάληκτον Vrat. — 12 ἤτοι? — 14 ἔχοντα πόδα μ'. — 15. 16 παιονικὸν et παίονος ι' hic et infra. — 17 δι' ἰάμβου ξ'. — 19 ἔχων ξ. — 19. 20 ἀντισπαστικόν Vrat. et Bœckh. — 22 συλλαβῇ, Bœckh tacite (vel ex Mosc. B ?) pro συλλαβῶν.

τάληκτον. Τὸ θ΄ Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον βραχυκατάληκτον, ὃ καὶ ἡμιόλιον καλεῖται ὡς ἔχον τὸν ὅλον πόδα καὶ τὸ ἥμισυ αὐτοῦ. Τὸ ι΄ ἰαμβικὸν δίμετρον ἀκατάληκτον, ὃ καλεῖται Ἀνακρεόντειον. Τὸ ια΄ Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον ἐκ παίωνος β΄ οἰκείου τῷ μέτρῳ καὶ Ἰωνικοῦ. καὶ καλεῖται τοῦτο Κλεομάχειον, τὸ δίμετρον δηλονότι. Τὸ ιβ΄ ἐπιωνικὸν ἐξ ἀντισπάστου τρίμετρον καταληκτικόν· ἡ καταχλεὶς δὲ ἐκ τροχαϊκῆς συζυγίας καταληκτικῆς ἤτοι κρητικοῦ· καλεῖται δὲ τοῦτο Ἀλκαϊκὸν ἑνδεκασύλλαβον. Τὸ ιγ΄ χοριαμβικὸν δίμετρον καταληκτικόν, ἤτοι ἑφθημιμερὲς ἐκ χοριάμβου καὶ βακχείου. Ἐπὶ τῷ τέλει ἑκάστης ἐπῳδοῦ κορωνίς, εἶτα παράγραφος, ἐπὶ δὲ τῆς τελευταίας ἐπῳδοῦ ἤτοι ἐπὶ τῷ τέλει παντὸς τοῦ ᾄσματος μόνος ἀστερίσκος, ὃς δηλοῖ, ὡς τὸ ᾆσμα τετέλεσται.

Ἰστέον ὅτι πᾶσαι αἱ ἐπῳδοὶ τοῦ παρόντος ἐπινικίου ὅμοια καὶ ἰσόμετρα ἔχουσι τὰ κῶλα τῇ α΄. ὁ αὐτός ἐστι λόγος καὶ ἐπὶ τῶν λοιπῶν, εἰ καὶ μὴ ἔφθημεν κἂν τούτοις δηλώσαντες τὰ περὶ τούτου. χρὴ δὲ ἐν πᾶσιν ἐπινικίοις τὰ σημεῖα τιθέναι ἐπὶ τῷ τέλει τῶν τε στροφῶν καὶ ἀντιστροφῶν καὶ τῶν ἐπῳδῶν, ὡς ἐνταῦθα δεδήλωται.

---

7 καταχλεῖς Vrat. μ΄, καταχλής ξ΄. — 8 ἤγουν κρητικῆς ι΄. — τοῦτο] τοῦ μ΄. — 10 ἤγουν ι΄. — 13 ὡς om. ξ΄. — 17 χρῆ ξ΄. — ἐν ex ι΄ξ΄ addidi. — 18 καὶ ἀντ. om. ξ΄. — Post δεδήλωται in Matr. Vrat. ι΄μ΄ξ΄ hæc adduntur: ὅτι τὰ γραφέντα περὶ τῶν μέτρων τῶν κώλων ἐν ἀρχαῖς πάντων τῶν ὀλυμπίων ἐπινικίων καὶ τοῦ πρώτου μόνου τῶν πυθίων παλαιά ἐστι, διωρθώθη δὲ παρὰ τοῦ ἡμετέρου σοφιστοῦ ἤτοι μυσταγωγοῦ κυροῦ δημητρίου τοῦ τρικλινίου (παρὰ τοῦ σοφωτάτου καὶ λογιωτάτου δ. τοῦ τρ. est in Matr. ι΄, nisi quod in hoc ante δημ. additur κυρίου, in μ΄ξ΄ pro κυροῦ κυ scriptum est), τὰ δὲ λοιπὰ τῶν πυθίων ἐμετρήθη παρ' αὐτοῦ πολλῶν τινῶν (τῶν add. edd. in quibus hæc notatis de auctoribus scholiorum recentium in fronte horum scholiorum inseruntur) καθ' ἡμᾶς σοφῶν εἰς τοῦτο αὐτὸν προτρεψάντων.

Γέγραπται ὁ ἐπινίκιος Ἱέρωνι τῷ Γέλωνος ἀδελφῷ νικήσαντι ἵππῳ κέλητι τὴν ογʹ Ὀλυμπιάδα, ἢ ὥς ἔνιοι ἅρματι· ὁ δ' αὐτὸς καὶ τὴν οζʹ νικᾷ κέλητι, τὴν δὲ οηʹ τεθρίππῳ. ἦν δὲ Ἱέρων Δεινομένους παῖς. Δεινομένους γὰρ παῖδες τέσσαρες· Γέλων, Ἱέρων, Πολύζηλος καὶ Θρασύβουλος. οὗτος δὲ ὁ Ἱέρων τύραννος ἦν Συρακουσίων, ἔσχε δὲ υἱὸν Δεινομένην. νικήσας δὲ τὰ Ὀλύμπια ἀνεκήρυξεν ἑαυτὸν Συρακούσιον καὶ Αἰτναῖον· ἔκτισε γὰρ πόλιν ἐν Σικελίᾳ Αἴτνην ὁμώνυμον τῷ ὄρει. συνέβη δὲ νικήσαντα αὐτὸν τὴν οηʹ Ὀλυμπιάδα ἐν ταύτῃ τελευτῆσαι. τὸ δὲ ὄνομα τοῦ νικῶντος ἵππου Φερένικος. μέμνηται αὐτοῦ καὶ Βακχυλίδης (Fr. 6 ed. Bgk.)· *Ξανθότριχα μὲν Φερένικον Ἀλφεὸν παρ' εὐρυδίναν πῶλον ἀελλοδρόμον νικήσαντα.*

καὶ ὅσα δὲ ἐν τῇ βίβλῳ ἐγράφη σχόλια (σχήματα Vrat.*) σημειώσεις τινὰς ἔχοντα ἐν ταῖς τῶν λέξεων ἐναλλαγαῖς, ἃ καὶ σημεῖον τὸ διὰ μέλανος κιφάλαιον ἔχουσι (τὰ δ. μ. κιφάλαια ἔχ.* ed. Rom., *ἃ καὶ σημεῖον ἐκτὸς τὸ αὐτοῦ ἔχουσιν ὄνομα* Matr. *ιʹʹ) καὶ τ' ἄλλα τὰ κατ' ἄλλον τρόπον γραφέντα, καὶ ταῦτα τοῦ αὐτοῦ ἐστιν.* Sequuntur in codd. scholia ad Ol. I.

1 Hoc primi Olympiorum carminis argumentum, quod omn. edd., ex Vrat. *ε ιʹʹμξφʹ* novi, in quibus codicibus ante scholium metricum legitur. — Ceterum scholiis ad Ol. I in Vrat. Mosc. B *ξʹ* (et in *φʹ*, in quo tamen nonnisi *τοῦ μαγίστρου* et *μοσχοπούλου* legi possunt), hæc præfixa leguntur: *τοῦ σοφωτάτου κυρίου θωμᾶ τοῦ μαγίστρου καὶ (τοῦ* add. *ξʹ) μοσχοπούλου κυρίου (Κρητὸς* Bœckh edidit, num ex Mosc. B ?) *μανουὴλ σχόλια. ὅτι ἔνθα ἐστὶ* (verba *ὅτι ἔνθα ἐστί* om. Vrat. ut videtur) *καταρχὰς (κατ' ἀρχὰς* Bœckh) *σταυρός, εἰσὶ (ἐστὶ ξʹ) του μοσχοπούλου.* In Matritensi est: *ἐξηγήσεις εἰς τὰ Ὀλύμπια τοῦ πινδάρου. ὧν αἱ μὲν ἔχουσαι τὸ ἐρυθρὸν κεφάλαιόν εἰσι θωμᾶ τοῦ μαγίστρου, αἱ δὲ τὸ μέλαν μανουήλου τοῦ μοσχοπούλου.* — 2 et 3 *κίλλητι* codd. — 4 *δυναμένους γὰρ* Vrat. — *τέσσαρες παῖδες ε μʹφʹ*. — 8 *ἐπώνυμον ιʹʹ*. — 10 *νικόντος ξʹ*. — 11 *ξανθόποιχα* codd. præter *ιʹʹ*. — 12 *εὐρυδίνην ξʹ*. — *πόλον ξʹ*. — *ἀελλόδρομον* Vrat. *ιʹʹμʹ*. — *νικῶντα ιʹʹ*.

1. Th. Ἐπειδὴ τέσσαρες ἀγῶνές εἰσι, Ὀλύμπια, Νέμεα, Ἴσθμια, Πύθια, οἱ μὲν τρεῖς ἐν τῇ Πελοποννήσῳ, ὁ δὲ τῶν Πυθίων εἰς Δελφοὺς γινόμενος, ὧν τὰ μὲν Ὀλύμπια καὶ Νέμεα εἰς τὸν Δία, εἰς Ποσειδῶ δὲ τὰ Ἴσθμια, τὰ δὲ Πύθια εἰς Ἀπόλλωνα ἐτελεῖτο, ἔστι δὲ καὶ τέσσαρα στοιχεῖα τὰ τὸ πᾶν συνιστῶντα, πῦρ, ἀήρ, ὕδωρ, γῆ· ἐπεὶ ταῦτα οὕτως ἔχει, βουλόμενος τὸν Ὀλυμπιακὸν ἀγῶνα κρείττω τῶν τριῶν ἀποδεῖξαι καὶ δέον οὕτως εἰπεῖν· ὥσπερ τὸ ὕδωρ κρεῖττον τῶν ἄλλων στοιχείων καθέστηκεν, οὕτω καὶ ὁ Ὀλυμπιακὸς ἀγὼν τῶν ἄλλων ἀγώνων· ὁ δὲ οὐχ οὕτως ἐποίησεν, ἀλλ' ἄριστον μὲν ὕδωρ φησὶ τῶν ἄλλων στοιχείων. ἐπὶ δὲ τῇ συγκρίσει ταύτῃ ἑτέραν ποιεῖ λέγων· ὁ δὲ χρυσὸς διαπρέπει καὶ διαλάμπει ἔξοχα καὶ ἐξόχως καὶ ὑπερτάτως τοῦ μεγάνορος καὶ τοῦ τοὺς ἄνδρας μεγίστους κατά τε νοῦν καὶ ἰσχὺν ποιοῦντος νομίζεσθαι πλούτου. πλοῦτον δὲ ἐνταῦθα καλεῖ τὴν τῶν κτημάτων καὶ θρεμμάτων καὶ τῶν ἄλλων περιουσίαν. θέλων δὲ δεῖξαι, πῶς ὑπερέχει ὁ χρυσὸς τοῦ πλούτου, φησίν· ἅτε, καὶ καθά, πῦρ αἰθόμενον καὶ καιόμενον καὶ λαμπόμενον ἐν

---

1 *τέσσαρές εἰσιν ἀγῶνες* edd. — 2 *καὶ Πύθια* edd. — *τῇ* ex *ΓΔ* addidi. — *πελοπονήσω* libri plurimi (non *ι'*). — 3 *γινόμενος ξ'*. — 4 *τὸν* ex *ΓΔ* addidi. — *ποσειδῶ Γ*, *ποσειδῶ Δι'*, *ποσειδῶνα* cett. codd. et edd. — 5 *πᾶν συνιστ.* om. *Γ*. — 7 *κρείττω*] *τρίτω ξ'*. — 8 *κρείτω ξ'*. — 8—11 Verba *καθέστηκεν — τῶν ἄλλων στοιχείων* ex *ΓΔι'* addidi, in ceteris enim codd. et edd. exciderunt propter homoeoteleuton, unde Heyne *δὲ* particulam ante *τῇ συγκρίσει* uncis inclusit, melius sane quam Boeckh, qui vitio aperto non offensus *δὲ* apodosi indicandæ inservire statuit. — 11 *ἐπεὶ δὲ ε*. — *τῇ* om. *ι'*. — *ταύτην Γ*. — 12 *διαπρ. καὶ* om. *Γ*. — Verba *ἔξοχα καὶ* exciderunt in edd., *καὶ* excidit in *ξ'*. — 14 *ἰσχὺν* pro *ψυχὴν* ex *ΓΔι'* est. — *τοῦ πλούτου ι'*. — Post *πλούτου* in codd. præter *ΓΔ* et in edd. ex glossa Thomana *ἢ τοῦ μεγαλαύχους τούτους (τούτους* om. Vrat.) *ποιοῦντος* additum est. — 15 *θρεμμάτων καὶ κτημάτων ε*. — 17 *λαμπόμενον* ex *ΓΔ* est pro *λάμπον (λάμπων ξ')*.

νυκτί. ἄριστον δέ ἐστι τὸ ὕδωρ τῶν ἄλλων στοιχείων οὕτω· φασὶ γὰρ οἱ φυσικοὶ αἴτιον τὸ ὕδωρ τῆς τῶν τριῶν οὐσίας εἶναι, καὶ τὸ μὲν λεπτομερέστερον αὐτοῦ ἀέρα γίγνεσθαι, τὸ δὲ παχύτερον εἰς ἑαυτὸ καθιστάμενον γῆν, ἀποτελεῖν δὲ ἀπολεπτυνόμενον τὸν διάπυρον αἰθέρα, ἤτοι τὸ πῦρ. εἰκότως δὲ εἶπε τὸ ἐν ἁμέρᾳ (9)· ἡλίου γὰρ ἐν ἡμέρᾳ λάμποντος οὐδὲν τῶν ἄστρων ὁρᾶται.

M. *Ἄριστον μὲν ὕδωρ] τῶν ἄλλων δηλονότι στοιχείων· τὰ γὰρ ὑπερθετικὰ ἐπὶ τὰ ὁμογενῆ ἀεὶ τὴν ὑπέρθεσιν ἔχει.*

M. *Ἄριστον] τὰ μὲν ὑπερθετικὰ χωρὶς ἐκείνων, πρὸς ἃ τὴν ὑπέρθεσιν ἔχει, πολλάκις λέγεται καὶ ἔχει ταῦτα συνυπακουόμενα, ὡς ἐνταῦθα τὸ ἄριστον. τὰ δὲ συγκριτικὰ χωρὶς ἐκείνων, πρὸς ἃ τὴν σύγκρισιν ἔχει, οὐ δύναται λέγεσθαι, εἰ μὴ ἐπὶ θεοῦ λαμβάνοιτο, ὡς τὸ κρεῖττον παρὰ τῇ θείᾳ γραφῇ.*

gl. 1. * * *τὸ προοίμιον ἐκ συγκρίσεως.* — * *ἐστί.* — *τῶν ἄλλων στοιχείων· πυρός, ἀέρος, γῆς.* — 2. * *καιόμενον, λαμπό-*

---

3 *λεπτομενέστερον* Γ, *λεπτομερέστατον* ΑΓ. — *γίγνεσθαι* ΓΑ, *γίνεσθαι* cett. — 4 *ἑαυτόν* Γ. — *γῆν ἀποτ., ἀπολ. δὲ τὸν* Vrat. *π μ' φ'* et edd., nisi quod *ἀποτ.* omm. edd., *γῆν ἀποτελεῖν· τὸ δὲ ἀπολ. τὸν* ξ. — 5. 6 Verba inde ab *εἰκότως* usque ad *ὁρᾶται* in codd. præter ΓΑ omissa *δὲ* vocula ad v. 9 leguntur. — V. 7. 8 ego hoc loco inserui; in *abq* schol. Mosch. hoc ordine disposita sunt: schol. ad v. 18 (*ὃς ἀμφέπει* etc.), 24, 1 (*ἄρ. μ. ὕδωρ* etc.) 12, 19, 18 (*θεμιστεῖον* etc.); in cett. codd. et edd. (ε excepto, qui om. schol. ad v. 18. 12) schol. ad v. 18 inter scholia ad *θεμιστεῖον* et *θεμιστεῖον σκῆπτρον* legitur, reliqua ad singulos ad quos spectant versus adscripta sunt, nisi quod schol. ad v. 1 alteri scholio Mosch. ad eundem v. 1 scripto hoc modo insertum est: *ἄριστον μὲν ὕδωρ] τῶν ἄλλων δηλονότι στοιχείων. καὶ γὰρ (γὰρ* om. Vrat.) *τὰ μ. ὑπερθ. ἐπὶ τὰ ὁμογενῆ ἀεὶ τ. ὑπέρθ. ἔχει καὶ χωρὶς ἐκείνων πολλάκις λέγ.* — 10 *ὑπ. ἔχοι* a, *ἔχει* om. q. — 10. 11 *συνυπ. ταῦτα* ξ. — Ceterum in φ' huic scholio, quod post scholium ad v. 4 in ipso legitur, verba *κυροῦ μανουὴλ* cum cruce præfixa sunt.

μενον· — ** *καιόμενον, λαμπόμενον ἐν νυκτί· ἐνταῦθα γὰρ σύναπτε τὸ νυκτί.*

[3. M. *Ἄτε διαπρέπει] τὸ διαπρέπει λέγεται μὲν μεταβατικῶς μεσιτευούσης ἀεὶ προθέσεως· οἷον διαπρέπει τόδε ἐπὶ τοῖσδε, ἤγουν διὰ πάντων τούτων πρέπει, τουτέστι παραβαλλόμενον πρὸς πάντα ταῦτα ἀποκρύπτει αὐτά, καὶ εὐπρεπὲς αὐτὸ μόνον δοκεῖ ἐν αὐτοῖς εἶναι. ἐπὶ πολλὰ δὲ ἀεὶ ἢ δυνάμει ἢ ἐνεργείᾳ ποιεῖται ταύτην τὴν ἑαυτοῦ μετάβασιν, καὶ οὐδέποτε ἐφ' ἕν· ὑπερθετικοῦ γὰρ τρόπον τινὰ δύναμιν ἔχει. δυνάμει δὲ εἴρηται διὰ τὰ περιληπτικὰ τῶν ὀνομάτων, οἷον τὸ χορός, τὸ δῆμος, τὸ πλοῦτος. ταῦτα γὰρ ἑνικὰ ὄντα τῇ φωνῇ πληθυντικὰ τῇ δυνάμει εἰσί. λέγεται δὲ καὶ μόνον κατ' ἐξαίρετον, καθὰ καὶ τὰ ὑπερθετικὰ ἐνίοτε, ὡς ἐνταῦθα· Αἰθόμενον πῦρ διαπρέπει νυκτί. οὐ γὰρ πρὸς τὴν νύκτα παραβαλλόμενον εὐπρεπές ἐστι· τοῦτο γὰρ ἀσύνετον λέγειν· ἀλλ' ἐν νυκτὶ καιόμενον διαλάμπει, πρὸς τὰ ἄλλα δηλονότι παρατιθέμενον, ἃ λαμπρότητα ἔχει.*

gl. 3. *διαλάμπει· λάμβανε δὲ συνεκδοχικῶς τοῦτο πρὸς τὸ χρυσός.*

4. *Th. Οἱ λαμβάνοντες εἰς τὸ πλούτου ἔξωθεν τὸ ἐπί, καὶ τὸ ἔξοχα ἀντὶ τοῦ λίαν λέγοντες ληροῦσιν. ἔστι γὰρ ἡ τοιαύτη γενικὴ πρὸς τὸ ἔξοχα, τὸ δὲ ἔξοχα ἀντὶ τοῦ ἐπέκεινα. ὥσπερ οὖν ἐπέκεινα πάντων φαμέν, οὕτω καὶ ἔξοχα πάντων.*

---

3 Scholium ad v. 3 om. *z*. — *τὸ διαπρέπει* om. *q*. — *μέν* ex *abqξ* addidi, *quidem* eius voculæ loco est in *ι'*. — **4** *μεσιτευούσης* *μ'*. — **6** *ταῦτα πάντα* *q*. — *ἀπρεπές* Vrat. — **6. 7** *μ. εἶναι δοκεῖ ἐν αὐτοῖς εἶναι* Vrat. *μ'*. — **7** *δὲ καὶ ἀεὶ* Vrat. *ι' μ' ξ' φ'*. — **9** *γάρ* om. *ι'*. — **11. 12** *τῇ φωνῇ — ὑπερθετικὰ* om. Vrat., *ὄντα — ὑπερθετικά* omm. *μ' ξ' φ'*. — **11** *δυν. ἐστί* *ι'*. — **12** *κατεξαίρετον* *bq*. — **13** *ὡς ταῦθα* *μ'*. — **14** *περιλαμβανόμενον* *ι'*. — **15** *ἀλλ' ἐννυκτί* *μ'*. — *τά* om. *ι'*. — **15. 16** *τἄλλα* *a*, *τἄλλα* Vrat. *μ' ξ' φ'*. — **16** *λαμπροτάτως* (sic) *q*. **20** *ληροῦσιν* *Γ Δ*, *ἀμαθεῖς* cett. — *γάρ* *Γ Δ*, *δέ* cett. — **22** *οὕτως* (om. *καί*) Vrat. — *ἔξοχα πλούτου* *Γ*.

gl. 4. * τοῦ τοὺς ἄνδρας μεγίστους κατά τε νοῦν καὶ ἰσχὺν δοκεῖν ποιοῦντος, ἢ τοῦ μεγαλαύχους ποιοῦντος· — * * τοῦ τοὺς ἄνδρας μεγίστους ποιοῦντος.

5. *Th.* Οὐ μόνον ἆθλον τὸ βραβεῖον, ἀλλὰ καὶ ὁ ἀγών, ὡς ἐνταῦθα.

M. Εἰ δ' ἄεθλα] ἆθλον καὶ βραβεῖον τὸ αὐτό, ὡς λῆμμα καὶ δῶρον. λέγεται δὲ οὕτω τὸ διδόμενον γέρας τῷ νικήσαντι ἀθλητῇ ἀπὸ μὲν τῶν διδόντων αὐτὸ βραβευτῶν βραβεῖον, ἀπὸ δὲ τῶν ἀθλούντων ἆθλον. ἐνταῦθα δὲ ἆθλα λέγει τοὺς ἀγῶνας.

gl. 5. *† ἀγῶνας. — * ὑμνεῖν, φωνεῖν· — † φωνεῖν ἀντὶ τοῦ ὑμνεῖν.

6. *Germ.* Ἔλδεαι] ἀπὸ τοῦ ἐθέλω τραπέντος τοῦ θ εἰς δ κατὰ Μακεδόνας γίνεται ἐδέλω, καὶ ὑπερθέσεως γενομένης

---

4 In cod. Ambrosiano H 7 inf., qui est generis Thomani (Y apud Mommsenum) hæc leguntur: *ἰστέον ἔτι ὅτι ἆθλος ἀρσενικῶς ὁ τόπος καὶ τὸ ἀγώνισμα, οὐδετέρως δὲ ἐπὶ ἀγῶνος διδόμενον. καὶ περισπᾶται διότι ἄεθλος ἦν καὶ* (adde *συναιρεῖται*) *τὰ ε καὶ α εἰς α καὶ δέχεται περισπωμένην διὰ τὴν συναίρεσιν.* — Ceterum scholium Thomanum ad v. 5 om Γ, sed habet etiam A in margine minio scriptum. — 6 *ἄθλα* Vrat. — *ἄθλον* Vrat. — 7 *δῶρον λέγεται. οὕτω* q. — 8 *μὲν*] *δὲ* Γ. — *βραβιαβεῖον* q. — 9 *ἄθλον λέγει* Vrat. z μ' ξ φ'. — 12 Similia leguntur in cod. Ambros. E. 77 sup. 2, qui est generis Thomani (Mommseni Φ) in pagina vacua ante textum: *ἔλδεαι· τοῦ θ τραπέντος εἰς δ κατὰ Μακεδόνας καὶ ὑπερθέσεως γενομένης, οἷον θέλω, δέλω, ἔλδω καὶ ἔλδομαι καὶ ἔεδομαι* (sic) *καὶ* (adde *κατὰ*) *πρόσθεσιν ἢ ἐπέκτασιν οὕτω· θέλω, ἐθέλω καὶ ὑπερθέσει ἐέλδω, ἐκ τούτου ἐέλδομαι.* Præterea similia extant inter scholia Patmiaca p. 3. 4. — Ante *τραπέντος* Mommsen δ vocem addi iussit, minus necessario. — Ceterum ad totum scholium hæc extat Mommseni annotatio: «Iterata resecare nolui. De re cf. Etym. M. v. *ἐέλδωρ.* Sturz de dial. Maced. p. 31. not. — Cod. etiam in textu *ἔλδεαι φίλον ἦτορ.*" — Alterum scholii comma ad *γαρύειν* v. 5 spectat.

ἐέλδω, καὶ κατὰ συγκοπὴν ἔλδω καὶ ἔλδομαι· οἷον θέλω, δέλω· καὶ ἀπὸ τοῦ ἐθέλω ἐδέλω, καὶ καθ' ὑπέρθεσιν ἐέλδω καὶ κατὰ συγκοπὴν ἔλδω καὶ ἔλδομαι. § Ἄλλως. γῆρυς ἡ φωνὴ λέγεται, ἡ ἔναρθρος ἤχησις τῆς φωνῆς καὶ αὐτὴ ἡ ἔναρθρος φωνή· ὅπερ ἐστὶ λόγος ὁ προφορικός. λόγος καὶ ὁ ἐνδιάθετος, ὅ ἐστιν ὁ διακριτικός· ὅθεν ἄρα κατὰ μετάληψιν γαρύειν τὸ διακρίνειν.

Germ. *Διαφέρει ἦτορ καὶ κῆρ· ἦτορ μὲν κατὰ τοὺς δόξαντας τὴν ψυχὴν διαῤῥέουσαν καὶ φθινομένην ἀπὸ τοῦ ἄω τὸ πνέω· οὕτω γὰρ ἐδόξαζον πνεῦμα ταύτην εἶναι· κῆρ δὲ παρὰ τὸ καίω· κατὰ ἑτέρους γὰρ τὸ ζωτικὸν καὶ θερμὸν αἷμα ψυχή.*

gl. 6. *ἐπιθυμεῖς. — ὦ φίλη ψυχή.*

7. *Germ.* *Γερμανοῦ σχόλιον. Ἥλιος σημαίνει τὰς δύο ἐνεργείας τοῦ πυρός. ἐτυμολογεῖται δὲ παρὰ τὸ αὔω τὸ φωτίζω καὶ τὸ ἕλη ἡ θερμασία, καὶ κατὰ τοῦτο ψιλοῦται. ἔκκοπτε οὖν τὰς αἱρέσεις τῶν χαριεστάτων φυσικῶν τῶν λεγόντων· οὐκ ἔστι φωτεινὸς φύσει οὔτ' αὖ καυστικός, ἀλλ' ἐκ τῆς ἄγαν κινήσεως αὐτοῦ καὶ τοῦ παντὸς τὴν θέρμην ἔχει. ἔστι δὲ ἡ λέξις Ὁμήρου, παρ' οὗ καὶ ὁ νῦν ποιητὴς ἔλαβεν ὡς ἀπάνθισμα.*

Germ. *Ἑτέρα εἰκασία πρὸς πλείονα σύστασιν τῆς ἀποδείξεως τοῦ ἀγῶνος.*

gl. 7. ** *ἡλίου. — 8. ποταπόν; φλογωδέστερον, λαμπρότερον.*

9. *Germ.* *Ἄστρον καλῶς εἶπεν ὀντοποιῶν, σεμνύνων τὸ*

---

3 Delevi *τὸ* ante *γῆρυς*. — 4. 5 *ὅπερ ἐστι* U. — 7 *διαφ'ς* U, *διαφέρουσιν* Mommsen edidit. — 14 *καὶ τοῦ ἕλη* U, *καὶ ἀπὸ τοῦ ἕλη* coni. Mommsen; correxi. — 14. 15 *ἐκκόπτων τὰς* U et Mommsen, qui «deesse videntur nonnulla; fortasse talia *τοῦτο δὲ λέγει ὁ Πίνδαρος* (an *ὁ Γερμανός?*) *ἐκκόπτων. . . λεγόντων, ὡς οὐκ . . .*» — 15 *οὐκ ἐστι* Mommsen edidit, pessime. — 18 Ad calcem scholii «Cf. Etym. M. s. v. et (ubi similia leguntur) Schol. Il. *β* 413.» *Mommsen*. — 23 In initio scholii delevi vocem *ἤ*.

πρᾶγμα, ὥσπερ καὶ Ὅμηρος τὸ πρόσωπον Αἴαντος πρόσωπά φησιν (Il. VIII. 212).

M. *Φαεινὸν ἄστρον ἀντὶ τοῦ ἀστήρ. διαφέρει ἀστὴρ καὶ ἄστρον. ἀστὴρ γὰρ ὁ μονομερής· ἄστρον δὲ τὸ ἐκ πολλῶν ἀστέρων συγκείμενον.*

gl. 9. *λαμπρόν· τοιαύτη γὰρ ἡ τῶν ἀστέρων φύσις.*

10. *Th.* *Τὸν αἰθέρα ἐνταῦθα θηλυκῶς εἶπε ποιητικῷ ἔθει. ἐρήμης δὲ δι' αἰθέρος οἱ μέν φασι τοῦ οὐρανίου πυρός, ὅπερ οὐ πλησιάζει τι τῶν πάντων διὰ τὸ αὐτοῦ δαπανητικόν· διὸ καὶ ἔρημόν ἐστιν· ἐγὼ δέ φημι τὸν ἀέρα, ὃς εἰ καὶ πέτονται ἐν αὐτῷ ζῶα, ἀλλὰ διὰ τὸ μὴ οἰκεῖν ἐνταῦθα ἔρημός ἐστιν. ἄλλως τε καί τι τῆς ἐκείνων ἀλογίας γένοιτ' ἂν χεῖρον, ἐπεὶ τὸ μὲν πῦρ ἄνω ὂν ἡμῖν οὐχ ὁρᾶται, ἡμεῖς δὲ διὰ τοῦ ἐν τῷ μεταξὺ γῆς καὶ οὐρανοῦ ἀέρος διαφανοῦς ὄντος ἥλιον καὶ σελήνην καὶ ἀστέρας καταλαμβάνομεν. ὅτι δὲ καὶ τὸ αἰθὴρ ἀντὶ τοῦ ἀὴρ εὕρηται, μαρτυρεῖ καὶ Ἀριστοφάνης λέγων περὶ τῶν νεφελῶν οὕτως* (Nub. 569)· *Ἡμέτερον πατέρ' αἰθέρα βριθρέμμονα πάντων. ἐν*

3 Scholium Mosch. in *abq* scholio Mosch. ad v. 10 subnexum est. — *ἀστὴρ* et *ἀστὴρ καὶ ἄστρον abq*, *ἀστέρα* et *ἄστρον καὶ ἀστήρ* cett. — *μονοστερήν q*. — 4 In codice Ambrosiano E. 77 sup. 2 supra laudato hoc scholium ineditum legitur: *αἰθὴρ ὁ ἐν ὕψει ἀήρ. ὁ ἐπάνω τοῦ ἀέρος καιόμενος ἐκ τοῦ ἡλίου. αἰθὴρ θηλυκὸν* (sic) *Ὅμηρος· αἰθέρος ἐκ δίης· καὶ Πίνδαρος οὕτως ἐνταῦθα ἐρήμας* (η) *δι' αἰθέρος· ὡσαύτως λέγεται ἀὴρ ἐπὶ ἀρσενικοῦ καὶ θηλυκοῦ γένους· Ὅμηρος· οἵη δ' ἐκ νεφέων ἐρεβεννὴ φαίνεται ἀήρ, καί· ἀστεροειδέα νῶτα διφρεύουσ' αἰθέρος.* — 8 *ἐρήμης* ex *Γ Δ* Vrat. *z ξ' φ'* est pro *ἐρήμας* (*ἐρήμας* (η) *μ'*). — 8. 9 *ὅπερ οὐ ξ'*. — 9 *τῶν πάντων Γ Δ ι''*, *τῶν παρόντων* cett. — 10 *ἔρημόν ἐστιν Γ Δ ι''*, *ἔρημός ἐστιν* cett. — 11 *τὰ ζῶα ξ'*. — 11. 12 *καὶ τί* codd. et edd. — 13 *διὰ τὸ ἐν μεταξὺ ξ'*. — 13. 14 *γῆς καὶ οὐρ. ἀέρος Γ Δ ι''*, *γῆς καὶ οὐρ. καὶ ἀέρος ξ'*, *γῆς οὐρ. καὶ ἀέρος* cett. codd. et edd. — 14 *ἀστέρας Γ Δ*, *ἄστρα* cett. — 15 *καὶ τὸ αἰθὴρ καὶ ἀντὶ Δ*. — 16 *λεφελῶν φ'*. — *οὕτω ΓΔ*. — 17 *ὑμέτερον μ' φ'*, *ἡμέτερόν τε* Vrat. — *πατέρα* Vrat. *ξ'*. — *διοθρέμμονα Γ*.

γὰρ τῷ ἀέρι καὶ οὐ τῷ πυρὶ νεφέλαι συνίστανται, καὶ οὗτος πᾶσι φυτοῖς καὶ ζώοις τὸ ζῆν παρέχει.

M. *Ἐρήμας δι' αἰθέρος] παρὰ τοῖς Ἴωσιν οὕτω θηλυκῶς προφέρεται· ὡς ἡ κίων καὶ ἡ Μαραθών. οὐ πάντα δὲ τὰ τοιαῦτα Ἰωνικά εἰσιν· ἐπεὶ καὶ οἱ Ἀττικοὶ πολλὰ τῶν ὀνομάτων ἀρσενικὰ ὄντα θηλυκῶς ἐκφέρουσιν.*

gl. 10. *τοῦ μὴ ὑπό τινος οἰκουμένου ἀέρος.*

11. M. *Μηδ' Ὀλυμπίας] Ὀλυμπία, Πίσα καὶ Ἦλις τὸ αὐτό· Ὀλύμπια δὲ οὐδετέρως ὁ ἐκεῖ τελούμενος ἀγών.*

M. *Μηδ' Ὀλυμπίας ἀγῶνα] εἰ μὲν ἐχόμενοι γράφεται, τὸ ἑξῆς ἔχει οὕτω· μηδὲ ἀγῶνα εἴπωμεν κρείττονα τοῦ ἐν Ὀλυμπίᾳ ἀγῶνος, ἀφικόμενοι εἰς τὴν πλουσίαν οἰκίαν τοῦ Ἱέρωνος τὴν εὐδαίμονα· τὸ δὲ ὅθεν ὁ πολύφατος μέχρι τοῦ Κρόνου παῖδα, διὰ μέσου οὕτως· ὅθεν, ἤγουν ἀπὸ τῆς Ὀλυμπίας, ὁ ὕμνος, οὗ πολὺ κλέος, πλέκεται βουλαῖς σοφῶν, περιφραστικῶς ἀντὶ τοῦ ὑπὸ τῶν σοφῶν, ὥστε ὑμνεῖν τὸν παῖδα τοῦ Κρόνου, τουτέστι τὸν Δία, ὅς ἐστι δεσπότης τοῦ ἀγῶνος. εἰ δὲ ἐχομένοις, οὕτω· μηδὲ ἀγῶνα εἴπωμεν κρείττονα τοῦ ἀγῶνος τοῦ ἐν Ὀλυμπίᾳ· ὅθεν, ἤγουν ἀπὸ τῆς Ὀλυμπίας, ὁ ὕμνος, οὗ πολὺ κλέος, πλέκεται ἡμῖν νοήμασι σοφῶν, ὥστε ὑμνεῖν τὸν παῖδα τοῦ Κρόνου, ἀφικομένοις εἰς τὴν πλουσίαν οἰκίαν τοῦ Ἱέρωνος, τὴν*

---

1 *οὐ* omm. Vrat. *ι'*; — *καὶ οὐκ ἐν τῷ* edd. — Ante *νεφέλαι (νεφέλαις Γ)* delevi *αἱ* cum codd. — *οὕτως* *ε ξ'*. — **2** *ζώοις καὶ φυτοῖς φ'*. — **3** *ἐρήμης* Vrat. *ι' μ' ξ'*. — *οὕτως* Vrat. — **4** *προφέρονται* Vrat. — *κίων* Vrat. *ι' ξ'* et *φ'* ante corr. — *τὰ* om. *q*. — **5** *εἰσιν abq*, *ἐστιν* cett. — **6** *ἀρρενικὰ a*. — Post *ἐκφέρουσιν* in *abq* scholium Mosch. ad v. 9 sequitur. — **8** *μὴ δ'* Vrat. *ξ' φ'*. — *ὀλ. ἀγῶνα* in lemmate codd. præter *abq* et edd. pleræque. — *πίσσα ξ'*. — **8. 9** *τὸ αὐτό* om. *q*, qui præterea *ἦλις* et v. 9 *ὀλυμπία* exhibet. — **10** *σύνταξις* Vrat. in marg. — **11** *οὕτως aq* Vrat. — *εἴπομεν q*, *εἴπημεν* Vrat. — **18** *οὕτως q*. — *εἴπομεν q*. — **19** *ἤγουν] ἢ q*.

μακαρίαν. τὸ δὲ πᾶν ἔχει οὕτω· κράτιστον μέν ἐστι τὸ ὕδωρ τῶν ἄλλων δηλονότι στοιχείων· ὁ δὲ χρυσὸς περιφανής ἐστιν ἐξόχως ἐπὶ τοῦ ὑπερηφανίαν ἐμποιοῦντος πλούτου, καθὰ πῦρ διάδηλόν ἐστιν ἐν νυκτὶ καιόμενον. εἰ δὲ (5) ἀγῶνας ἐθέλεις ὑμνεῖν, ὦ προσφιλὴς ἐμοὶ ψυχή, μὴ ζήτει ἰδεῖν ἐν ἡμέρᾳ ἄλλον ἀστέρα λαμπρὸν θερμότερον τοῦ ἡλίου, δι' ἐρήμου τοῦ αἰθέρος, φερόμενον δηλονότι· ἤγουν μὴ ὑπὸ νεφελῶν κρυπτομένου· ὅτε γὰρ ἀσυννεφής ἐστιν ὁ οὐρανός, τότε ἡ τοῦ ἡλίου δείκνυται θερμότης· μηδὲ ἀγῶνα (11) εἴπωμεν κρείττονα τοῦ ἐν Ὀλυμπίᾳ ἀγῶνος· ὅθεν, ἤγουν ἀπὸ τῆς Ὀλυμπίας, πλέκεται ἡμῖν ὁ ὕμνος, ὁ πολὺ κλέος, νοήμασι σοφῶν, ὥστε ὑμνεῖν τὸν παῖδα τοῦ Κρόνου (16) ἤγουν τὸν Δία, ἀφικομένοις εἰς τὴν πλουσίαν οἰκίαν τοῦ Ἱέρωνος, τὴν εὐδαίμονα, τουτέστι τὴν Σικελίαν· ὅς, ἤγουν ὁ Ἱέρων, θεμιστεῖον σκᾶπτον ... δρέπει βασιλείαν (19) δικαίαν ἐν τῇ Σικελίᾳ τῇ πολυμήλῳ, ἀντὶ τοῦ τῇ πολυθρέμμονι, δρεπόμενος μέν, ἤγουν τρυγῶν, ἀπανθιζόμενος ἀπὸ πασῶν τῶν ἀρετῶν τὰ ἐξαίρετα. λαμπρύνεται δὲ (22) καὶ ἐν ἀώτῳ μουσικῆς, ἀντὶ τοῦ ἐν ἐξαιρέτοις μέλεσι μου-

1—4 Verba τὸ δὲ πᾶν — ἐν νυκτὶ καιόμενον tum ea quæ infra post δείκνυται θερμότης (8) usque ad finem scholii leguntur omm. edd., nisi quod τὴν εὐδαίμονα — πολυθρέμμονι inter μακαρίαν et εἰ δὲ ἀγῶνας inserunt et ἐν ἀώτῳ μουσικῆς — συνεστιωμένους ἔχουσαν inde ab Oxonn. ante schol. ad v. 24 edunt nullo lemmate addito. — 2 στοιχείοις δηλονότι codd. abq exceptis. — ἔξοχα Vrat. — 3 ὑπερηφάνειαν s. — 4 θέλεις edd., ἐθέλης z, qui om. ὑμνεῖν — ζήτει. — ὦ Boeckhii editio. — 5 ἐμή quod Beck coniecit est in Vrat., sed η punctis suppositis rursus damnatum. — ψυχῆς a. — μηδὲ edd. — τινὰ post ἄλλον additur in edd. — 6 φερομένην q. — 7 κρυπτομένου abq, κρυπτόμενον cett. — 7. 8 ἀσυννεφὴς b Vrat. z μ' ξ' φ'. — 8 ἡ om. φ'. — θερμότης q et μ' post corr., θερμότητος Vrat. — 9 εἴπομεν bξ'. — 10 πλ. ὁ ὕμνος ἡμῖν codd. præter abq. — 14 πολυμήτῳ φ'. — 15 τῇ omm. z ι'. — πολυθρέμμονι a. — δρέπων ι'. — μὲν abq soli exhibent. — 17 μουσικῆς om. ι'. — ἐν abq [φ'] soli exhibent.

σικῆς κατ' ἐκεῖνο τὸ μέρος, ὃ παίζομεν οἱ ἄνθρωποι θαμά, ἀντὶ τοῦ πολλάκις, περὶ φίλην τράπεζαν, ἀντὶ τοῦ φιλικήν, ἤγουν φίλους συνεστιωμένους ἔχουσαν.

gl. 11. ἤγουν τοῦ Ὀλυμπιακοῦ.

12. M. Αὐδάσομεν] ὁριστικὸν ἀντὶ ὑποτακτικοῦ, ὡς ἐν τῷ· ἵνα εἴδομεν (Il. I, 363).

gl. 12. κρείττονα. — λέξομεν.

13. Germ. Ὅθεν ὁ πολύφατος] ὅθεν, ἀπὸ τῆς Ὀλυμπίας, τελικοῦ αἰτίου· σοφῶν δὲ μητίεσσι, ποιητικοῦ αἰτίου.

gl. 13. ἀπὸ τοῦ Ὀλυμπιακοῦ. — πολυθρύλλητος· ἐκεῖνον γὰρ νικῶντες οἱ ἄνδρες πρὸς ἔπαινον αὐτῶν τοὺς σοφοὺς ἐπαίρουσιν.

14. Germ. Ἀμφιβάλλεται] οἱονεὶ τοῦτο κατασκευάζεται τὸ ὑμνεῖσθαι τὸν Δία, οὗ οὐδείς ἐστιν ἕτερος αἴτιος ἢ ὁ Ἱέρων.

---

1 μέλλος ex μέρος miniator in φ'. — 2 περὶ φίλη τράπαιζαν μ'. — 3 συνισταμένους ξ'. — E codice Ambrosiano H 7 inf., qui est generis Thomani, hæc ad ἀγών spectantia exscripsi: ἀγῶνα· ἀγὲν σημαίνει πέντε· τὸν τόπον ὡς ἐν τῷ· λειηναν δὲ χώρας (sic, lege χορούς), καλὸν δ' εὔρυναν ἀγῶνα, — τὸ πλῆθος τῶν συναθροιζομένων θεατῶν ὡς ἐν τῷ· λυτός (l. λύτο δ') ἀγών, — τὸ ἁπλῶς ἄθροισμα· Ἥρη μετ' ἀγῶνα νηῶν (l. νεῶν) καὶ Παλλὰς Ἀθήνη, — τὸ ἆθλον, — τὸν ναὸν ὡς ἐν τῷ· θεῖον δύσονται ἀγῶνα. γίνεται δὲ ἀπὸ τοῦ ἄγω ἢ ἀπὸ τοῦ γωνία μετὰ τοῦ στερικοῦ α· ἀγὼν ὁ κυκλοτερὴς καὶ μὴ ἔχων γωνίαν. — 5 De loco, quo hoc scholium in codd. Mosch. positum est v. p. 52. — ἀντὶ τοῦ (τοῦ ex τὸ) ὑποτακτ. q. — 6 ἴδωμεν Vrat. μ'φ', ἴδομεν ξ'. — ἄμφω post εἴδομεν addunt edd. — 13 Scholio Germani quod in U ad v. 16 post verba πιθανώτερον γὰρ τῆς νίκης Ὀλυμπιακῆς οὔσης τὸν Ὀλύμπιον Δία παρὰ τῷ Ὀλυμπιονίκῃ ἀνυμνεῖσθαι insertum legitur, ego lemma ἀμφιβάλλεται præfixi collato scholio vet. ad v. 13 (ἐκ τοῦ Ὀλύμπου [?] περιβάλλεται ταῖς τῶν σοφῶν μητίεσσι καὶ ὑπὸ πάντων τούτων κατασκευάζεται); præterea κατασκευάζεται scripsi pro κατασκευάζει, delevi τοῦ inter τὸ et ὑμνεῖσθαι, denique οὗ ante οὐδείς addidi.

gl. 14. *ἐπέρχεται.* — 15. *γνώμαις·* — † *βουλαῖς, νοήμασι.* — *ὑμνεῖν αὐτούς.*

16. *Th.* *Κρόνου παῖδα οἱ μὲν πρὸς τὸ ἑστίαν συντάσσουσι ληροῦντες· ἐπλανήθησαν δὲ εἰς τοῦτο, διότι ἡ καταρχὰς τὴν οἰκίαν εὑροῦσα ἡ Ἑστία ἦν, ἥτις ἦν Κρόνου θυγάτηρ, ἀφ' ἧς καὶ τὴν οἰκίαν ἑστίαν λέγομεν. ἐγὼ δὲ Κρόνου παῖδα λέγω τὸν Δία, ὃν δίκαιον ἐπαινεῖσθαι πρὸ τῶν νενικηκότων διὰ τὸ αὐτοῦ τὴν πανήγυριν εἶναι, εἰς ἣν οὗτοι ἐνίκησαν. πρῶτον δὲ καθολικῶς εἰπὼν ἀπὸ τῆς Ὀλυμπίας ἔρχεσθαι τοὺς ὕμνους ἐν τοῖς σοφοῖς ἐπαινεῖν τοὺς νικῶντας· ἐπειδὴ ὁ νῦν νενικηκὼς ὁ Ἱέρων ἦν, αὐτὸς δὲ ἦν ὁ πρὸς τοῦτον τὸν ἔπαινον ἐργαζόμενος, διὰ τοῦτο πρὸς τὸν Ἱέρωνα τὸν λόγον ἀπέτεινε, καὶ ἔστι τὸ ἱκομένους δι' ἑαυτόν.*

Germ. *Τὸ ἱκομένους ἀντὶ τοῦ ἱκόμενοι καὶ παραγενόμενοι λέγει· τῇ γὰρ αἰτιατικῇ ἀντὶ ὀρθῆς κέχρηται· ὅπερ οὐκ οἶμαι λόγον ἔχειν. συντάσσεται δὲ καὶ μετὰ αἰτιατικῆς καὶ εὐθείας.*

gl. 16. *τὸν Δία.* — *πλουσίαν.* — 17. *μακαρίαν.*

18. *Germ.* *Ἀμφέπει τὸ περιέπει, οἱονεὶ θεραπεύει ἢ ἀντὶ τοῦ βασιλεύει τῆς εὐδαίμονος Σικελίας· ἡ γὰρ πολύμηλος εὐδαίμων ἀπὸ μέρους νοοῖτο.*

---

3 *Κρ. παῖδ' ἐς ἀφνεάν* est lemma in codd. et edd. præter *ΓΔ* Vrat. *ε ί μ'.* — *ἑστία ΔΓξ', ἑστίας ε.* — 4 *ληροῦντες* ex *ΓΔ* addidi. — Verba *ἐπλανήθησαν δὲ εἰς τοῦτο* uncis inclusit Beck (quem Heyne secutus est) hac nota addita: «Vulgo post *συντάσσουσιν* punctum, post *τοῦτο* comma, ita ut verba *διότι κ. τ. λ.* viderentur causam continere *τοῦ ἐπλανήθησαν*, male, itaque ita interpunxi, ut ista causam indicarent, cur *συντάσσουσιν.*» Sed verba *ἐπλ. κ. τ. λ.* hæc significant: In hunc autem errorem eo inducti sunt, quod . . . — *κατ' ἀρχάς ει ξ.* — 5 *ἦν τοῦ κρ. ί.* — 10 *ἐπαινεῖν ΓΔ, ἐπαίνοισι εμ'φ', ἐπαινοῦσι* cett. — 10. 11 Verba *αὐτὸς δὲ ἦν* ex *ΓΓ* addidi. — 11 *τὸν* post *πρὸς* excidit in edd. — 13 Post *τὸ* delevi *δέ.* — 18 Post *ἀμφέπει* delevi *δέ* voculam.

Germ. Θεμιστεῖον] ὅτι τὸ σκῆπτρον τῆς Θέμιδος τοῖς βασιλεῦσιν ἐδέδοτο.

Μ. Ὃς ἀμφέπει] ἀντὶ τοῦ διέπει. περιέπειν γάρ ἐστι τὸ φίλον τινὰ κυβερνᾶν καὶ θάλπειν, διέπειν δὲ τὸ διοικεῖν· ἐνταῦθα δὲ ὁ λόγος τὸ δεύτερον ἀπαιτεῖ.

Μ. Θεμιστεῖον] τοῦτο ἡ μὲν ἀναλογία προπαροξύνει, ἡ συνήθεια δὲ περισπᾷ. ἐπικρατεῖ δὲ ἡ συνήθεια, ὡς καὶ ἐν τῷ χάριεν. κἀκεῖνο γάρ, ὅσον κατὰ τὴν ἀναλογίαν, ἐπὶ τῆς παραληγούσης ἂν εἶχε τὸν τόνον, ἀλλ' ἡ συνήθεια προπαροξύνασα αὐτὸ ἐπεκράτησε.

gl. 18. δίκαιον, ἔννομον. — διεξάγει, περιέπει.

19. Μ. Θεμιστεῖον σκῆπτρον] σκῆπτρον ἡ βασιλικὴ ῥάβδος. ἀπὸ ταύτης δὲ ἐνταῦθα τὴν βασιλείαν θέλει δηλοῦν. τοῦτο δὲ καὶ παρὰ τῷ πεζῷ λόγῳ ἐστὶν ἐν χρήσει.

Tr. Σκᾶπτον κατὰ Δωριεῖς τὸ σκῆπτρον, ἀποβολῇ τοῦ ρ̄ γενόμενον.

---

1 Germani verbis ὅτι — ἐδέδοτο quæ in *U* his veteris scholiastæ verbis Σκᾶπτον· κατὰ Δωριεῖς τὸ σκῆπτρον σκᾶπτον λέγεται ἀποβολῇ τοῦ ρ subiunctæ sunt, lemma Θεμιστεῖον ego præfixi. — 3 Ὅς et ἀντὶ τοῦ ex *abqξ* addidi; Θεὸς ἀμφέπει est lemma in Vrat., Θεμιστεῖον ὃς ἀμφέπει in *μ'φ'*, qui cum Vrat. etiam περιέπει pro διέπει exhibent. — 6 Scholium cui lemma Θεμιστεῖον præfixum est, in codd. Mosch. post scholium Mosch. ad v. 19, in cett. codd. et edd. ante ὃς ἀμφέπει — ἀπαιτεῖ legitur, hoc non male. — 7 ἡ δὲ συνήθεια edd. — ἐπικρ. δὲ καὶ ἡ *q*. — καὶ ex *aqι''* addidi. — 8. 9 ἐπὶ τῆς παραλ. ἂν om. *q*. — 9 προπαροξύνασα *abι''*, omm. *μ'φ'*, προπαροξύνουσα cett. — 12 σκᾶπτον (ἐν πολυμάλῳ add. Boeckh) est lemma in edd., Θεμ. σκᾶπτον in Vrat *ι''ξφ'*, Θεμ. σκᾶπτον in *μ'*, — in textu libri Moschopulei σκᾶπτρον exhibent, quod fort. hic quoque restituendum est; σκᾶπτον vetusta lectio est, quam etiam Triclinius servavit. — «Ed. [Rom.] Call. Br. pro σκῆπτρον habent σκῆπτον. Num forsan: σκῆπτον, σκῆπτρον?» *Beck*, male. — 13 ῥάβδος et ῥαῦδος codd. nonnulli. — ἐθέλει Vrat.

Germ. Πολυμάλῳ] ἤγουν τῇ πολυθρεμμάτῳ, ἢ ἀπὸ τοῦ καρποῦ τῶν μήλων· ἐκεῖ γὰρ περισσῶς λέγεται φυῆναι· ἢ πολυκάρπῳ· καὶ Ὅμηρος (Il. IX. 542)· καὶ αὐτοῖς ἄνθεσι μήλων.

gl. 19. ἀρχήν. — τῇ πολυθρέμμονι ἢ τῇ πολυκάρπῳ. — 20. καρπούμενος, λαμβάνων. — 21. τὰ ἀκρότατα. — ἤγουν εἰς πᾶσαν ἀρετὴν ἄκρος ὤν· — † τῆς ἀνδρίας, τῆς δικαιοσύνης καὶ τῶν ἑξῆς.

22. *Germ.* Ἀγλαΐζεται] ἢ ὅτι αὐτὸς μελικός ἐστιν, ἢ ὅτι φιλακροάμων ἐστὶ τῶν ᾠδῶν καὶ τῆς μουσικῆς· ἢ ὡς ὅτε πᾶν δένδρον, φησίν, ἀναπνέον ἀναφύει τὰ ἄνθη, ἢ ἀλλοπαθές.

Th. Δέον ἀγλαϊζόμενος εἰπεῖν πρὸς τὸ δρέπων ἀγλαΐζεται εἶπεν. εὕρηται δὲ καὶ παρὰ πᾶσι λογοποιοῖς. φησὶ γὰρ ὁ Συνέσιος· τὰ μὲν ἄλλα σώφρων καὶ μέτριος ἐν τῷ καθ' ἑαυτὸν βίῳ γενόμενος, ἀλλ' ὑπὲρ εὐγενείας ἀμφισβητῶν τῷ Κέκροπι διετέλεσε. διὰ δὲ τοῦ εἰπεῖν· ἀγλαΐζεται δὲ καὶ μουσικῆς ἐν ἀώτῳ, ἤτοι μουσικῇ, περιφραστικῶς δεικνύουσιν αὐτὸν εἰρήνης ἀπολαύοντα καὶ οὐ πολέμους ἔχοντα. εἰρηναίας γάρ ἐστι καταστάσεως μουσικῇ καὶ αὐλοῖς τὴν ψυχὴν θέλγειν.

gl. 22. λαμπρύνεται, κοσμεῖται.

23. *Germ.* Ἐν ἀώτῳ, οἷα παίζομεν] οὐ σπουδαίων

---

1 Post πολυμάλῳ delevi δὲ voculam. — 8 μερικός *U* et Mommsen; possis etiam cum schol. vet. μουσικός scribere. — 9 ᾠδῶν. — Μουσικῆς. ἢ ὡς ὅτι πᾶν etc. *U* et Mommsen. — Quis φησίν? — 11 Lemma ἀγλαΐζεται add. Boeckh. — δέον om. Vrat. — γλαϊζόμενος Vrat. — δέον εἰπεῖν ἀγλ. edd. — δρέπων ΓΛξ', δρέπω ι', μέτρον cett. — 12 τοῖς πᾶσι Λ, πᾶσι τοῖς ι', τοῖς edd. — «Synesii locum nondum reperire potui. Utuntur frequenter huius episcopi auctoritate vett. Grammatici» *Beck.* — 13 ἐν τῷ ἑαυτοῦ edd. — 14 Post ὑπὲρ delevi τῆς cum ΓΛι'ξ'. — εὐγενείας ξ'. — 14. 15 κεκρόπιδι ἐτέλεσε Vrat. — 15 δὲ τοῦτο εἰπεῖν μ'φ'. — δὲ post ἀγλ. om. ι'. — 16 ἤτοι μουσικῆς Γ, ἤτοι μουσικὴ ξ'. — 17. 18 γὰρ ἔτι z. — 18 μουσικὴ ξ'.

ἀνδρῶν καὶ ἐγρηγορότων καὶ νηφόντων τὸ ᾄδειν, ἀλλὰ λίχνων καὶ οὐδ' ἐν ἑτέρῳ καιρῷ ᾀδόντων ἀλλ' ἢ ἐν τῷ τῆς τραπέζης. φίλαν δὲ (24) ἀντὶ τοῦ φιλοποιόν, ἐν ᾗ συναθροίζονται πάντες οἱ φίλοι, οὐδεὶς δ' ἀπὸ τῶν ἐχθρῶν· ἢ ἐν ᾗ γίνονται οἱ φίλοι.

gl. 23. τῷ ἀπανθίσματι· ἀπάνθισμα δὲ μουσικὴ εἴτ' ᾠδὴ καὶ ἡ ἐξ αὐτῆς ἡδονή.

24. M. Οἷα παίζομεν] ἀντὶ τοῦ κατ' ἐκεῖνο τὸ μέρος ὃ παίζομεν. ὁμοιωματικὸν ἀναφορικὸν δεικτικὸν ἀντὶ ἀναφορικοῦ δεικτικοῦ. τοῦτο δὲ καὶ παρὰ τοῖς κοινοῖς ἐστιν ἐν χρήσει.

gl. 24. καθά. — 25. συνεχῶς· τὸ δὲ ἀμφὶ καθ' ὑπέρβατον πρὸς τὸ τράπεζαν λάμβανε.

26. Th. Τὸ Δωρίαν οἱ μέν φασιν ἱστορικῶς διὰ τοῦτο ὅτι πρῶτοι οἱ ἐν Παρνασσῷ Δωριεῖς λύραν ἐπήξαντο· οἱ δὲ μυθικῶς ὅτι πρῶτος Ἑρμῆς ταύτην πήξας Ἀπόλλωνι δῶρον ἔδωκεν· οὓς αὐτὸς χαίρειν ἐάσας Δωρίαν νοεῖ τὴν Δώριον μέλος ᾄσασαν ἐν τῷ Ἱέρωνος ἐπινικίῳ, ἢ ὅτι ὁ ἐπινίκιος Δωριστὶ συνετέτακτο. εἰσὶ δὲ ἁρμονίαι τρεῖς· Δώριος, Φρύγιος, Λύδιος. ἀναλάμβανε δέ, ὦ Πίνδαρε, τὴν Δωρίαν φόρμιγγα καὶ ὕμνει τὸν Φερένικον

3 ἀθροίζονται Mommsen edidit. — 8 De loco quo hoc scholium in codd. Mosch. positum est, vide p. 52. — 8. 9 μέρος ἐπαίζομεν et ὁμοιωτικόν α. — 9 δεικτικόν omn. edd. — Ante v. 13 in ι'' ξ' et minio scriptum in superiore margine libri φ' hoc scholium legitur: Ἀλλὰ Δωρίαν] ἤτοι (ἤγουν ι'', in φ' hæc usque ad μέλη abscisa sunt) τὴν (τὴν om. ι'') τοῖς Δωρίοις μέλεσιν ἁρμόζουσαν. τρία εἰσὶ μέλη· Δώριον, Φρύγιον, Λύδιον. Quæ ex schol. vet. ad v. 26 excerpta sunt. — 13. 14 διατοῦτο ὅτι πρῶτον Α. — 14 Δωριοῖς ξ'. — 15. 16 οὓς αὐτοὺς edd. ante Heynium. — 16 χαίρειν ex Γ Α addidi. — μέλλας Γ ξ'. — ᾄσασαν Heyne coniecit, et ἄσασαν est in Γ Α ι'' ξ', ἄσαν Vrat., ἆσαν μ', ἦσαν φ', οὖσαν edd. ante Boeckhium, qui ᾄδουσαν edidit. — 17 ὁ om. ξ'. — συντέτακτο Γ'ξ'. — 18 λύδιος φρύγιος ξ'. — καὶ λύδιος Γ. — 18. 19 ἀν. δὲ ὦ Πίνδαρε Γ Α, ἀν. ὦ ψυχή cett.

ἵππον τοῦ Ἱέρωνος καὶ τὴν Πίσαν, εἰ ἄρα σοι ἡ τούτου χάρις τὸν νοῦν ηὔφρανε.

gl. 27. κιθάραν. — † ἐν ᾧ ἦν κρεμαμένη.

28. *Th.* Πίσα χώρα καὶ Ἀλφειὸς ποταμὸς πλησίον Ἤλιδος ἐν Πελοποννήσῳ εἰσί. λέγουσι δέ τινες τὴν Πίσαν καὶ τὴν Ἦλιν πάνυ πλησίον εἶναι, ὅπερ οὐκ ἔστιν ἀληθές· πεντήκοντα γὰρ στάδια ἀλλήλων διέχουσι. Πίσα δὲ ἐκλήθη ἀπὸ Πίσης τῆς θυγατρὸς Ἐνδυμίωνος. ἐλέγετο δὲ ὁ τόπος τοῦ ἀγῶνος καὶ Πίσα καὶ Κρόνιος λόφος. τὸ δὲ Σύτο παρ' Ἀλφεῷ, καταχρηστικῶς εἶπεν· οὐ γάρ ἐστιν ἐν τῷ τοῦ ἀγῶνος τόπῳ οὗτος ὁ ποταμός, ἀλλὰ πόῤῥω.

gl. 28. ὦ ψυχή. — ἐνταῦθα γὰρ ἐτελοῦντο τὰ Ὀλύμπια· ὠνόμασται δὲ ἀπὸ Πίσης τῆς Ἐνδυμίωνος θυγατρός. — 29. οὕτω γὰρ ἐκαλεῖτο ὁ τοῦ Ἱέρωνος ἵππος. — ἡδονή. — 30. τὸν σόν. — ἡδὺ γάρ ἐμοὶ τὸ φροντίζειν περὶ αὐτῶν καὶ ὑμνεῖν. — 31. * * φροντίζειν ἐποίησε.

32. *Germ.* Τὸ σύτο δέμας ἀντὶ τοῦ ὅστις ὥρμησε τὸ δέμας πρὸς τὸν δρόμον. § ὧρμα πρὸς τὸν δρόμον.

gl. 32. ὅστις ὁ ἵππος ἢ ὁπότε. — ποταμῷ. — ὥρμητο· — † ἀντὶ τοῦ ἐσεύετο αὐτὸς ὁ Φερένικος. — 33. αὐθόρμητον καὶ μὴ δεόμενον κέντρου πρὸς κίνησιν ὥσπερ οἱ ἄλλοι ἵπποι, ἤγουν ἄψογον· ὁ γὰρ ψόγος ὥσπερ τι κέντρον τοῖς ἐνδεχομένοις. — 34. τῇ νίκῃ. — προσεπέλασε. — τὸν αὐτοῦ κύριον Ἱέρωνα.

---

1 τοῦ omm. edd. — Πίσσαν ΓΛ. — 2 ηὔφρανε Γ ί', ηὔφρανεν Λ, εὔφρανεν z μ' φ', εὔφρανε cett. — 4—10 Πίσα — πόῤῥω om. z. — Πίσσα Γ Λ. — 5 πελοπονήσω Γ Λ Vrat. μ' ξ' φ'. — πίσσαν Γ Λ hic et infra. — ἦλιν Vrat. — 7 πίσσης etiam ξ'. — 8 ἐνδρομίωνος Vrat. μ' φ', εἰδρομίωνος ξ'. — 8. 9 κρόνιος ξ'. — 9. 10 γάρ ἐστιν φ'. — 12 πίσσης codd. — 16. 17 Verba τὸ δὲ (sic) σύτο — τ. δ. π. τ. δρόμον in *U* scholio veteri ad v. 32 post Ἦλιν inserta sunt; tum τὸ δὲ σῦτο δέμας (sic) ἀντὶ τοῦ ὥρμα πρὸς τὸν δρόμον in scholio vet. ad v. 33 post verba ἄνευ κέντροιο θέοισαι leguntur.

35. *Th.* *Ἱπποχάρμαν]* τὸν τῇ ἱππικῇ χαίροντα. καλῶς δὲ τὸ ἐπίθεον τῷ βασιλεῖ διὰ τὸ ἱπποτροφεῖν, ἵνα δείξῃ ὅτι οὐ τύχης γέγονε τὸ τῷ Φερενίκῳ χρήσασθαι, ἀλλ' ἐπιστήμης καὶ τῆς αερὶ τὸ πρᾶγμα ἐπιμελείας.

gl. 35. Συράκουσα πόλις Σικελίας. — τὸν ἐν τοῖς ἱππικοῖς χαίροντα ἢ τὸν ἱππικώτατον. — * * οὕτω χρὴ τὸ κῶλον τοῦτο γράφειν διὰ τὸ μέτρον.

37. *Germ.* *Εὐάνορι]* τῇ ἀνδρειοτάτῃ, τῇ εὖ διδούσῃ τοῖς ἀνδράσιν.

gl. 37. αὐτῷ τῷ Ἱέρωνι ἢ τῷ ἵππῳ· — † αὐτῷ, ἤτοι αὐτοῦ τοῦ Ἱέρωνος. — * τῇ εὐδαίμονας ἐργαζομένῃ τοὺς ἄνδρας διὰ τὰς ἐν Ὀλυμπίᾳ νίκας ἢ τῇ ἐχούσῃ καλοὺς ἄνδρας καὶ γενναίους.

38. *Tr.* *Πέλοπος ἀποικίᾳ]* ἤτοι τῇ Πελοποννήσῳ, ἣν ᾤκησεν ὁ Πέλοψ ἀποικισθεὶς τῆς ἑαυτοῦ πατρίδος τῆς Λυδίας.

M. *Μεγασθενής]* τὰ παρὰ τὸ σθένος καὶ τὸ γένος ὀνόματα σύνθετα κύρια μὲν ὄντα παροξύνεται· οἷον Δημοσθένης, Ἀντισθένης, Διογένης, Θεαγένης· ἐπίθετα δὲ ὀξύνεται· οἷον μεγασθενής, ἀσθενής, μονογενής, εὐγενής. κατὰ ταὐτὰ καὶ Ἀριστοφάνης καὶ Μητροφάνης παροξύνεται κύρια ὄντα· ἀφανὴς

---

1 Hoc scholium omm. edd. — Lemma *ἱπποχάρμαν* omm. *ΓΔ*. — 11 Glossa Thomana *τῇ εὐδαίμονας* — *γενναίους* in *ι'μ'ξ'φ'* et edd. præfixo lemmate *εὐάνορι* inter scholia recepta est. — 13 Scholio Tricliniano, quod omm. *z* et edd., crux Moschopulea præfigitur in *φ'*, et sane eadem infra inter Moschopulea leguntur et *b* in marg. interiore hæc ad vocem *Λυδοῦ* annotat: † *ἀπὸ Λυδίας γὰρ ἀποικισθεὶς ᾤκισε τῇ πελοπονήσῳ ὁ πέλοψ.* Videtur Triclinius Moschopuli paraphrasin in suum usum convertisse. — *πελοπονήσῳ* codd. — 14 *ᾤκισεν μ' φ'*. — 15 Scholium de voce *μεγασθενής* in Moschopuli Sylloge post *ἐντρυφᾷ τις* legitur. — *τὸ γένος καὶ σθένος ι'*. — *τὸ* ante *γένος* ex *aq* addidi. — 17 *θεογένης μ'ξ', φ'* post corr. et edd., omm. *a* et Syll. — *ἐπίθετα δὲ ὄντα μ'* et Syll. — *ὀξύνεται ι'' q* et Syll., *ὀξύνονται* cett. — 18 *κατά*] *καὶ ι''*. — *μεταταῦτα q*, *κατὰ ταῦτα a b ξ' φ'* et Syll., *κ. ταυτὰ* cett.

δὲ καὶ προφανὴς καὶ διαφανὴς ὀξύνεται ἐπιθετικῶς λεγόμενα· ὧν τὰ μὲν κύρια ἀπὸ τοῦ φαίνειν γίνεται, τὰ δὲ ἐπίθετα ἀπὸ τοῦ φαίνεσθαι. τὰ δὲ εἰς ος ἀπὸ τοῦ φαίνεσθαι πάντα προπαροξύνεται, εἴτε κύριά εἰσιν εἴτε ἐπίθετα, οἷον ἄφαντος, πρόφαντος, Διόφαντος.

gl. 38. * *ἤγουν ἐν τῇ Πελοποννήσῳ, εἰς ἣν ἀπὸ Λυδίας Πέλοψ ἀφῖκτο· ἀφ' οὗ καὶ τοὔνομα ἔσχεν Ἀπία πρὶν καλουμένη.* — 39. * *ἐπεθύμησεν, ἐφίλησε·* — ** *ἐπροθύμησεν, εἰς ἔρωτα ἦλθεν.*

40. *Germ.* *Λέβητος] τὴν ἐργασίαν αὐτὴν ὀνομάζει λέβητα, ἤγουν τὴν πρᾶξιν.*

Th. *Τάνταλος τιμώμενος πάνυ παρὰ θεοῖς καὶ βουλόμενος αὐτοῖς ἀνταμείψασθαι σφάττει τὸν αὐτοῦ παῖδα Πέλοπα καὶ δεῖπνον παρατίθησι τοῖς θεοῖς. τῶν ἄλλων οὖν θεῶν ἀποδεξαμένων αὐτὸν τῆς γνώμης καὶ μὴ φαγόντων, Δημήτηρ ἐλθοῦσα ἐκ τῆς τῆς θυγατρὸς ζητήσεως καὶ ἀγνοοῦσα τὸν ὦμον κατέβρωξεν. ἐμβαλόντες οὖν αὐτὸν οἱ θεοὶ εἰς λέβητα καὶ ὁλόκληρον αὖθις συμπήξαντες, ἐπεὶ ὁ ὦμος ἀπῆν, ἐλεφάντινον ἀντέθηκαν. διὸ καὶ οἱ ἐκ Πέλοπος καταγόμενοι τοιοῦτον εἶχον τὸν ὦμον. τὴν Κλωθὼ δὲ λέγει ἐξελεῖν αὐτὸν ἐκ τοῦ λέβητος, διότι συγκεκλωσμένον ἦν αὐτῷ παρὰ τῆς τύχης αὖθις ἀναζωω-*

---

1 *καὶ διαφανὴς* om. *a*. — *ἐπιθετικὰ* *ι''*. — 3 *τὰ δὲ εἰς ος ἀπὸ τοῦ φαίνεσθαι* omm. *bq* et Syll. propter homœoteleuton. — *πάντα* om. *μ'*. — 4 *εἶτ' ἐπ.* edd., *εἴτε* om. *q*. — *οἷον* om. *q*. — 5 *δίφαντος* *ι''*, om. *q*. — 6 Glossa Thomana ad v. 38 in codd. mixtis præter *ξ'* scholio Tricliniano ad eundem versum præmissum legitur. — 7 *Ἀπία* om. *ι''* in lacuna. — *πρότερον* codd. mixti. — 10 *Λέβητος* ego scripsi pro *Ποσειδᾶν*. — 12 *Ἱστορία ὅπως ἔθυσε τοῖς θεοῖς τὸν πέλοπα* margo *z ι'' μ' φ'*, *ἱστορία* edd. in textu. — 13 *αὐτοῖς* *Γ z ι'' ξ' φ'*, *αὐτούς* cett. — *αὐτοῦ* *Γ Δ*, *αὐτοῦ* *ι''*, *ἑαυτοῦ* cett. — 15 *αὐτῶν τῆς* *Δ*. — 16 *ἐκ τῆς θυγ.* codd. præter *Γ Δ ξ'*. — *τὸν* om. *z*. — 17 *ἐμβάλλοντες* Vrat. — 18 *ἐμπήξαντες* *ι''*. — 19 *οἱ ἐκ πέλοπος* *Γ Δ ι'' z*, *οἱ πέλοπος* Vrat. *ξ'* ac *φ'*, *οἱ ἀπὸ πέλοπος* cett. — 20 *τὴν* om. *ι''*.

θῆναι· ὃ μὴ δεχόμενος Πίνδαρος ἐλέγξει μὲν προϊών, νῦν δέ φησιν· ἦ θαύματα πολλά· ὅπερ τριπλῶς νόει οὕτως· ὄντως θαῦμα ὑπάρχουσι τὰ πολλά· ὄντως πολλὰ θαύματά εἰσιν· ὄντως θαυματὰ καὶ θαυμαστά εἰσι πολλά.

gl. 40. *αὐτὸν τὸν Πέλοπα.*

41. *Germ.* *Φαίδιμον ἐξήνεγκεν* *ἕτεροι, ὅτι καὶ καθαρὸς λέβης ἐκεῖνος· ἕτεροι δέ, ὅτι ζῶντα αὐτὸν ἐξήνεγκεν· ὅθεν καὶ καθαρὸν τὸν λέβητα ὀνομάζει.*

M. *Φαίδιμον ὦμον]* *περιττῶς κεῖται τὸ φαίδιμον· ἢ τὸ κεκαδμένον ἀντὶ τοῦ ἔχοντα. σύνηθες δὲ τούτοις τὸ τοιοῦτον.*

gl. 41. * *μοῖρα·* — ** *ἡ τὰ τῶν ἀνθρώπων ἐπικλώθουσα τύχη.* — *ἱστῷ δηλονότι.* — *ποταπόν; λαμπρόν.* — 42. * *κεκοσμημένον·* — † *κεκοσμημένον ἢ ἔχοντα.*

43. *Germ.* *Τὸ ἦ θαῦμα τὰ πολλὰ γράφεται καὶ οὕτως· ἦ θαυματὰ πολλά, ἀντὶ τοῦ ὄντως θαυμαστὰ καὶ ἄξια θαύματος. § ἦ θαῦμα ἀντὶ τοῦ ὄντως θαῦμα καὶ ἔκπληξις· ἔκπληξις δὲ καὶ φόβος ἐξ ἀσυνήθους φαντασίας. § ἦ ἐκπληκτικά τινα ὑπερβαίνοντα τὴν ἀλήθειαν καὶ πρὸς τὸ τερατωδέστερον νεύοντα. ἡ δὲ σύνταξις· φέρεται δὲ καὶ βροτῶν φήμη.*

---

1 Ante *Πίνδαρος* omisi *ὁ* cum *Γ Δ* Vrat. *z ι'' ξ' φ'*. — *ἐλέγχει z.* — 2 *ἡ Γ Δ.* — *θαύματα πολλὰ ΓΔι''*, *θαῦμα τά πολλα* Vrat., *θαῦμα τὰ πολλά* cett. — *οὕτω Γ Δ.* — 3 *ὄντως* ante *πολλὰ* om. *ξ'*. — 4 *εἰσὶ (εἰσι) τὰ πολλὰ* codd. præter *Γ Δ ι''*. — 6 *ἐξήνεγκεν· ἑτ̄* *U* et Mommsen nisi quod *ἕτεροι* (?) ab eo editum est. — *ὅτι κ. καθαρὸς* scripsi pro *ὅθεν καὶ ἀκάθαρτος.* — 7 *ὅτε* *U*, corr. Mommsen. — *ὅθεν* ego scripsi, *ὃν* *U*, *ὡς* coni. Mommsen. — 8 *τὸν λέβ.* scripsi pro *λέβητα αὐτόν.* — 9 In lemmate post *ὦμον* in *a* *κεκαδμένον* additur. — *καλεῖται z φ'*. — 10 *ἤγουν τὸ z φ'*. — *κεκοσμημένον a q ξ'*, in *b* hæc leguntur: *ἢ τὸ κεκοσμημένον τοῦτο σημαίνει τὸ κεκαδμένον ἀντὶ τοῦ κεκοσμημένον ἔχοντα* etc. — 15 Delevi *δὲ* inter *τὸ* et *ἦ*. — Paragraphi signa in hoc scholio ego posui. — 18 *ἐκπλητικὰ τινὰ* *U* et Mommsen.

gl. 43. * γρ. ἢ θαυματὰ πολλὰ ἀντὶ τοῦ ἄξια θαύματος· — ὄντως ἔκπληξις ὑπάρχει — † ὄντως ἄξια θαύματος κατὰ πολύ.

44. *Th.* Ἐπειδὴ ἐκ πολλῶν ἀνθρώπων λόγων ἡ φήμη συνίσταται, διὰ τοῦτο φάτις εἰπὼν εἶτα πρὸς τὸ ταύτης σημαινόμενον τὸ μῦθοι ἐπήγαγε. μὴ συνάψῃς δὲ τὸ θνατοῖς πρὸς τὸ τεύχει, ὥς τινες οἴονται, ἀλλὰ πρὸς τὸ ἐπιφέρουσα, οὕτως· ἐπὶ τοῖς θνατοῖς φέρουσα τιμήν, ἤτοι παρ' αὐτῶν τιμωμένη. τὸ γὰρ ἐν ἀνθρώποις φέρειν τιμήν, τιμᾶσθαί ἐστι.

gl. 44. * ἡ φήμη. — 46. πεποικιλμένοι, ἐκ μεταφορᾶς τοῦ μηχανικωτάτου Δαιδάλου. — 47. ἐξαπατῶσι τοὺς ἀκούοντας καὶ πρὸς πίστιν ἄγουσιν.

48. *Germ.* Ἡ χάρις, ἡ ποιητικὴ δύναμις· τὸ αἰτιατὸν ἀντὶ τοῦ αἰτίου· τῇ ποιητικῇ γὰρ δυνάμει ἐνυπάρχει τὸ ἐνήδονα λέγειν· ἢ τὰ πράγματα δι' ὀνομάτων ἢ δι' ὁρισμῶν ἀποδεικνύονται· ἐνταῦθα δὲ ὁρισμῷ τὴν ποιητικὴν ἐδήλωσεν· ποιητικὴ γὰρ χάρις ἅπαντα τεύχει τὰ μείλιχα θνατοῖς κατὰ Πίνδαρον. τὸ δὲ ἐξαπατῶντι ἀντὶ τοῦ ἐξαπατῶσι. τὸ δὲ ψεύδεσι δοτικὴ ἀντὶ εὐθείας καὶ τὸ μῦθοι εὐθεῖα ἀντὶ δοτικῆς. τὸ δὲ ἐπιφέροισα τιμάν,

---

2 Glossa ὄντως ἄξια θαύματος ταῦτα κατὰ πολὺ est in *a*. — In μ' φ' glossa εὕρηται ἔν τινι παλαιῷ (colon add. μ') τὸ (δὲ add. μ') ἔστι κρεῖττον ad v. 43 legitur, quæ quorsum spectet, nescio; conf. etiam Mommsenum in Suppl. Ann. p. 3: «Tricliniana notula εὕρηται ἔν τινι παλαιῷ τόδε. ἔστι κρεῖττον [??] in μ' ν' ita collocata est ut ambiguum sit utrum ad θαῦμα ταπολλὰ an ad φρένας referatur». — 3—8 om. φ'. — 3—5 Ἐπειδὴ — ἐπήγαγε ex ΓΔ addidi. — 5 δὲ ex ΓΔ addidi. — θνητοῖς ε. — 6. 7 οὕτως — φέρουσα om. ι'. — 7 τιμὴν ΓΔι', τιμὰν cett. — ἤγουν ι'. — 11 Ad v. 47 glossa παρασύρουσιν est in *a* et cruce signata etiam in codd. mixtis. — 15 ἅπαντα Mommsen, ἅπ (α superscr.) *U*. — 17 In voce ἐξαπατῶσι *U* litteram ω a manu secunda in rasura scriptam habet. — 17. 18 τὸ δὲ ψεύδεσι — ἀντὶ δοτικῆς ego scripsi pro his codicis *U* verbis, quæ Mommsen non mutavit: δοτικὴν ἀντὶ δοτικῆς· καὶ εὐθείαν (sic) ἀντὶ τῆς εὐθείας.

τοῦτο ἀξίωμα τοῦ λόγου, ἐπιδεικνύουσα τὴν ἑαυτῆς δόξαν, τουτέστιν ἰσχύν· ἑκάστου γὰρ δόξα ἡ ἰσχὺς αὐτοῦ.

gl. 48. ἡ ποιητικὴ καλλιέπεια· — † ἤτοι δύναμις, ποιητικῶν λόγων δηλονότι ἐπαγωγός. —49. τὰ ἡδέα. — * ἀνθρώποις. — 50. ἔχουσα· — † ἐπιτιθεῖσα αὐτοῖς ἢ ἑαυτῇ. — 51.** πρᾶγμά τι. — ἐσκέψατο.

52. *Th.* Τὸ τὸ οὐκ ἔστι κατὰ ἀντιστροφὴν πρὸς τὸ ἄπιστον, ὡς ληροῦσί τινες, ἀλλ' εἰπών· καὶ ἄπιστον ἐμήσατο πιστὸν ἔμμεναι, ἐπιφέρει τὸ, καὶ τοῦτο ὃ ποιοῦσι· καὶ ἔστιν ὅμοιον τῷ παρὰ Σοφοκλεῖ (Ai. 46)· Ποίαισι τόλμαις ταῖσδε καὶ φρενῶν θράσει. εὑρήσεις δὲ καὶ ἕτερα πολλὰ τοιαῦτα.

gl. 52. τοῦτο ὃ ποιοῦσι.

53. *Germ.* Ἁμέραι ἐπίλοιποι, ἤγουν ὁ μετὰ ταῦτα χρόνος καὶ ὁ ἐφεξῆς καιρὸς δεικνύει τὸ πρᾶγμα, ἐλέγχει, ἀπογυμνοῖ ἐκεῖνο καὶ φανεροῖ ὁποῖόν ἐστιν.

gl. 53. ἤγουν ὁ μετὰ ταῦτα χρόνος δείκνυσι τὸ πρᾶγμα ὁποῖόν ἐστι, καὶ ἔλεγχός ἐστιν ἀκριβής.

54. *Germ.* Τὸ μάρτυρες σοφώτατοι ἀντὶ τοῦ· τὸ γὰρ συνεχῶς λεχθὲν λέγεται καὶ σοφόν.

---

7 Lemma *Τὸ πολλάκις* est in edd. — *Τὸ* om. *z*. — 8 *ὡς οἴονταί τινες* codd. et edd. præter *ΓΔ*. — 9 Post *ἐπιφέρει* in codd. et edd. præter *ΓΔz* *καὶ* additur. — 10 *ὁμ. τὸ παρὰ τῷ σοφ.* *z*, *ὁμ. παρὰ τῷ σοφ.* *ι'*. — 11 *εὑρῃς* *ΓΔ*. — 12 Post *τοιαῦτα* hæc adduntur in *ι'* e glossa Thomana sumpta: *Μείων αἰτία· ἤγουν οὐδὲ μία μέμψις ἐστὶ τῷ καλὰ λέγοντι περὶ θεῶν ἀλλὰ καὶ μᾶλλον εὐσέβεια*, quæ *ξ'* post schol. Thom. ad v. 61 exhibet. Eodem spectant quæ *φ'* in marg. inf. habet e scholl. vett. excerpta: † *μείων· ὀλίγη οὐδεμία· ὅμηρος ἢ ὀλίγον* (suprascr. *οὐδόλως*) *οἱ γείνατο ἐοικότα παῖδα τυδεύς*. — 14 In initio scholii delevi *ἢ*. — *ἁμέραι* *U* etiam in textu. — *ἐπίλ.* ego addidi. — 19. 20 *τὸ δὲ μ. σ., ἀντὶ τοῦ γὰρ τὸ συνεχῶς λ. λ. κ. σοφόν* *U*, ad quæ Mommsen hæc annotavit: «Aut *τὸ δ' ἀντὶ τοῦ γάρ. τὸ γὰρ συνεχῶς* aut *ἀντὶ τοῦ· τὸ γὰρ συνεχῶς* scribendum est.»

gl. 54. *τῆς ἀληθείας.* — † *γίνονται ἔλεγχοι τοῦ ψεύδους καὶ τῆς ἀληθείας.* — 55. *παντί.* — * † *εἰπεῖν·* — * * *φάναι.* — 56. *πρέπον·* — † *εἰκός.* — *περὶ θεῶν.* — 57. * *ἤγουν οὐδεμία μέμψις τῷ καλὰ λέγοντι περὶ τῶν θεῶν, ἀλλὰ μᾶλλον εὐσέβεια.*

26—57. M. *'Αλλὰ Δωρίαν ἀπὸ φόρμιγγα] πρὸς τὴν ἑαυτοῦ πάλιν ψυχὴν ἀποτείνει τὸν λόγον· ἀλλὰ τὴν τοῖς Δωρίοις μέλεσιν ἁρμόζουσαν φόρμιγγα ἀπὸ τοῦ πασσάλου λάμβανε, ἤγουν μὴ ἀργῶς αὐτὴν ἔα κεῖσθαι· ἀλλὰ λάμβανε καὶ κίνει πρὸς τοὺς ἐπαίνους, εἴ σοι κατά τι τὸν νοῦν* (30) *ὑπὸ γλυκυτάταις ἐποίησε φροντίσιν, ἤγουν τὴν γλυκυτάτην φροντίδα, τῶν ἐγκωμίων δηλονότι, φροντίζειν ἐποίησε, τὸ ἐπαγωγὸν τοῦ ἀγῶνος τοῦ ἐν τῇ Πίσῃ καὶ τῆς ἀρετῆς τοῦ ἵππου τοῦ Φερενίκου· ὅτε αὐτὸς ὁ Φερένικος σύτο, ἤγουν ἐσεύετο, ἔτρεχε, πλησίον τοῦ 'Αλφειοῦ ποταμοῦ, ἤγουν ἐν τῇ 'Ολυμπίᾳ, τὸ ἑαυτοῦ σῶμα διδοὺς ἐν τοῖς δρόμοις οὐ δεόμενον κέντρου· τῇ νίκῃ δὲ* (34) *ἤνωσε,*

---

5 Paraphrasis Moschopulea vv. 26—57 in plerisque codicibus in particulas discerpta et Thomanis scholiis permixta est. In Vrat. *z ι' μ' ξ' φ'* post *ὦμον* p. 71, 12 hæc sequuntur: scholium Thomanum ad v. 35, glossa Thomana ad vocem *εὐάνορι* (v. 37), glossa Thomana et scholium Triclinianum ad *Πέλοπος ἀποικίᾳ* (v. 38), scholium Mosch. de voce *μεγασθενής* (v. 38), scholium Thomanum ad v. 40, scholium Mosch. ad *φαίδιμον ὦμον* (v. 41), denique lemmate *ἦ θαῦμα τά* addito paraphrasis Mosch. inde ab *ὄντως ἔκπληξις* (p. 71, 12). — In *q* post p. 71, 6 *ἀνδρῶν* sequitur schol. Mosch. de voce *μεγασθενής*, schol. Mosch. ad *φαίδιμον ὦμον*, tum p. 71, 6 *οὔτινος* — p. 72, 8. — In *b* omnia confusa sunt. — 5 Lemma omm. edd. inde a Beckio. — *φόρμιγγα* om. *ι'*. — 7 *ἁρμούζουσαν q.* — *τοῦ* ex *a b q ι'* addidi. — 8 *ἤγουν a b q ι'*, *καὶ* cett. — *μὴ* om. *a.* — *ἀργοῦσαν q.* — 9 *κίνη a.* — *τι* om. *a.* — 11 *φροντίζειν* om. *ι'*. — 12 *τῇ* omm. *q* Vrat. — *πήσῃ* Vrat. — 13 *σῦτο q z.* — *σεύετο* Vrat. *μ'*, *δεύετο ξ'*. — 13. 14 *τοῦ ἀλφ. τοῦ ποτ. q.* — 14 *ἐν* om. *a.* — 15 *τοῖς πόνοις ξ'.* — *οὐ a b q*, *μὴ* cett. — *δεομένον a* post corr.

τουτέστι νικῆσαι ἐποίησε, τὸν ἑαυτοῦ δεσπότην, τὸν Ἱέρωνα, τὸν βασιλέα τὸν Συρακούσιον, τὸν τῇ ἱππικῇ χαίροντα. διάδηλον δέ ἐστιν αὐτοῦ τὸ κλέος (37), ἤγουν τοῦ Ἱέρωνος, παρὰ τῇ ἀποικίᾳ τοῦ Πέλοπος τοῦ Λυδοῦ, ἤγουν ἣν ἀποικισθεὶς ὁ Πέλοψ τῆς ἑαυτοῦ πατρίδος τῆς Λυδίας ᾤκησε, τουτέστι τῇ Πελοποννήσῳ, τῇ καλῶς ἐχούσῃ ἕνεκα γενναιότητος ἀνδρῶν. οὗτινος, τοῦ Πέλοπος δηλονότι, ἔρωτα ἔσχεν ὁ Ποσειδῶν, ὁ μεγάλην ἔχων ἰσχύν, ὁ τὴν γῆν συνέχων· ἐπεὶ γὰρ ἐπ' αὐτῷ ἐστι τὸ κινεῖν αὐτήν, ἐπ' αὐτῷ δηλονότι ἐστὶ καὶ τὸ μὴ κινεῖν· διὸ οὐ μόνον Ἐνοσίχθων, ἀλλὰ καὶ Ἀσφάλειος ὁ αὐτὸς καὶ Γαιήοχος. ἠράσθη δὲ αὐτοῦ, ἀφ' οὗ (40) ἐξήνεγκεν αὐτὸν τοῦ ἱεροῦ διὰ τὴν θυσίαν λέβητος ἡ Κλωθώ, ἐλεφαντίνῳ ὀστῷ λαμπρὸν ἔχοντα τὸν ὦμον. ὄντως (43) ἐκπλήξεις τὰ πλείω τῶν πραγμάτων, καί που κατά τι παρασύρουσιν ἔξω τοῦ ἀληθοῦς λόγου τὰς φρένας τῶν ἀνθρώπων καὶ λόγοι ψεύδεσι ποικίλοις πεποικιλμένοι· ἡ ἐπαγωγὸς δὲ δύναμις (48) ἐστι τῶν ποιητικῶν δηλονότι λόγων· τῇ ποιητικῇ γὰρ ἐφεῖται τὰ τοιαῦτα· ἥτις ἅπαντα πρὸς τοὺς ἀνθρώπους κατασκευάζει τὰ μείλιχα, ἤγουν τὰ εὐπαράδεκτα, τὰ ἡδέα, ἐπιτιθεῖσα

---

1 τὸν ante Ἱέρωνα ex *a b q* addidi. — 2 τὸν βασ. om. *q*. — τὸν Συρ. omm. *q* et edd., βασιλέα . . . . . . σιον est in Vrat. — 3 τὸ ex *a b z* addidi. — περὶ τῇ ξ΄. — 4 τοῦ ante Πέλ. om. *q*. — τοῦ πα (sic) . . . . τοῦ Vrat. — ἣν] ἐν ξ΄, ἣ m. alt. in marg. — 5 αὐτοῦ *a q*, sed τῆς ἑαυτοῦ est etiam in glossa Mosch. — πελοπονήσω *b q* Vrat. *z* μ΄ ξ΄. — 6 καλῶς om. Vrat. in spatio. — 9 ἔστιν καὶ *q*. — 10 Ἀσφάλιος Heyne et Bœckh ediderunt. — ὁ αὐτὸς καὶ γαιήοχος *a b q* ι΄΄ ξ΄, καὶ γαιήοχος ὁ αὐτὸς cett. — 12 κλωθᾶ *a*. — τὸν omm. Vrat. μ΄ ξ΄ φ΄. — Ante ὄντως lemma ἢ θαύματα est in ξ΄, θαῦμα ταπολλά in *z*, ἢ θαῦμα τά in μ΄ (in quo α littera in μα in rasura scripta est) et in ceteris præter *a b q* codd. et edd. — Codex φ΄ in margine etiam σύνταξις annotat. — οὗτως *a*. — 13. 14 παρασύρρουσιν *q*. — 15 λόγοις *z* ξ΄. — 16 δηλονότι omm. Vrat. *z* μ΄ φ΄. — ἡ ποιητικὴ γὰρ *a*. — κατασκευάζει *a b* Vrat. *z* ι΄΄ ξ΄ φ΄, παρασκευάζει cett. — 18 ἤγουν omm. edd.

αὐτοῖς τιμήν, ἀντὶ τοῦ δύναμιν αἰδοῦς καὶ τιμῆς ἀξίαν· ἢ ἐπιφέρουσα τιμὴν ἑαυτῇ δηλονότι καὶ τὸ ἄπιστον ἀπὸ τῆς ἑαυτῆς φύσεως ἐμηχανήσατο πολλάκις πιστὸν τοῦτο εἶναι, ἀντὶ τοῦ δοκεῖν, αἱ ἡμέραι δὲ (53) αἱ ἔμπροσθεν γίνονται ἔλεγχοι σοφώτατοι τοῦ ἀληθοῦς καὶ τοῦ ψεύδους. ἔστι δὲ πρέπον τῷ ἀνθρώπῳ εἰπεῖν περὶ τῶν θεῶν καλά, τουτέστι λόγους ἀγαθὴν δόξαν ἔχοντας. ἐλάττων γὰρ οὕτω μέμψις, ἀντὶ τοῦ οὐδεμία, ἀλλὰ καὶ ἔπαινος μᾶλλον.

gl. 58. προκατάστασις. — * † Πέλοψ. — ἐναντίως. — 59. ἱστορικῶν, ποιητῶν. — εἴπω· ἔχει δὲ τὴν δύναμιν πρὸς τὸ ἁρπάσαι.

60. M. Ὁπότε κάλεσε πατὴρ] ἀσαφὴς δοκεῖ ὁ λόγος οὐκ ἔχων, τίνα ἐκάλεσεν ὁ Τάνταλος· τὸ ἐπαγόμενον δὲ λύει τὴν αὐτοῦ ἀσάφειαν· ἐπάγεται γάρ· ἀμοιβαῖα θεοῖσι δεῖπνα παρέχων. ἀφ' οὗ δῆλον γίνεται, ὅτι τοὺς θεοὺς ἐκάλεσεν. εἶχε δ' ἂν σαφέστερον, εἰ οὕτως ἂν ἐλέγετο· ὁπότε κάλεσε πατὴρ τοὺς θεούς, ἀμοιβαῖα αὐτοῖς δεῖπνα παρέχων.

Tr. Ἐλλειπτικὸν δοκεῖ εἶναι πρὸς τὴν σύνταξιν τὸ ὅλον χωρίον, καὶ ληπτέον ἔξωθεν τὸ ᾄδεται.

gl. 60. † ᾄδεται. — συνήγαγε. — ὁ Τάνταλος. — 61. δικαιότατον· ἐπειδὴ ἀντίδοσις ἦν ὧν ὑπὸ θεῶν ἀγαθῶν ἔπασχεν· * ἢ τοῦτο λέγει διὰ τὸ θεοὺς ἑστιάτορας εἶναι.

---

1 αἰδοὺς αι''. — καὶ] τει''. — ἢ] ἡ (?) ι'', om. ξ'. — 2 τῆς ἑαυτοῦ aqz et idem legitur in glossa Mosch. — 3 ἐμηχανίσατο ξ'. — 5 τοῦ ἀλ.] καὶ ἀλ. ι''. — 6 ἀγαθοὺς q ξ' et μ'so. — 7 ἐλάττω z. — γὰρ οὔτε z μ' φ'. — 12 ὁπότε κάλεσε ex aq est (b om. lemma), ὁπότ' ἐκάλεσε cett. — 13 δὲ] ἢ ι''. — 14 τὴν ἑαυτοῦ ι''. — ἐπ. δὲ z. — 16 δὲ ἂν a. — ὁπότε κάλεσε aq, ὁπότ' ἐκάλεσε cett. (etiam b, ut videtur). — 17 αὐτοῖς om. z. — 18 Delevi δὲ ante δοκεῖ. — ὅλον om. ξ'. — 19 χωρίον om. ι''. — «Hæc ita capio. Post φθέγξομαι in antt. edd. vel punctum vel colon. Itaque ad Infin. ἁρπάσαι deerat verbum, quod ita suppletum: ᾄδεται» Beck. — 22 τὸ τοὺς θεούς?

62. *Germ.* *δαίς*

ἔρανος ὁ ἐκ πολλῶν συναθροισθεὶς δώρων	*εἰλαπίνη τὸ ἐξ ἑνὸς γινόμενον δεῖπνον*	*γάμος δὲ ὁ ἐκ νυμφίου καὶ νύμφης.*

Th. *Ἀγνοοῦντές τινες εἰς πρὸς τὸ ἔρανον λαμβάνουσιν ἔξωθεν λέγοντες καὶ ἐν τῷ φίλαν τε τό τε ἀργόν. τὸ δὲ πᾶν ἐστι τοιοῦτον· ἀντία δὲ καὶ ἐναντιως τῶν προτέρων ἱστορικῶν, ὦ υἱὲ τοῦ Ταντάλου Πέλοψ, φθέγξομαι καὶ εἴπω, τότε ἁρπάσαι σε τὸν ἀγλαοτρίαιναν Ποσειδῶνα ἀνὰ ταῖς χρυσέαις ἵπποις δαμέντα καὶ*

---

1 Ad Germani scholium Mommsen interpretes ad Hom. Od. α 226 conferri iubet. — *δαίς* scripsi pro *δαῖς*. — 2. 3 *ὁ ἐξ ἑνὸς γινόμενος δεῖπνος U*, correxi. — 4 Ex hoc scholio excerpta esse videtur notula in cod. Aug. B, de qua hæc Mommsen in Schol. Germ. p. 7.: »Accedit arguta notula Thomana: *ἐς μὴ πρός τὸ ἔρανον λάμβανε, ἀλλὰ πρὸς σίπυλον φίλαν. ἤτοι τοὺς ἐν αὐτῇ ὄντας θεούς. ἢ σίπυλον τὴν πόλιν ταντάλου.* quasi non legisset *τε*«. Sed *τε* in textu tuentur codd. Thomani omnes et ipsum scholium Thomanum a me ad fidem librorum Thomanorum editum, quod qui immutavit Triclinius sententiam a Thoma vituperatam amplexus *εἰς* etiam ad *ἔρανον* rettulit. — 4. 5 Verba *ἀγνοοῦντες τινές* (sic codd.) usque ad *τό τε ἀργόν* ex *Γ Δ* addidi; eorum loco hæc habent codd. mixti et edd. (cf. p. 72, 20): *Εὐνομάτατον*] *δικαιότατον. ἐπεὶ ἀντίδοσις ἦν ὧν ὑπὸ θεῶν ἀγαθῶν ἔπασχεν· ἢ τοῦτο λέγει διὰ τὸ τοὺς θεοὺς ἑστιάτορας εἶναι*, in quibus *δικαιώτατον* et *ἀντίδωσις*, tum ante corr. *ὧν ἔπασχιν ὑπὸ θ. ἀγ.* est in *μ'*, *ἐπειδὴ* habent *ι'' ξ'* (recte), *θεοῦ* est in *ι''*, *ἔπαθεν* in edd. — Ceterum scholio crux Moschopulea et *σύνταξις* adscripta est in *μ'*, rectius *μαγίστρου* (et infra *σύνταξις*) in margine ad v. 6 adscriptum est in *φ'*. — 5 *καὶ ἐν τῷ* scripsi pro *καὶ τό*. — 5. 6 *τὸ δέ ἐστι τ. Γ Δ*, *τὸ δὲ π. ἔχει* (*ἔχειν μ'*) *οὕτως* cett. — *οὕτως· ὦ υἱὲ τοῦ Ταντάλου, Πέλοψ. εἶτα προκατάστασιν ἐπάγει τοῦ λόγου· ἀντία δὲ καὶ ἐναντίως τῶν προτέρων ἱστορικῶν καὶ ποιητῶν φθέγξομαι* codd. mixti et edd., nisi quod *τοῦ* omm. *ξ ι''*, *προκαταστιν* est in *ι''*, *λόγου* et *τῶν* om. *ι''*, *ἱστοριῶν* est in *ξ'*, *ποιητής* in *μ'*. — 7 *καὶ εἴπω*] *τότι φθέγξομαι ι''*, *καὶ εἴπω τότι φθέγξομαι μ'*, *καὶ εἴπω τὸ φθέγξομαι* Vrat. *φ'*, om. *z*. — Hoc *τότε* ex *Γ Δ* addidi. — *ἁρπάξαι Δ*. — *σὲ Γ Δ*. — 8 Hæc inde ab *ἀνὰ* om. *z*. — *χρυσέοις ξ*.

τρωθέντα τὰς φρένας ἐν ἱμέρῳ καὶ τῇ σῇ ἐπιθυμίᾳ, ὥστε μεταβᾶσαι καὶ μετενεγκεῖν εἰς τὸ ὕπατον καὶ ὑπερεξοχώτατον δῶμα τοῦ εὐρυτίμου Διός· τότε ἁρπάσαι, ὅτε ἐκάλεσε καὶ συνήγαγεν ὁ σὸς πατὴρ Τάνταλος τὸν εὐνομώτατον ἔρανον, ἤτοι τὴν δικαιοτάτην συναγωγὴν τῶν θεῶν καὶ τὴν φίλην καὶ προσφιλῆ αὐτῷ, τῷ Ταντάλῳ, Σίπυλον, ἤτοι τοὺς ἐν αὐτῇ ὄντας θεούς, παρέχων τοῖς θεοῖς δεῖπνα ἀμοιβαῖα καὶ ἀντίδοτα. μὴ ξενίζου δέ, εἰ λέγεις ἐκάλεσε καὶ τὴν φίλην Σίπυλον· ὥσπερ γάρ φαμεν· κέκληκα τοὺς ἐμοὺς φίλους καὶ πᾶσαν τὴν πόλιν, ἤτοι τοὺς ἐν αὐτῇ ὄντας πολίτας, οὕτω καὶ τοῦτο.

M. Ἔρανος] τὸ εἰσφερόμενον ὑφ' ἑκάστου τῶν φίλων εἰς κοινὴν ἀπόλαυσιν.

Tr. Σίπυλον] οἱ μὲν πόλεως ὄνομα ἔφασαν, οἱ δὲ ὄρος περὶ τὴν Λυδίαν.

gl. 62. * *τὴν συναγωγὴν τῶν θεῶν.* — *ὄρος τὸ λεγόμενον Κουζινᾶς, ἔνθα ἡ Νιόβη λελάξευται.* — 63. *ἀντίδοτα·* — † *κατὰ ἀμοιβὴν καὶ ἀντίδοσιν γενόμενα.* — *διδούς.* — 64. *τὸν λαμπρὰν τρίαιναν ἔχοντα, τὸν Ποσειδῶνα.* — 65. *τρωθέντα.* — * *τάς.* —

---

1 *ἐν* omn. edd. — 1. 2 *μεταβέσαι μ' φ'*, *μεταβιβᾶσαι Δ*, *μεταβιβάσαι* edd. — 2 *εἰς Γ Δ*, *πρὸς* cett. — *τὸ* post *τὸ ὕπατον καὶ* add. *μ' φ'* edd. — *ἐξοχώτατον* codd. et edd. præter *Γ* (hic *ὑπερεξοχώτερον* habet) *Δ*. — 2. 3 *δῶμα τοῦ εὐρυτίμου Διός Γ Δ ι'' ξ'*, *δῶμα τοῦ Διὸς τοῦ εὐρυτίμου* cett. codd. et edd. — 3 *τότε ἁρπάσαι* ex *Γ Δ* addidi. — 4 *Τάνταλος τοὺς θεοὺς δηλονότι εἰς τὸν εὐνομώτατον καὶ δικαιότατον ἔρανον καὶ εἰς τὴν φ. καὶ πρ. αὐτῷ τῷ Ταντ. Σίπυλον· ἤτοι τὸ ὄρος ἐν ᾧ κατῴκει* omissis ceteris omnibus usque ad finem scholii codices mixti et edd. — 5. 6 *πρ. ἐκ τοῦ τῷ ταντάλου Γ.* — 7 *ξενίζον Γ.* — 8 *γάρ φαμεν Γ Δ.* — V. 11—14 Vrat. *ι' μ' ξ' φ'* post verba *τὴν αὐτὴν τῇ τοῦ Ποσειδῶνος* (p. 78, 2) exhibent (in *z* hæc lacuna hausta sunt). — 11 Voci *Ἔρανος* crux Moschopulea præfixa est in *μ' φ'* et ed. Bœckh. E libris Moschopuleis *q* hoc scholium eodem quo ceteri codices loco, *a* inter glossas exhibet. — *ἐφ' ἑκάστου* est in *ξ'*. — 12 † *Σίπυλον* est in *μ' φ'*.

τῇ σῇ ἐπιθυμίᾳ. — 66. ἤγουν ἐν τῷ χρυσοῦς ἵππους ἔχοντι αὐτοῦ ἅρματι. — 67. ὑπέρτατον. — τοῦ μεγίστως τιμωμένου παρὰ πάντων· — * γρ. ἐριτίμου. — 68. πρός. — μετενέγκαι. — 69. ὅπου. — * σοῦ· — † ὑστέρῳ· πρότερος γὰρ Γανυμήδης Πέλοπος. τὸ δὲ ἔνθα καθ' ὑπέρβατον πρὸς τὸ ἦλθεν. — 70. ὃν ἀετὸς ὁ Ζεὺς γεγονὼς ἐκ Φρυγίας ἥρπασεν.

71. *Germ.* Ζηνὶ τωὔτ' ἐπὶ χρέος] ἐπὶ τοιοῦτο, ἤγουν ἐπὶ τοιαύτην χρείαν, οἷον διὰ τὴν αὐτὴν χρείαν καὶ ἐπιθυμίαν. τὸ δὲ ῡ ἀνεκφώνητον μετὰ τοῦ ω̄ μεγάλου.

gl. 71. ἐπὶ τὸ αὐτὸ χρέος· ἐπὶ συνουσίαν γὰρ καὶ αὐτὸς ὑπὸ τοῦ Διὸς ἡρπάγη τρωθέντος τῷ αὐτοῦ ἔρωτι. — 72. * † ἀφανής. — * † ὑπῆρχες. — 73. * τῇ Εὐρυανάσσῃ· — † τῇ Εὐρυανάσσῃ τοὔνομα. — κατὰ πολύ. — 75. ἐψιθύρισε. — κρυφίως· — † κρυφίως· Δωρικῶς περισπᾶται. — 76. * * τῶν φθονούντων τὰ τοῦ πλησίου καλά. — 77. * * καί. — 78 * † βράζουσαν. — σφοδρότητα. — 79. κατέκοψαν οἱ θεοί.

80. *Germ.* Δεύτατά τε καὶ ὑστέρως· ἢ τὰ ἔσχατα καὶ τὰ τελευταῖα μέρη τῶν κρεῶν, χεῖρας δηλονότι, πόδας καὶ κεφαλήν· ἢ τὰ βεβρεγμένα καὶ τὰ βεβαμμένα τῷ αἵματι, ἀπὸ τοῦ δεύω τὸ βρέχω.

M. Ἀμφὶ δεύτατα] ἀπὸ τῆς πρὸ προθέσεως γίνεται συγκριτικὸν μὲν πρότερον, ὑπερθετικὸν δὲ πρῶτον. λέγεται γὰρ τὸ μὲν πρότερον, ὅταν ἓν μόνον ἐπάγηται ἢ πολλὰ ἐν μιᾷ

---

7 *Ζηνί· καὶ τὸ, τωὔτ'* *U* et Mommsen. — **9** *δὲ* scripsi pro *γάρ*. — **13** In *a* et codd. mixtis ad *ἔννεπε* glossa *ἀντὶ τοῦ εἶπε* legitur. — **14** Glossa *δωρικῶς περισπᾶται* etiam in *a* extat. — **17** Ante *δεύτατα τέ* (sic *U*) delevi *ἤ*. — **21** In *q* huic scholio (quod etiam in Syll. legitur), scholium ad v. 82 (*ἐμοὶ δ' ἄπορα — βλασφημοῦντες εἰς τοὺς θεούς*) præmittitur. — *ἀμφὶ δ. ab, σύνταξις κ. ἤγουν εἰς μικρότατα* Vrat., *ἀμφιδεύτατα* ceti. — **22. 23** *ὑπερθετικὸν — πρότερον* om. *q*. — **23** *ἐπάγεται a*.

τάξει ἢ ἐν ἑνὶ χρόνῳ. οἷον πρότερος ὅδε τοῦδε καὶ πρότερος ὁ δεῖνα ἡμῶν ἢ τῷ χρόνῳ ἢ τῇ τάξει, ἡμῶν δηλονότι ἐν ἑνὶ χρόνῳ ἢ μιᾷ τάξει ὄντων. τὸ δὲ πρῶτον, ὅταν πολλὰ ᾖ ἐπαγόμενα, ἄλλο ἄλλου πρότερον ἐφεξῆς ἢ κρεῖττον. ἀκολουθεῖ δὴ πρὸς μὲν τὸ πρότερον τὸ δεύτερον μόνον, ἢ πληθυντικῶς τὰ δεύτερα, κατὰ τὸν εἰρημένον λόγον· πρὸς δὲ τὸ πρῶτον δεύτερον, τρίτον καὶ ἑξῆς. ἀπὸ δὲ τῆς ὑπὸ προθέσεως γίνεται συγκριτικὸν μὲν ὕστερον, ὑπερθετικὸν δὲ ὕστατον, ὧν τὸ μὲν ἀπαντᾷ πρὸς τὸ πρότερον, τὸ δὲ ὕστατον πρὸς τὸ πρῶτον, ὅταν ἐπὶ χρόνου ταῦτα λαμβάνηται. ἐπὶ γὰρ τάξεως τὸ ἔσχατον ἀπαντᾷ καὶ τὸ δεύτερον, ὃ καὶ ἐπὶ χρόνου λαμβάνεται καὶ ἐπὶ τάξεως. ἔστι δὲ δύο ἐξ ἀνάγκης ὑπερθετικὰ χρονικά, τὸ πρῶτον καὶ τὸ ὕστατον, τὸ μὲν ἐπὶ τῆς ἀρχῆς, τὸ δὲ ἐπὶ τοῦ τέλους, καὶ δύο ὁμοίως τάξεως, τὸ πρῶτον καὶ τὸ ἔσχατον. τῶν δὲ μέσων τούτων μόνον τὸ δεύτερον συγκριτικῶς ἐξ ἀνάγκης προφέρεται. ἐπὶ δὲ τῶν ἄλλων ἁπάντων οὐδεμίαν ἔχει χώραν οὔτε τὸ συγκριτικὸν οὔτε τὸ ὑπερθετικόν. ὁ δὲ Πίνδαρος καὶ ὑπερθετικὸν ἀπὸ τοῦ δευτέρου σχηματίζει, τὸ δεύτατον· θέλει δὴ τοῦτο σημαίνειν ταὐτὸν τῷ ὕστατον. ὁ δὲ ἐπὶ σμικρότητος τοῦτο τίθησι. διεδάσαντο γάρ, φησίν, ἀμφὶ δεύτατα, ἤγουν εἰς μικρότατα. τὸ δὲ τρίτατος παρὰ

2 δηλ. ἢ ἐν μ'. — 2. 3 ἐν μ. τ. ἢ ἐν ἑνὶ χρ. Syll. — 4 ἄλλο ἄλλου ι' et Syll., ἄλλα ἄλλου b, ἄλλο ἄλλα ξ', ἄλλο omm. aq, ἄλλου ἄλλο cett. — δὴ pro δὲ ex a q ι' Syll. est. — 6 κατὰ om. q. — 7 καὶ τὰ ἑξῆς z. — 9 ταῦτα om. a. — 10 λαμβάνεται a. — 10. 11 τὸ ἔσχατον — τάξεως om. z. — 11 δὲ om. z. — 12 ἐξανάγκης aq. — 13 τοῦ ex a b z ι' addidi. — 14 τὸ δὲ μέσον (μέσον etiam Syll.) τούτων ξ', τὸ δὲ μέσων τούτων b. — 14. 15 τὸ δεύτερον om. ξ'. — 15 ἐξανάγκης a q ξ'. — ἐξαν. συγκριτ. ξ'. — 16 οὐδὲ μίαν q μ' φ'. — 18 δὴ pro δὲ ex a q z ι' μ' est. — ταὐτὸν] ταῦτο a, τὸ αὐτὸ b, ταυτὸ ι' ξ'. — 18. 19 τὸ ὕστατον z ξ'. — 19 μικρότητος a. — 19. 20 γάρ φησιν ι' φ'. — 20 ἀμφιδεύτατα b q Vrat. ι' μ' φ' et edd. ante Heynium, qui ex Beckii sententia (»necessario scribendum: φησίν, ἀμφὶ δεύτατα«) correxit. — εἰς om. q. — σμικρότατα μ'.

ποιηταῖς οὐχ ὑπερθετικῶς οὕτω σχηματίζεται, ἀλλ' ὡς τὸ ὀγδόατος παρ' αὐτοῖς καὶ ἑβδόματος· ἃ κατ' ἀκολουθίαν λέγεται τοῦ τέταρτος καὶ δέκατος καὶ πεντεκαιδέκατος καὶ τῶν ὁμοίων.

gl. 80. *τὰ περιβεβρεγμένα τῷ ἐντὸς τοῦ λέβητος ὕδατι ζέοντι, ἐν ᾧ ἥψοντο.* — 81. *διεμέρισαν πρὸς ἀλλήλους·* — * * *σοῦ.*

58—81. M. *Υἱὲ Ταντάλου] ὦ Πέλοψ, υἱὲ τοῦ Ταντάλου, τὰ περὶ σοῦ δὲ ἐγὼ ἐναντίως τῶν προτέρων ἐρῶ ποιητῶν, ὁπότε* (60) *ἐκάλεσεν ὁ σὸς πατὴρ τοὺς θεοὺς εἰς τὴν προσφιλῆ αὐτοῖς Σίπυλον, δι' αὐτὸν καὶ τὸν εὐσεβέστατον ἔρανον, ἤγουν τὴν ἀμοιβαίαν δεξίωσιν, λέγω δεῖπνα διδοὺς αὐτοῖς ἀμοιβὴν ἔχοντα τῶν δείπνων, ὧν αὐτοὶ ἔδωκαν αὐτῷ· τότε* (64) *λέγω ἁρπάσαι σε τὸν Ποσειδῶνα, τὸν τῇ λαμπρᾷ τριαίνῃ χρώμενον, μαλαχθέντα τὸν λογισμὸν ὑπὸ ἔρωτος, ἐπὶ ἵππων χρυσῶν, ἀντὶ τοῦ ἐν ἅρματι χρυσῷ, ὥστε μεταβιβάσαι πρὸς τὸ ἔξοχον οἴκημα τοῦ Διὸς τοῦ πάνυ τιμίου· ὑστέρῳ χρόνῳ ἔνθα ἀπῆλθεν* (70)

---

1 *ἀλλ'* om. ξ'. — *ἄλλως τ' ὀγδ.* z. — 2. 3 *ἃ — δέκ.* om. z. — 2 *κατ' ἀκολ.* aq, *κατὰ ἀκολ.* cett. (etiam Syll.). — 3 *πενταχαιδέκατος* Vrat., *πενταχαιχαιδέκατος* φ'. — 7 Paraphrasis Moschopulea versuum 58—81 in codd. ante scholium ad *ἀμφὶ δεύτατα* positum est. Præterea in Vrat. ι' μ' ξ' φ' duo illa scholia ad *ἔρανος* et *Σίπυλον* (v. 61) medio scholio post *τὴν αὐτὴν τῇ τοῦ Ποσειδῶνος* (v. 78, 2) inserta leguntur. — *σύνταξις* lemmati præmissum est in μ' φ'. — *τοῦ* ex aq Vrat. ξ' φ' addidi. — 9 *τοὺς θεούς* om. q. — 10 *αὐτοῖς* abq Vrat. ι' μ' ξ' φ' pro *αὐτῷ*. — *σύπυλον* a. — *τὸν προσφιλέστατον* Vrat. μ' ξ' φ'. — 11 *ἀμοιβαῖαν* q. — *τὰ δεῖπνα* Vrat. μ' φ'. — 12 *ἔδωκαν* abq pro *δεδώκασιν*. — 13 *ἁρπᾶσαι* q. — *τὸν Ποσειδῶνα* om. q. — 14 *τὸν λογισμὸν* μ'. — *ὑπὸ τοῦ ἔρωτος* q. — 15 *ἐν* ex ab Vrat. ι' μ' ξ' φ' addidi. — *μεταβιβᾶσαι* μ'. — 16 *τοῦ* ante *Διὸς* om. ξ'. — *διὸς τὸ πάνυ* μ'. — *Δευτέρῳ χρόνῳ* edd. inde a Beckio, in quibus hæc verba sicut *ὑστέρῳ χρόνῳ* in edd. antt. lemmatis vice funguntur. — *ἦλθεν* Vrat. ι' μ' ξ'.

ἀντὶ τοῦ ἀπηνέχθη καὶ ὁ Γανυμήδης, πρότερον δηλονότι, ἐπὶ χρείαν τοῦ Διὸς τὴν αὐτὴν τῇ τοῦ Ποσειδῶνος. ἐπεὶ δὲ ἀφανὴς ὑπῆρχες οὐδὲ πρὸς τὴν μητέρα τὴν σὴν ἤγαγόν σε οἱ πεμφθέντες ὑπ' αὐτῆς ἄνδρες ἐπὶ τὴν ζήτησιν, πολλὰ μαιόμενοι, ἤγουν ζητοῦντες, εἰπέ τις (75) αὐτίκα ἀπὸ τῶν φθονερῶν γειτόνων κρυφίως, ὅτι τε ἐπὶ τὴν ἀκμὴν τοῦ ὕδατος τὴν ζέουσαν ὑπὸ πυρός, μαχαίρᾳ ταμόντες σε κατὰ μέλη οἱ περὶ τὸν Τάνταλον ἐμβεβλήκασι καὶ ἐν τῇ τραπέζῃ οἱ θεοὶ διεμερίσαντο εἰς μικρότατα καὶ ἔφαγον ἀπὸ τῶν κρεῶν τῶν σῶν.

gl. 82. *ἀμήχανον, ἀβούλητον. — * φάγον. — 83. ** τῶν θεῶν. — 84. τοῦ τοιαῦτα λέγειν. — ** οὐδεμία ὠφέλεια, ἀλλὰ μᾶλλον βλάβη. — ἔλαχεν, ἐκληρώσατο.*

85. *Th. Κακηγόρος] ἀντὶ τοῦ κακηγόρους ἐκβολῇ τοῦ ῡ Δωρικῶς ὡς τὸ ἐπιτηδές* (Hom. Il. A 141).

Tr. Κακηγόρως] Δωρικὴ ἡ ἀνάγνωσις· ἀεὶ γὰρ ἡ αἰτιατικη παρ' αὐτοῖς διὰ τοῦ ω̄ μεγάλου ἐκφέρεται· τὼς λύκως γὰρ ὁ Θεόκριτος λέγει (IV. 11). *οὐ χρὴ τοίνυν μικρὸν γράφειν τὸ ρος, ὥς τισιν ἔδοξε· μακρὰ γὰρ ἡ τοιαύτη συλλαβὴ ὀφείλει εἶναι.*

---

1 *γαννυμ.* q. — 2 *τὴν* pro *τῇ* est in ι''. — Ante vocem *ἐπεὶ* lemma *ὡς δ' ἄφαντος ἔπελες* est in codd. et edd. exceptis *a b q z ξ'*, *σύνταξις* præcedit in *z μ' φ'*. — 3 *τὴν σὴν* om. ξ'. — 4 *ὑπ'* om. μ'. — *σὴν* om. Vrat. — 5 *ὑπερζητοῦντες* μ'. — 6 *τε* om. Vrat. — 6. 7 *ὑπὸ πυρὸς* ex *a b q z* est pro *ὑπὲρ τοῦ πυρός*, — eadem varietas lectionis est in glossis. — 7 *σε* om. ι''. — 8 *τρ. δὲ οἱ θ. μερίσαντο* z. — 9 *τῶν* ante *σῶν* om. ι''. — 13 Scholium Thomanum ad v. 85 ex *Γ* (qui inter glossas exhibet *κατηγόρος ἤγουν κατηγόρους* etc.) et *Δ* edidi. — 15 Scholia Tricliniana de voce *κακηγόρως* tantum in Vrat. ι'' μ' ξ' φ' et in edd. servata sunt; — priori scholio crux præfixa est in ι'' μ' φ'. — *κακηγόρος* (ω superscr.) (corr. miniator) μ'. — 17 *λέγει* (*γράφει* est in ξ') omm. edd. — Apud Theocritum IV 11 *τὼς λύκος* legitur. — 18 *ρῶς* μ' φ et edd. ante Beckium. — *ἡ*] *οἱ* φ'. — 18. 19 *ὀφείλει εἶναι συλλαβὴ* ι'.

Tr. *Κακηγόρως]* τοῦτο λέγει ὅτι ὁ κακηγορῶν οὐδὲν ἄλλο κερδαίνει πλὴν τοῦ κακὸς εἶναι.

gl. 85. * συχνή· ἤγουν ὁ κατηγορῶν οὐδὲν ἄλλο κερδαίνει πλὴν τὸ κακὸς εἶναι. — ** συχνῶς. — ** ἤτοι τοὺς κατηγοροῦντας εἰς τοὺς θεούς. — 86. οἱ ἐπιτηρηταὶ θεοί.

87. Th. Τὸ οὗτος ἢ πρὸς τὸ Τάνταλος νόει ἢ πρὸς τὸ τιμηθέντα παρὰ θεῶν οὕτως· εἰ δέ τινα τῶν ἀνθρώπων οἱ θεοὶ ἐτίμησαν, οὐκ ἄλλος ἦν ὁ τιμηθεὶς ἢ ὁ Τάνταλος οὗτος. ἢ οὕτως· εἰ δέ τινα τῶν ἀνθρώπων οἱ θεοὶ ἐτίμησαν, ὁ Τάνταλος ἦν οὗτος, ἤτοι ὁ τιμηθείς.

---

1 Hoc scholium in μ' a miniatore additum est. — ἀκηγόρως Vrat. — κατηγορῶν Vrat. μ' ξ' φ' (non ι'') cum glossa Thomana. — 2 κερδαίνει ι'' ξ' cum glossa Thomana, κερδίζει cett. — πλ. τὸ ι'' cum glossa Thomana. — 6 πρὸς τὸν μ'. — τάνταλον Vrat. ι'' μ' φ'. — 7 τιμηθέντα ex Γ Δ Vrat. ι'' μ' est pro τιμηθέντι, sed fortasse τιμηθῆναι scribendum est. Confer etiam Beckium: »Vulgo ἢ πρὸς τὸ Τάνταλον. Debebat aut τὸν Τάνταλον esse aut ita ut emendavi [ἢ πρὸς τὸ Τάνταλος]. Sed omnino locus a Grammatico vel primo editore negligentius scriptus; nam nec τιμηθέντι esse debuit.» — 8 ἢ οὕτως de meo addidi. — 9. 10 εἰ — τιμηθείς omm. Γ et edd., εἰ — οὗτος omm. cett. codd. præter Δ. — 9 τῶν ego addidi. — 10 ἤγουν ι''. — In codd. mixtis et edd. in calce scholii glossa Thomana ad v. 87 hoc modo in textum recepta est: ἀλλὰ γὰρ καταπέψαι (καταπέμψαι μ' ξ') ἤγουν κατασχεῖν· οἱ γὰρ πέττοντες (πέπτοντες edd. inde ab Oxx.) τὴν τροφὴν καὶ οὐκ ἐμοῦντες (ἐμῶντες Vrat., ἐμόντες edd. ante Oxx.) κατέχουσι ταύτην ἐντός. ὄλβον (ὄλβος ι'') δὲ λέγει τὴν παρὰ (περὶ ξ') τῶν θεῶν (τὴν διδ. π. τ. θεῶν ι'') διδομένην (sic ι'' pro διδομένην) αὐτῷ (αὐτῷ διδομ. ξ') τιμήν. — In *b* libri margine hæc adscripsit glossator: ἀπὸ μεταφορᾶς τῶν σιτίων τῶν ἐν τῷ στομάχῳ, ἃ πεφθέντα καὶ χωνευθέντα μὲν ὠφελοῦσι τοὺς φαγόντας, ἀχώνευτα δὲ μείναντα βλάβην κατεργάζονται τῷ στομάχῳ. συμβαίνει δὲ τοῦτο ἐκ τῆς γαστριμαργίας καὶ πολυφαγίας.

Germ. Καταπέψαι ἀντὶ τοῦ παρακατασχεῖν, καταχωνεῦσαι. τῇ γὰρ πέψει δύο τινὰ παρέπεται, ἡ κρύψις καὶ ἡ κατάσχεσις. μέγαν δὲ ὄλβον τὴν εὐδαιμονίαν καὶ τὴν τιμήν.

gl. 87. ** ὁ Τάνταλος ἦν οὗτος ὁ τιμηθείς. — κατασχεῖν· * οἱ γὰρ πέττοντες τὴν τροφὴν καὶ οὐκ ἐμοῦντες κατέχουσι ταύτην ἐντός. — 88. ὄλβον δὲ λέγει τὴν παρὰ τῶν θεῶν δεδομένην αὐτῷ τιμήν.

89. *Germ.* Ὥσπερ ὁ κόρῳ ἐσθίων δέεται ὑγιοῦς στομάχου, οὕτω καὶ ὁ κόρῳ τὴν εὐδαιμονίαν λαβὼν δέεται νοὸς ἀνδρείου.

gl. 89. πλησμονῇ τῆς τιμῆς.

90. *M.* Ἄταν ὑπέροπλον]· ὑπέροπλός ἐστιν ἰσχὺς ἡ νικῶσα τὰ ὅπλα, ἤγουν πρὸς ἣν οὐ δύναται ἀντισχεῖν τὰ ὅπλα. ἐνταῦθα δὲ ὑπέροπλον λέγει βλάβην μεταφορικῶς τὴν ὑπερβολικὴν καὶ ἀμήχανον.

gl. 90. βλάβην. — μεγάλην.

91. *Th.* Ἐπειδὴ ὁ λίθος ἦν ἡ ἄτη, διὰ τοῦτο τὰν εἰπὼν ἐπήγαγε τὸ λίθος. ἄλλοι δὲ ἄλλως περὶ τῆς Ταντάλου κολάσεώς φασιν. οἱ μὲν γὰρ ἐπικεῖσθαι αὐτῷ τὸ Σίπυλον· Ζεὺς γὰρ ἀποστείλας Ἑρμῆν πρὸς αὐτόν, ἵνα τὸν κύνα λάβῃ, ὃν Πανδάρεως ὁ Μιλήσιος φύλακα καταστάντα τοῦ ἱεροῦ τῆς Κρήτης παρὰ

---

1 ἢ καταπέψαι (καταπέμψαι ante corr.) etc. *U*, quod mutavi. — **12** ἄταν ξ'. — **13** Verba ἤγουν — ὅπλα omn. edd. — προ (sic) *q*. — δύνανται *b* ξ. — **14** βλάβην] μάχην *q*. — **17. 18** Ἐπειδὴ — τὸ λίθος, quæ verba codd. mixti inter glossas exhibent, ex *ΓΔ* addidi. — **17** διατοῦτο *ΓΔ*. — **18** τὸ λίθον *Δ*. — Ante ἄλλοι edd. in textu, Vrat. in marg. ἱστορία, φ' in textu, ι'' μ' in marg. ἱστορία περὶ τῆς τοῦ ταντάλου κολάσεως exhibent. — δὲ ex *ΓΔ* addidi. — Post τῆς delevi τοῦ cum *ΓΔ* ι''. — **19** οἱ μὲν γὰρ ὑποκεῖσθαι αὐτόν φασι Σιπύλῳ τῷ Λυδίας ὄρει Bœckhii editio, fort. ex scholio vet. — λέγουσι(ν) post Σίπυλον add. Vrat. ι'' μ' ξ' φ'. — **20** ἑρμὴν ξ. — πανδάριος *Γ*. — **21** καταστάντος *Γ*, καταστήσαντα *Δ*. — περὶ μ' φ'.

Διὸς κεκλοφὼς ἤγαγεν αὐτῷ ἵνα φυλάσσῃ· ἐλθόντος οὖν Ἑρμοῦ πρὸς αὐτὸν καὶ μὴ λαβόντος τὸν κύνα· ἔφασκε γὰρ μὴ ἔχειν· ὀργισθεὶς ὁ Ζεὺς ἐπέθηκεν αὐτῷ τὸ Σίπυλον. οἱ δὲ λέγουσι, διὰ τὸ ἐξειπεῖν αὐτὸν τὰ τῶν θεῶν μυστήρια τοῖς ἀνθρώποις ἐν ᾅδου κολάζεσθαι, μέσον ἑστῶτα λίμνης μέχρι τοῦ πώγωνος· ἧς ὁπότε πιεῖν ἤθελε, τὸ ὕδωρ ἐξίστατο. μαρτυρεῖ δὲ καὶ Ὅμηρος λέγων (Od. λ 582)·

Ἑσταῶτ' ἐν λίμνῃ· ἡ δὲ προσέπλαζε γενείῳ·
Στάτο δὲ διψάων, πιεῖν δ' οὐκ εἶχεν ἑλέσθαι.

ἑστὼς δὲ ἐν τῇ λίμνῃ καὶ λίθον ὑπὲρ κεφαλῆς εἶχεν αἰωρούμενον. Εὐριπίδης δὲ λέγει (Orest. 2) μέσον ἀέρος αὐτὸν τὸν Τάνταλον ἀοράτως κρέμασθαι καὶ λίθον ὑπὲρ τῆς αὐτοῦ κεφαλῆς αἰωρεῖσθαι. ἀσφαλέστερος δὲ πάντων Ὅμηρος. καὶ μαρτυρεῖ ἡ παροιμία· Ταντάλου δίψα. δέον δὲ εἰπεῖν τοῦτο, λέγω δὴ τὸ τὸν ὑπὲρ κεφαλῆς λίθον πειρᾶσθαι φυγεῖν καὶ μὴ δύνασθαι· ὁ δὲ τοῦτον εἶπε, πρὸς τὸ βίον. τὸ δὲ ἐμπεδόμοχθον ἢ πρὸς τὸ βίον συναπτέον ἢ πρὸς τὸ πόνον. φασὶ δὲ ἕτεροι τὸ μετὰ

---

1 αὐτὸν ἵνα ξ'. — 3 προσέθηκεν ξ'. — 4 αὐτὸν om. Γ. — τῶν θεῶν Γ Α ι'' ξ, θεῖα cett. — 5 ἑστῶτα Vrat. ξ'. — τοῦ om. Γ. — 6 ποιεῖν Α ξ'. — 8 ἑσταῶτ' Γ Α μ' φ', ἑσταῶτ' Vrat., ἑσταότα ι'', ἑστῶτ' ξ, ἑσταότ' cett. — ἐς Vrat. — ἠδὲ Vrat. μ' edd. ante Oxx., εἰ δὲ φ'. — προσέπλαξε Α, προσέπλασε ξ', προσεπέλασε edd. ante Oxx. — 9 στάτο Γ Α, στᾶτο ι'' ξ' φ', στεῦτο cett. — ποιεῖν Α, πιεῖν Γ Vrat. μ' ξ' φ' et edd. ante Beckium, πιέειν cett. — 10 ἑστὼς ξ'. — 11 εὐρυπί (sic in fine versus) ι'', εὐρυπίδης φ'. — 12 κρεμᾶσθαι μ'. — λίθον εἰς τὴν αὐτοῦ κεφαλὴν Γ; — ἑαυτοῦ pro αὐτοῦ Α Vrat. ι'' μ' ξ' φ'. — 13 ἀσφαλέστερον ι''. — κἀὶ μαρτ. καὶ ἡ μ' φ'. — ἡ om. ι''. — 14 εἰπεῖν· ἔχει δὲ τοῦτο βίον ἀπάλαμον (ἀπάλαμνον post corr. μ'), λέγω δὴ codd. et edd. praeter Γ Α. — λέγει Α. — 14. 15 τὸ τὸν ὑπὲρ Γ Α ι'' ξ', τὸ ὑπὲρ τὸν μ' φ', τὸν omm. cett. — 16 πρὸς τὸ βίον Α ξ', πρὸς τὸν βίον cett. — ἐμπεδομόχθον Α. — 17 τὸν βίον μ' φ'. — τὸν πόνον μ'. — Ante φασὶ δὲ codd. mixti et edd. Μετὰ τριῶν]

τριῶν, ἀντὶ τοῦ μετὰ Ἰξίονος, Σισύφου καὶ Τιτυοῦ. καὶ οὗτοι γὰρ ἐν ᾅδου κολάζονται, Ἰξίων μὲν ἐν τροχῷ περιφερόμενος διὰ τὸ ἐρασθῆναι τῆς Ἥρας καὶ πρὸς νεφέλην παρεικασθείσῃ προσδραμεῖν καὶ μιγῆναι, ὅθεν καὶ Ἱπποκένταυρος γέγονε· Σίσυφος δὲ πέτρον μέγιστον εἰς ἀνάντη τόπον βίᾳ κομίζων καὶ ὁπότε εἰς ἄκρον ἔλθῃ τοῦ τόπου, ἀπολισθαίνοντα τὸν λίθον αὖθις ἀνάγων, καὶ τοῦτο πάσχων διὰ τὴν ἀπάτην, ἣν ἠπάτησε Πλούτωνα· ὁπότε γὰρ τέθνηκε, παρήγγειλε τῇ γυναικὶ μὴ θάψαι αὐτόν· τῆς δὲ οὕτω πεποιηκυίας κατελθὼν αὐτὸς κατηγόρει πρὸς Πλούτωνα ὡς ἀμελησάσης αὐτοῦ καὶ αὐτὸν αἰτήσας ἀνελθεῖν καὶ κολάσαι αὐτήν, ἐπεὶ ἀνῆλθε, μὴ βουλόμενος αὖθις εἰς ᾅδου παραγενέσθαι, ὑφ' Ἑρμοῦ καταχθεὶς ἄκων οὕτω κεκόλασται· Τιτυοῦ δὲ ὡς κατὰ θεῶν μανέντος ὄφεις τὰ σπλάγχνα αὐτοῦ ὑπτίου κειμένου κατεσθίουσιν ἀνακαινιζόμενα ἀεὶ κατὰ τὸ Προμηθέως ἧπαρ.

τοῦ (τοῦ om. *ι') πεινῆν, διψῆν (τοῦ διψῆν μ' ξ' φ'), ἱστάναι (ἱστᾶναι μ', τοῦ ἑστάναι ξ', τοῦ ἱστάναι φ')* inserunt; præterea *ἱστορία περὶ ἰξίονος (ἰξίωνος ξ'), σισύφου καὶ τιτυοῦ* præmittunt *φ'* in textu, *μ' ξ'* in margine. — *φασὶ δὲ καὶ ἑτέρως* codd. et edd. exceptis *ΓΔ* Vrat. *ι' ξ' φ'* et *μ'*, qui tamen *καὶ* habere videtur.

1 *ἀντὶ τοῦ* e codd. est pro *ἤγουν*. — *μετὰ τοῦ ἰξίωνος Γ*. — *καὶ* ante *Τιτυοῦ* om. *ι'*. — **3** *παροικασθείσῃ* Vrat., *παρεικαθίσῃ ξ'*, *παρεικασθεῖσαν* edd. — **4** *ὁ* ante *Ἱπποκ.* delevi cum *ΓΔι'*. — *ὑποκένταυρος Γ*. — **5** *ἀνάντυ Δ*. — **6** *ἔλθῃ ΓΔι' ξ'*, *ἔλθῃ* (superscr. *οι*) *μ'*, *ἔλθοι* cett. codd. et edd. — **8** *τὸν Πλούτωνα* codd. mixti et edd. — *γὰρ θνήσκειν ἔμελλε (ἔμελλεν μ' φ') παρ.* codd. mixti et edd. — *θᾶψαι ξ'*. — **9** *δὲ μὴ οὕτω μ' φ'*. — **10** *καὶ* ex codd. addidi. — *αἰτῆσαι Δ* (?) *μ' φ'* et edd., sed conf. Beckium: «Pro *αἰτῆσαι* debebat esse *ᾔτησε* vel *ᾔτει*, sed variata est Grammatici oratio.» — **11** *κολᾶσαι μ'*. — Post *ἐπεὶ* in *φ' δέ*, in edd. *δ'* additum est. — *καὶ μὴ βουλ. Δ*. — **12** *κατασχεθεὶς ξ'*. — **12. 13** *κεκόλασθαι Δ*. — **13** *τιτυοῦ οὐδὲ ὡς Γ*. — **14** *αὐτοῦ* ex *ΓΔ* accessit.

gl. 91. ** *βλάβην.* — *ἤγουν ὁ Ζεύς.* — *ὑπεράνω.* — 92. * *μέγαν.* — 93. *λίθον.* — * † *προθυμούμενος ὁ Τάνταλος.* — *ἀποῤῥίψαι.*

82—94. M. *Ἐμοὶ δ' ἄπορα] ἀντὶ τοῦ ἄπορον, τουτέστιν ὑπ' οὐδενὸς λογισμοῦ ἐνδεδομένον, εἰπεῖν τινα ἀπὸ τῶν θεῶν μάργον τὴν γαστέρα, ἤγουν μαινόμενον, τουτέστιν ἀκρατῆ τῆς γαστρός. ἀφίσταμαι* (84) *τούτου τοῦ σκοποῦ. βλάβη ἐκληρώσατο κατὰ πολὺ τοὺς κακηγόρους, τουτέστι τοὺς βλασφημοῦντας εἰς τοὺς θεούς, ἤγουν βλάβην κληρονομοῦσιν οἱ βλασφημοῦντες εἰς τοὺς θεούς. ἐὰν δὲ* (85) *ἐτίμησάν τινα ἄνθρωπον θνητὸν οἱ ἔφοροι τοῦ οὐρανοῦ, τουτέστιν οἱ θεοί, ὁ Τάνταλος ἦν οὗτος· ἀλλ' οὐκ ἠδυνήθη καταπέψαι τὴν μεγάλην ταύτην εὐδαιμονίαν, ἀντὶ τοῦ διοικῆσαι ἐπ' ὠφελείᾳ ἑαυτοῦ· ἀπὸ μεταφορᾶς τῶν ἐν τῷ στομάχῳ σιτίων, ἃ πεφθέντα μὲν ὀνίνησι τοὺς μεταλαμβάνοντας αὐτῶν, ἄπεπτα δὲ μείναντα τοῦ στομάχου μὴ δυνηθέντος κατεργάσασθαι αὐτὰ βλάβην οἶδεν ἐπάγειν. ὑπὸ τοῦ κόρου δέ* (89), *ἀντὶ τοῦ τοῦ ὄγκου τῆς τιμῆς ἔλαβε βλάβην ὑπερβολικὴν*

---

4 *δὲ ἄπορα a.* — 6 *τὴν] καὶ ι'.* — *γαστέραι q.* — 6. 7 *ἤγουν* — *γαστρὸς* om. Vrat. — 6 *ἀκρατῆς z, ἀκρατεῖ ξ'.* — 7 *ἀφίστομαι ι'*, novum comma ab hac voce incipiunt *μ' φ'.* — *τοῦδε τοῦ ξ'.* — *γὰρ* post *βλάβη* add. edd. — 8 *κατηγόρους z.* — 9. 10 *ἤγουν* — *θεούς* omm. *z ι' ξ'.* — In Vrat. *ι' μ' ξ' φ'* scholia Tricliniana ad vocem *κακηγόρως* supra a nobis edita hic inseruntur. — Ante *ἐὰν δέ* cum codd. *aq* delevi lemma *εἰ δέ τινα (τιν' ι' ξ') ἄνδρα.* — 12 *ἠδυνήθη* pro *ἐδυνήθη* ex *a b q z ξ'* est. — *καταπέμψαι q ξ'.* — 14 *πεμφθέντα q ξ' φ, πεφθέντα* (μ supra) *μ', πεμφέντα ι'.* — 15 *ἄπεμπτα ξ'.* — *στομ. μὴ δυν. a.* — 16 *κατεργάσασθαι q μ'.* — *εἶδεν ξ'.* — *οἶδεν]* «Hoc est *εἴωθεν.* quod reponi vult Fæhsius Syllog. p. 401. refutatus a Friedemanno de med. syll. pent. p. 330» *Boeckh.* — 17 *ἀντὶ τοῦ τοῦ ὄγκ. ι', ἤγουν τοῦ ὄγκ.* [q] edd., *ἀντὶ τοῦ ὄγκου* cett.; — *ὄκνου* Bœckh edidit ex coniectura. — *τῆς* omm. Vrat. *μ' ξ' φ'.*

ἁμαρτὼν εἰς τοὺς θεούς· δι' ἣν ὁ πατὴρ αὐτοῦ ὁ Ζεὺς ὑπερκρέμασέν οἱ, αὐτῷ, τουτέστι κατ' αὐτοῦ, λίθον ἰσχυρόν, ἀντὶ τοῦ μέγαν· ὃν (93) *ἀεὶ προθυμούμενος ἀπώσασθαι τῆς κεφαλῆς πόῤῥω ἡδονῆς στρέφεται, μὴ δυνάμενος δηλονότι ἀπαλλαγῆναι αὐτοῦ.*

gl. 94. *χαρᾶς.* — *ἐξίσταται καὶ πικρίᾳ σύνεστι.* — 95. *εἰς ὃν οὐκ ἔστι μηχανὴν ἀπαλλαγῆς εὑρεῖν.* — 96. *κεκρατημένον μόχθῳ καὶ λύπῃ.* — 97. * *τοῦ πεινῆν, διψῆν, ἑστάναι.* — 99. *τοῖς ὁμοτρόποις ἀνθρώποις·* — * * *τῷ Σισύφῳ, τῷ Τιτυῷ καὶ τῷ Ἰξίονι.* — 100. * * *πόμα θεῖον.* — * * *τροφὴν θεῶν.* — 101. *τῷ νέκταρι καὶ τῇ ἀμβροσίᾳ·* — † *δι' ὧν, ἤγουν τοῦ νέκταρος καὶ τῆς ἀμβροσίας.* — 102. * *οἱ θεοί·* — † *ἐποίησαν, αὐτὸν δηλονότι.*

104. *Germ.* *Ἁμαρτάνει] ἀντὶ τοῦ ἁμαρτάνει καὶ πράττει κακῶς. ὅταν καὶ γὰρ ἁμαρτάνῃ τις, κυριεύεται ὑπ' ἐκείνου τοῦ πάθους ἡ λογιστικὴ γνῶσις, καὶ ὡς ἄνους ἄτοπα καὶ μωρὰ πράττων ἁμαρτάνει.*

gl. 104. * *πράττων τι κακόν.* — *ἀστοχεῖ, σφάλλει.*

95—104. *M.* *Ἔχει δὲ βίον τοῦτον τὸν ὑπὸ τῷ λίθῳ ἀπάλαμον, ἤγουν ἀμήχανον, πρὸς ὃν οὐκ ἔστι τι μηχανήσασθαι ἐμπεδόμοχθον, τουτέστιν ἰσχυρὰν κάκωσιν ἔχοντα, πόνον*

---

1 *ὁ* om. *ξ'*. — *ὁ Ζεύς* om. *ι''*. — 1. 2 *ὑπερκρέμασιν οἱ a*, *ὑπερκρέμασιν οἵ q*. — 2 *οἱ καὶ αὐτῷ* Vrat. *ι'' μ'*, *ἢ καὶ αὐτῷ ξ'*. — Post v. 5 unius versus spatio vacuo relicto in *a* mediis omissis sequitur *ἀνδραγαθίαις ἐν φροντίδι ὄντας· ἀντιστρόφως ἀντὶ τοῦ* etc. (schol. ad v. 145). — 9 † *τῷ Σισ.* est in codd. de quibus constat. — 14 *ἁμαρτάνων καὶ πράττων U*, correxi. — 15 *γὰρ καὶ* Mommseni ed. — *ἀπ' U*, correxi. — 19 lemma *ἀπάλαμον* omisi cum *q*. — Ceterum † *ἔχει δ' ἀπάλαμον* (*ἀπάλαμον μ'*) est lemma in Vrat. (qui om. crucem) *ι'' μ' ξ'* (qui *σύνταξις* in mg.) *φ'*. — 19. 20 *ἀπάλαμον μ'*. — 20 *πρὸς ὃ a*. — *τις μ' φ'*. — *μηχανίσασθαι ξ'*. — Post *μηχαν.* novum comma incipit in codd. et edd. *μ' ξ'* exceptis.

τέταρτον μετὰ τριῶν ἄλλων, ἤγουν τοῦ πεινῆν, τοῦ διψῆν, του ἑστάναι· διότι (98) *κλέψας τὸ νέκταρ καὶ τὴν ἀμβροσίαν τῶν θεῶν ἡλικιώταις αὐτοῦ καὶ συμπόταις ἔδωκε, δι' ὧν ἀθάνατον αὐτοὶ τοῦτον ἐποίησαν. εἰ δ' ἀνήρ τις* (102) *ἐλπίζει θεὸν λήσειν πράττων τι, ἀποτυγχάνει τοῦ πρέποντος λογισμοῦ.*

gl. 105. *διὰ τοῦτο, λέγω τὸ μεταδοῦναι ἀνθρώποις τῆς ἀμβροσίας καὶ τοῦ νέκταρος καὶ ἐξειπεῖν τὰ θεῖα μυστήρια.* — † *προῆκαν πάλιν ἀντὶ τοῦ ἐπανέστρεψαν·* — ** *κατήγαγον ἐκ τοῦ οὐρανοῦ.* — * *τὸν Πέλοπα.* — 106. ** *οἱ θεοί.* — ** *αὐτῷ.* 107. * *εἰς.* — *τὸ ταχυθάνατον.* — 108. ** *πάλιν.*

109. *Germ.* *Εὐάνθεμον] τὴν ἀνθηρὰν κατὰ τὴν διάπλασιν τοῦ σώματος ἢ πρὸς τὴν εὐθεσίαν. καὶ τὸ μελανθησόμενον (οὔπω γὰρ ἦν μέλαν) πρὸς τὴν συνθεσίαν τῶν μελῶν.*

gl. 109. *ἀνθηράν·* — † *εὐανθῆ, θαλεράν.* — *ἡλικίαν.*

110. *Th.* *Τὸ νὶν καὶ τὸ γένειον ὅλον καὶ μέρος. τὸ μὲν νὶν ὅλον, τὸ δὲ γένειον μέρος· ὥσπερ ἐστὶ καὶ τό· Ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων* (Il. Δ 350). — *Tr.* *Ἔρεφον δὲ ἀντὶ τοῦ ἐστεφάνουν. ὥσπερ γὰρ ὁ στέφανος κύκλῳ τῆς κεφαλῆς ἐστιν, οὕτω καὶ αἱ τοῦ πώγωνος τρίχες κύκλῳ εἰσίν.*

gl. 110. *ἤγουν ὅτε εἰς τοιαύτην ἡλικίαν ἦλθεν ὡς ἐξανθῆσαι γένειον.* — *τρίχες.* — *αὐτόν.* — *πώγωνα.* — *ἐστεφάνουν.*

111. *Germ.* *Ἑτοῖμον] παρὰ τῶν Μοιρῶν αὐτῷ, ἢ τὸν πᾶσι τοῖς θέλουσι προκείμενον.*

---

2 *ἑστάναι* a q ξ, *ἑστᾶναι* μ'. — 2. 3 *τῶν θεῶν* om. q. — 3 *καὶ] ἀντὶ τοῦ* a, omm. q ι'. — *ἔδωκεν* edd. — 4 *αὐτὸν τοῦτον* μ'. — *θεῶν* q. — 5 *πράττων τι* omm. μ' φ'. — 11 *ἢ εὐάνθεμον* U, mutavi. — *κατά] καὶ* U, correxi. — Ad totum scholium «verba aut mutila aut confusa» annotat Mommsen. — 15 *Νὶν γένειον* (*Λάχναι νιν* edd. ante Beckium)] *ὅλον καὶ μέρος* etc. edd. — *νιν* codd. plerique. — 17 *ἕρκον* ι'. — 22 Lemma scholii Germani, quod

gl. 111. πρόχειρον· — ** τοιοῦτος γὰρ ἦν ὁ τῆς Ἱπποδαμείας γάμος ἐν κοινῷ προκείμενος ἤτοι προτεθειμένος τῷ βουλομένῳ. — * ἐμελέτησε. — 112. τοῦ Οἰνομάου τοῦ ἐν τῇ Πίσῃ κατοικοῦντος. — 113. ἀρίστην.

114. *Th.* Οἰνόμαος, ὁ πατὴρ Ἱπποδαμείας, ἐρῶν αὐτῆς διὰ τὴν τοῦ κάλλους ὑπερβολὴν καὶ οὐκ ἐθέλων ἐκδοῦναι ταύτην εἰς γυναῖκά τινι, προὐκαλεῖτο πάντας εἰς ἅμιλλαν δρόμου τοὺς θέλοντας αὐτὴν ἐγγυήσασθαι, θαῤῥῶν τῷ αὐτοῦ ἅρματι ταχυτάτῳ ὄντι καὶ μηδένα οἰόμενος ὑπερβαλέσθαι ἂν αὐτὸ δυνηθῆναι. οὕτω δὲ ἐποίει τὴν ἅμιλλαν. τῷ μὲν μνηστῆρι ἐδίδου τὴν Ἱπποδάμειαν ἐν τῷ αὐτοῦ ἅρματι φέρειν καὶ προηγεῖσθαι τοῦ δρόμου, αὐτὸς δὲ ὄπισθεν ἰὼν καὶ τῇ χειρὶ φέρων ἔγχος, ὁπότε ἔμελλε τὸν μνηστῆρα παρελθεῖν ἔβαλλέ τε τῷ ἔγχει καὶ ἀνῄρει. τρεῖς οὖν πρὸς τοῖς δέκα ὁλωλεκὼς ἡττήθη ὑπὸ Πέλοπος. ὁ γὰρ ἡνίοχος αὐτοῦ τοῦ Οἰνομάου Μυρτίλος ἐφθάρη χρήμασιν ὑπὸ Πέλοπος, ἵνα περὶ τὰς χοινικίδας τοῦ ἅρματος πανουργεύσῃ τι καὶ τὸν Οἰνόμαον ἐντεῦθεν ἡττηθῆναι παρασκευάσῃ· οὗ γενομένου Πέλοψ Ἱπποδάμειαν ἔσχε. τῶν δὲ

U ἢ particula cum altero scholii veteris ad v. 111 commate coniungit, ego addidi. — *αὐτῶν* Mommseni ed.

5 *ἱστορία* (deest hæc vox in ξ') *περὶ οἰνομάου καὶ ἱπποδαμείας* ι'' μ' in marg., ξ' φ' in textu, *ἱστορία* Vrat. in marg., edd. in textu. — Totam narrationem inde ab *ὁ πατὴρ* usque ad *Ἱπποδάμειαν ἔσχε* (v. 18) om. ι'' duodecim litterarum spatio relicto cum hac nota in marg.: «est in dictionario hæc fabula.» — *ἰνόμαος* Vrat. — 6 *κάλους* μ' ξ'. — *οὐκ ἐθέλων* Γ Δ, *οὐ θέλων* cett. — 7 *προκαλεῖτο* Γ, *προυκαλοῦντο* ξ'. — 8 *τῷ αὐτοῦ* edd. inde a Beckio. — 9 *αὐτό* Γ Δ Vrat. φ', *αὐτῷ* ex *αὐτόν* vel vice versa μ', *οὐ τῷ* ξ', *αὐτόν* edd. antt., *αὐτὸν* edd. inde a Beckio. — 10 *τῷ μὲν*] *καὶ τῷ* ξ'. — 11 *αὐτοῦ* Bœckh ex Beckii sententia edidit. — 13 *ἔβαλε* Γ. — 14 *πρὸς τοὺς δώδεκα* Vrat., *πρὸς τοῖς δώδεκα* ξ' et edd. ante Beck. — *ὀλωλικὼς* ξ'. — 15 *τοῦ Οἰν.* om. Γ. — 16 *ὑπὸ τοῦ Πέλ.* edd.

ἀνῃρρημένων τὰ ὀνόματά εἰσι ταῦτα· Μέρμνης, Ἱππόθοος, Πέλοψ Ὀπούντιος, Ἀκαρνάν, Εὐρύμαχος, Εὐρύλοχος, Αὐτομέδων, Λάσιος, Χάλκων, Τρικόρωνος, Ἀλκάθους ὁ Παρθάονος, Ἀριστόμαχος, Κρόκαλος· ὧν ταῖς κεφαλαῖς ἔμελλε ναὸν ἀνεγερεῖν τῷ Ἄρει.

gl. 114. λαβεῖν. — ἄγχι δ' ἐλθών] * * οὕτω γράφε διὰ τὸ μέτρον.

115. *Th.* Τὸ πολιᾶς ἁλὸς ἢ ἀντὶ τοῦ γεραιᾶς νόει, διὰ τὸ εἶναι προγενέστερον τὸ ὕδωρ τῶν ἄλλων στοιχείων, ὡς ἔφαμεν· ἢ ἀντὶ τοῦ λευκῆς· λευκαίνεται γὰρ τῇ τῶν κυμάτων περιφορᾷ καὶ δινήσει.

M. Ὄρφνη ἡ νὺξ βαρυτόνως· ὀρφνὴ δὲ νὺξ ἀντὶ τοῦ σκοτεινὴ ἐπιθετικῶς, ὀξύνεται.

gl. 115. * * μόνος. — * * ἐν νυκτί.

116. *M.* Βαρύκτυπος] ὁ βαρεῖς κτύπους ἐργαζόμενος. βαρὺ ἐπὶ ὄγκου, ᾧ ἐναντίον τὸ κοῦφον· λέγεται τὸ βαρὺ καὶ ἐπὶ φωνῆς καὶ ἔχει ἐναντίον τὸ ὀξύ. ἐνταῦθα ἐπὶ φωνῆς λέγεται τὸ βαρὺ ἐν τῇ συνθήκῃ τοῦ βαρυκτύπου. κτύπος δέ ἐστιν ὁ συγκρούσεως ἦχος.

---

1 ἀνῃρημένον ξ'. — τὰ om. ι''. — Μέρμνος edd. — Πόλοψ Vrat. — **2** ἀκαρνᾶν Γ. — εὐρύμαχος Δ. — αὐτομέδον μ'. — **3** Τρικόρωνος — Ἀριστόμαχος om. Vrat. — Παρθάῶνος ι'', Παρθάονος edd. inde a Beckio. — **4** καὶ κρόκαλος φ'. — ἀγερεῖν Γ, ἀνεγηρεῖ ξ'. — **5** ἄρεϊ Γ, ἄρι ξ'. — **8** Scholium Thomanum ad v. 115 Δ inter glossas habet. — ἢ om. ι''. — ὑγραίας Γ, γραίας Δ, γηραιᾶς ι'' ξ' φ'. — **9** παργενέστερον Δ. — τὸ ὕδωρ om. ξ'. — **10** τῇ τῶν] τῆς τῶν Δ, τοῦ τῶν μ', τούτων Vrat. — **10. 11** περιφορὰ μ'. — **12** Scholia Moschopulea ad v. 115. 116 in *a* post τὴν νίκην ποίησον (p. 89, 15), in *q* post τούτῳ μὲν εἶπεν ὁ Πέλοψ (p. 89, 9) inserta leguntur. — ὄρφνη] ὀρφνή μ' ξ' φ'. — τοῦ om. ι''. — **15** ὁ βαρὺς ξ'. — **16** ὄγκον ὁ ἐναντίον *q*. — τὸ βαρὺ om. ξ'. — **17** Inde ab ἐνταῦθα novum comma incipit *q*. — **17. 18** ἐνταῦθα — βαρύ om. ι''. — **18** κτῦπος ξ'. — δ' ἐστίν *a*.

gl. 116. ἐπεβοᾶτο. — τὸν Ποσειδῶνα δηλονότι. — μεγαλόκτυπον. — 117. * τρίαιναν ἀπὸ τοῦ τρία καὶ τοῦ αἰνόν, τὸ χαλεπόν. — * μεγάλην τρίαιναν ἔχοντα Ποσειδῶνα· — * * τὸν μεγάλην τρίαιναν ἔχοντα Ποσειδῶνα· τρίαινα δὲ ἀπὸ τοῦ τρία καὶ τοῦ αἰνόν, τὸ χαλεπόν. — ** ὁ Ποσειδῶν. — τῷ Πέλοπι.

118. *Th.* Τὸ σχεδὸν ὥσπερ ἑρμηνεία ἐστὶ τοῦ πὰρ ποδί. τὸ γὰρ παρὰ ποδὶ στῆναι πλησίον ἐστὶ στῆναι.

gl. 118. * * παρά. — πλησίον. — * * πλησίον ἐφάνη. — 119. * * τῷ γράφε διὰ τὸ μέτρον. — τῷ Ποσειδῶνι. — * ὁ Πέλοψ. — 120. τῆς Ἀφροδίτης τῆς ἐμῆς. — * * κατά τι. — 121. * ὦ· — * * ὦ Πόσειδον. — * * σοὶ δηλονότι. — 122. * ὑπάρχει σοι· — * * ὑπάρχει. — ἄμβλυνον, ἐξασθένησον. — 123. * * τὸ σιδηροῦν. — 125. πορευθῆναι ποίησον. — 126. * πόλις Πελοποννήσου· — † πόλιν Πελοποννήσου. — νίκῃ. — πλησίασον ἐμέ· — † ἕνωσον ἐμέ, ἀπὸ κοινοῦ. — 127. † ἤτοι τρεῖς πρὸς τοῖς δέκα.

128. *Tr.* Οἱ μνηστῆρας γράφοντες οὐκ ἴσασι τὰ περὶ μέτρων. χρὴ τοίνυν ἐρῶντας γράφειν, ἵν' οἰκεῖον ᾖ τὸ κῶλον τῷ τῆς στροφῆς.

gl. 128. ἀπαξιοῖ καὶ ἀπολέγει.

105—129. *M.* Τοὔνεκα προῆκαν] διὰ τοῦτο ἐπανέστρεψαν τὸν υἱὸν αὐτοῦ οἱ θεοὶ ἐπὶ τὸ γένος αὖθις τῶν ἀνθρώπων, τὸ ἐπ' ὀλίγον ἐν τῇ ζωῇ διαρκοῦν. ὅτε δὲ (109) πρὸς θαλερὰν

---

6 Τὸ σχέδιον Vrat. μ' φ'. — πὰρ ποδὶ Γ Δ et Vrat. ante corr., πὰρ ποσὶ cett., etiam Vrat. post corr. — 7 παρποδὶ Γ, παρποσὶ ξ', παρὰ ποσὶ cett. excepto Δ. — 9 δ' ἔειπε post τῷ addendum esse probabiliter coniecit Mommsen in notis ad hunc Pindari locum. — 17 Lemma † Ἐρῶντας add. Bœckh. — μνηστῆρας μ'. — 17. 18 τὰ περὶ τῶν μέτρων ι'', τὰ τῶν μέτρων ξ'. — 19 τὸ ι'' ξ', omm. cett., correxi. τῆς στροφῆς pro τῇ στροφῇ ex Vrat ι'' μ' ξ' est. — 21 οὕνεκα μ'. — υἱὸν post προῆκαν add. q ξ'. — 22 αὐτοὶ οἱ q. — 23 δὲ om. q.

ἀναδρομὴν σώματος τριχώσεις αὐτὸν σκέπουσαι ἐποίουν αὐτῷ δηλονότι μέλαν γένειον, γάμον ἀναπολήσας κατὰ νοῦν ἐζήτησε προτεθειμένον, τῷ βουλομένῳ λέγω, σχεθέμεν, ἤγουν σχεῖν, λαβεῖν, τὴν ἀγαθὸν κλέος ἔχουσαν Ἱπποδάμειαν, παρὰ τοῦ πατρὸς αὐτῆς τοῦ Οἰνομάου, τοῦ βασιλεύοντος ἐν τῇ Πίσῃ. πλησίον δ' ἐλθὼν (114) τῆς λευκῆς θαλάσσης μόνος ἐν νυκτὶ ἐκάλει τὸν Ποσειδῶνα τὸν βαρύκτυπον, τὸν τῇ καλῇ τριαίνῃ χρώμενον. ὁ δὲ εὐθέως (117) παρὰ τοῖς ποσὶν αὐτοῦ ἐφάνη. τούτῳ μὲν εἶπεν ὁ Πέλοψ (119)· ἄγε, ὦ Πόσειδον, ἐὰν κατά τι εἰς χάριν.σοι ὦσιν, ἤγουν κεχαρισμένα, ἀρεστὰ ὦσι τὰ προσφιλῆ δῶρα τῆς Ἀφροδίτης· τοῦτο δὲ ἴσως ὡς ἐρώμενος αὐτοῦ λέγει· κατάσχες (122), ἀνενέργητον ποίησον τὸ ἔγχος τὸ Οἰνομάου τὸ σιδηροῦν, ᾧ τοὺς μνηστῆρας συμποδίζων ἀναιρεῖ· ἐμὲ δὲ (124) ἐπὶ ταχυτάτου ἅρματος παράπεμψον εἰς τὴν Ἦλιν· τῇ νίκῃ δὲ ἔνωσον, τουτέστι μετ' ἐμοῦ δὲ τὴν νίκην ποίησον· ἐπεὶ (127)

---

1 ἡ τριχώσεις a, αἱ τριχώσεις b. — αὐτὴν μ' φ'. — 2 μέλαν τὸ γένειον ι''. — 3 προστεθειμένον ι'', προτεθειμένην Heyne, Bœckh. — σχεῖν] ἠσχὺν ed. Rom., ἰσχὺν cett. edd. ante Beckium, δὲ ἰσχὺν Beck, Heyne, Bœckh (hic etiam σχεῖν ex Gott. addidit). — 4 ἤγουν ante λαβεῖν add. Bœckh. — περὶ ξ'. — 5 αὐτοῦ τοῦ q. — ἰνομάου μ'. — πίσσῃ q ξ', πίσῃ (σ supra) μ'. — Post Πίσῃ in edd. inde a Beckio sequuntur scholia ad v. 110. — 6 Ante πλησίον edd. lemma ἄγχι δ' ἐλθὼν exhibent. — μόνον ξ', om. a. — 7 τὸν ante τῇ om. ι''. — τῇ om. ξ'. — 8 In ι'' post χρώμενον sequuntur scholia ad v. 110. — Ante ὁ δὲ lemma ὁ δ' αὐτῷ est in codd. mixtis et edd., σύνταξις voci ἄγε in marg. adscriptum habent μ' φ'; — de aq conf. etiam notam ad p. 87, 12. — 9 τοῦτο b ξ' φ'. — μὲν] δὲ codd. mixti et edd. ex Triclinii sententia, qui in textu τῷ δ' ἔειπε lectioni optimorum codicum a Moschopulo servatæ τῷ μὲν εἶπε substituit. — 10 σοι omm. q ι''. — 12 ἀνέργητον a. — τὸ ἔγχ. τοῦ οἰν. q μ'. — 13 ᾧ] ᾧ a. — ἐμέδε q. — 14 ἦλιν a q μ'. — 15 ἔνωσον a Vrat. — ποίησον τὴν νίκην μ' φ' edd.

τρεῖς καὶ δέκα ἄνδρας ἀποκτείνας ὁ Οἰνόμαος ἐρῶντας εἰς τὸ ἐπιὸν παραπέμπει τὸν τῆς θυγατρὸς αὐτοῦ γάμον.

gl. 129. οἷος οὗτος. — 130. δειλόν. — 131. *† ἀνθρώποις. — ἀπαραίτητον ὑπάρχει.

132. M. Τί κέ τις] τὸ τὶς ἀορίστως λεγόμενον πληθυντικοῦ δύναμιν ἔχει. διὸ πρὸς πληθυντικὸν ἀποδίδοται νῦν.

gl. 132. * δέ] γρ. κεν. — διατί ἄν. — * ποταπόν; ἀκλεές· — ἤγουν ἐντὸς οἴκου· — ** ἐν ἀκινησίᾳ. — 133. δαμάζοι· τὰ γὰρ ἑψόμενα κρέα οἱονεὶ τῷ πυρὶ δαμάζεται· — † ἤτοι ἑαυτῷ ἐφέλκοι ματαίως. — 134. * ἀμέτοχος. — τῷ Πέλοπι. — ἢ πρὸς Οἰνόμαον. — 135. ** ἄεθλος] ἀγών· — ** συνίζησις. — ὑποτεθήσεται καὶ ἀγωνισθήσεται. — σὺ Δωρικῶς.

136. M. Πρᾶξιν φίλαν] ἀντὶ τοῦ ἀπόβασιν πράξεως προσφιλῆ. πρᾶξις γὰρ ἡ ἐνέργεια καὶ τὸ ἀποτελούμενον ἀπὸ τῆς ἐνεργείας.

129—136. M. Ὁ μέγας δὲ κίνδυνος] ἀντὶ τοῦ τὸ πρᾶγμα, ἐφ' ᾧ μέγας ἐστὶ κίνδυνος, οὐ δέχεται ἄνδρα οὐ γενναῖον τὴν ψυχήν, τουτέστι δειλόν. ἐκείνοις δέ, (131) οἷς ἐστιν

---

2 Post paraphr. Mosch.vv. 105—129 in *q* paraphr. Mosch. vv. 129—136, prior pars scholii ad v. 137 sqq. usque ad *τελεσθῆναι*, schol. Mosch. ad v. 132. 136., in codicibus mixtis notula Tricliniana de scriptura *ἐρῶντας*, schol. Mosch. ad vv. 129—136, 132, 136 et prior pars scholii Mosch. ad v. 137 sqq. leguntur. In *a* notatis Moschopuleis ad v. 115. 116, quæ paraphrasi Moschopuleæ versuum 105—129 ante *ἐπεὶ τρεῖς* inserta leguntur, scholia ad v. 132. 136 subnexa sunt, tum post frustulum illud paraphrasis *ἐπεὶ τρεῖς — θυγατρὸς αὐτοῦ γάμον* sequitur paraphr. vv. 129—136. — **6** *πρὸς τὸ πληθ.* μ' φ'. — **13** *πράξιν* ι' μ'. — *δὲ* post *πρ.* insertum est in μ'. — *φιλίαν bq.* — **14. 15** *τὸ ἀπὸ τῆς ἐνεργ. τελούμενον* Vrat. μ' φ'. — **16** *σύνταξις* in marg. habet ξ'. — **17** *ἐστὶ μέγας* ξ', *μέγα ἐστὶ* Vrat. μ' φ'. — *κίνδυνος μέγας* (om. *ἐστί*) *a*. — **18** *τῇ ψυχῇ* ξ'. — *δὲ abq*, *γὰρ* cett. cum glossa Tricl. in codd. mixtis. — *ἔστιν q*.

ἀνάγκη ἀποθανεῖν ὁπωσδήποτε, διατί ἄν τις ἐν ἀφανείᾳ καθήμενος ἀκλεὲς γῆρας ματαίως ἕψοι, τουτέστι τῷ χρόνῳ πεπαίνων ἑαυτῷ ἐφέλκοιτο, πάντων τῶν καλῶν ἀμέτοχος ὤν; ἀλλ' ἐμοὶ μὲν (134) οὗτος ὁ ἀγὼν ὑποκείμενος ἔσται εἰς τὸ ἀγωνίσασθαί με αὐτόν· σὺ δ' ἀπόβασιν πράξεως δίδου προσφιλῆ.

gl. 136. λέγω δὴ τὸ αὐτὸν νικῆσαι, ὃ πάντων ἐμοὶ φίλτατον.

137. *Germ.* Ἄκραντον γίνεται ἀπὸ τοῦ α στερητικοῦ μορίου καὶ τοῦ κραίνω τὸ τελειῶ· τὸ δὲ κραίνω ἀπὸ τοῦ κάρα, ἡ κεφαλή· διότι παντὸς πράγματος τὸ τέλος λέγεται κορυφή.

Th. Δέον ἀκράντων ἐπῶν εἰπεῖν, ὁ δὲ πλαγιάσας ἀκράντοις ἔπεσιν εἶπε πρὸς τὸ ἐπί.

gl. 137. οὕτως. — * † εἶπεν ὁ Πέλοψ. — 138. ἀνηνύτοις· — † ἀδυνάτοις. — † οὖν. — † λόγοις.

139. *Germ.* Ἀγάλλων αὔξων. εὐφυῶς πάνυ καὶ ἁρμονίως συντέθειται τοῦτο τῷ ποιητῇ. ὃν γὰρ τρόπον ὁ λυπούμενος μειοῦται καὶ καταβάλλεται, τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ χαιρόμενος αὔξει καὶ οἱονεὶ θάλλει. διὸ καὶ σοφός τις ἔλεγε· ψυχῆς γὰρ ἀγαλλομένης θάλλει πρόσωπον.

gl. 139. τὸν Πέλοπα. — κοσμῶν καὶ σεμνύνων. — ὁ Ποσειδῶν. — 140. * ἰστέον, ὅτι τὸ μὲν ἅρμα Πέλοψ πρῶτος ἔδει-

---

1 ἐν om. *q*. — 3 ἀφέλκοιτο edd. — τῶν ἄλλων *i''*. — 5 σὺ δέ Vrat. — 9 Post ἀκρ. delevi δέ particulam. — 13 Scholium Thomanum *Γ* inter glossas habet. — νέον *μ' φ'*. — ἀκραγάντων *Δ*. — εἰπεῖν ἐπῶν codd. mixti. — 13. 14 ἀκράτοις Vrat. *μ' φ'*. — 17 Ante ἀγάλλων delevi ἢ οὕτως. — 19 καὶ post τρόπον excidit apud Mommsenum. — 19. 20 Fragmentum ignoti poetæ fortasse lyrici esse suspicatus est Mommsen. — 23 Verba ἰστέον — ἀνάβασιν, quæ *Γ* liber

ξεν ἐκ Ποσειδῶνος λαβών· τὸν δὲ κέλητα Βελλεροφόντης διὰ τὴν πρὸς τὸν Πήγασον ἀνάβασιν.

141. *Germ.* Πτεροῖσιν] ὥσπερ ἡ θάλασσα τὴν ναῦν ὑπόπτερον κέκτηται (πτερὰ δὲ λέγω τὰ ταύτης ἄρμενα ἢ τὰς κώπας), οὕτω καὶ ὁ ἵππος πτερὰ κέκτηται τὴν ταχύτητα τῶν ποδῶν· ἀρετὴ γὰρ ἵππου τὸ τρέχειν.

gl. 141. μηδέποτε πρὸς τὸν δρόμον ὀκλάζοντας.

142. *Th.* Τὸ ἔλεν εἰ καὶ πρὸς τὸ παρθένον κατὰ κοινοῦ εἴποις, ἀλλ' ἐνταῦθα μὲν ἀντὶ τοῦ ἔλαβεν ἐρεῖς, πρὸς δὲ τὸ βίαν ἀντὶ τοῦ ἐκράτησε καὶ ἐνίκησεν.

gl. 142. ἐκράτησε. — * ἰσχύν· ἤγουν τὸν Οἰνόμαον. — 143. Ἱπποδάμειαν. — † εἶχεν ἀπὸ κοινοῦ, ἔλαβεν. — ποταπήν; — ** σύνοικον. — 144. * ἥτις. — ἡγεμόνας λαῶν· Ἀτρέα, Θυέστην, Πυτθέα, Ἀλκάθουν, Πλεισθένην, Χρύσιππον.

145. *Germ.* Τὸ ἀρεταῖσι μεμαότας ἀντὶ τοῦ ἐπιθυμοῦντας τῆς ἀρετῆς καὶ ταύτης ἀντεχομένους· ἢ προθυμουμένους· ἢ ἐφαπτομένους καὶ χαιρομένους.

gl. 145. ταῖς ἀνδρὶ προσηκούσαις. — * προθυμουμένους· — ** ἤγουν φροντίδα ποιουμένους τῶν ἀρετῶν.

---

inter glossas habet (om. *A*), in codicibus mixtis inter scholia leguntur præfixo lemmate *ἔδωκε δίφρον*. — *πρῶτον* Vrat. ξ' φ'.

1 *κέλλητα* Vrat. ι' μ' ξ'. — *βελλερ.* *Γ*ξ'. — 3. 4 *ὑπόπτερον*] *ἵππον* *U*, correxi collato Ol. IX 36 (*ναὸς ὑποπτέρου*) cum scholio ad l. l. — 4 *ἅρμενα* *U*, corr. Mommsen. — 4. 5 *κῶπας* *U*, tacite corr. Mommsen. — 5 *οὕτως* *U*, correxi. — 8 *ἔλε* *A*. — *εἰ καὶ*] *εἰ* μ' ξ', *οὐ* Vrat. φ' edd. — *παρθένου* Vrat μ'. — 9 *εἴπῃς* *A*. — *μὲν* om. *Γ*. — 14 *Πυτθέα* codd. omnes. — 15 *δέ* post *τὸ* ego delevi. — Ad v. 145 hoc scholium in margine *Γ* libri scriptum est: *μάω μῶ, ὁ μέλλων μάσω ὡς γελάσω, ὁ παρακείμενος μέμαλεν (!), ὁ μ . . . . μέμαα, ἡ μετοχὴ ὁ μεμαώς*, quæ nolui ad Thomam auctorem referre.

146. *Th.* Κατ' ἐνιαυτὸν πάντες οἱ ἐν τῇ Πελοποννήσῳ ἔφηβοι ἐν τῷ τοῦ Πέλοπος τάφῳ ταῖς μάστιξι ξαινόμενοι ὥσπερ τινὰ σπονδὴν τὸ αὐτῶν αἷμα τούτῳ παρεῖχον. τοῦτο δὲ ἐποίουν δεικνύντες τὴν τοῦ ἥρωος δύναμιν καὶ νομίζοντες μηδὲν ἄλλο πρὸς αὐτὸν εἶναι δίκαιον ἢ τοῦτο τελεῖσθαι.

Tr. Βοιωτικὴ φωνὴ τὸ αἱμακουρίαις· οὗτοι γὰρ αἱμακουρίας τὰ τῶν νεκρῶν ἐναγίσματα λέγουσιν.

gl. 146. θυσίαις ἐξ αἵματος κούρων. — 147. εἰς κόσμον αὐτοῦ γιγνομέναις. — ἤτοι σύνεστιν. — 148. ἤτοι ἐν τῇ Πελοποννήσῳ· ἀπὸ μέρους τὸ πᾶν. — πεσών, ἤτοι θανών.

149. *Th.* Τινές φασι μὴ μνῆμα, ἀλλ' ἱερὸν εἶναι Πέλοπος καὶ πρὸ τοῦ Διὸς ἐν αὐτῷ τοὺς ἀγωνιζομένους θύειν τοῦ Ἡρακλέους πρῶτον κατὰ τιμὴν τοῦτο πεποιηκότος. ἀμφίπολον δὲ λέγει ἢ τὸν περιπολούμενον διὰ τὸ ἐν μέσῃ εἶναι τῇ πόλει· ἐνταῦθα γὰρ οἱ οἰκισταὶ ἐθάπτοντο· ἢ τὸν περιπολούμενον ὑπὸ τῶν ἀγωνιστῶν· φασὶ γάρ, ὡς ἐν μέσῳ τῷ σταδίῳ ἦν.

---

1 Lemma *νῦν δ' ἐν (δὲ ἐ΄) αἱμακουρίαις* addunt codd. mixti et edd. — *κατ' ἐν.*] *ἀντὶ τοῦ αὐτὸν ξ΄.* — *τῇ* om. *ἰ΄.* — *πελοπονήσῳ ΓΔμ΄.* — 2 *ταῖς στιξὶ ξ΄.* — *ξεόμενοι μ΄ ξ΄ φ΄.* — 3 *σπουδὴν Γ* Vrat. — *αὐτῶν* codd. — *τούτων μ΄.* — *δ' ἐποίουν* edd. — Post *ἐποίουν* glossa *ταῖς ἀνδρὶ προσηκούσαις ἤγουν φροντίδα ποιουμένους τῶν ἀρετῶν*, post *δύναμιν* glossa *ἀντὶ τοῦ οἷς ἀνδραγαθίαι ἦσαν καὶ φροντίδι ἀρετῶν* (sic) irrepsit in textum ξ΄ libri. — 4 *δεικνῦντες ξ΄* et ed. Rom. — *τὴν*] *τὸ Γ.* — 5 *δίκαιον* om. *Δ.* — 6 Huic scholio crux præfixa est in *μ΄ φ΄* ed. Bœckh. — *βοιωτὴ* Vrat. *μ΄ φ΄*, *Βοιωτῶν* edd. — 6. 7 *γὰρ τὸ αἱμακουρίαις ξ΄.* — 7 *τῶν κρεῶν μ΄ ξ΄* et edd. ante Beckium. — 11 Lemma *τύμβον ἀμφίπολον* add. codd. mixti (*μ΄* etiam crucem præfixit). — *ἱερεῖον* edd., *ἱερόν* iam Bœckh coniecit. — 12 *πρὸς μ΄ φ΄.* — 13 *κατατομὴν φ΄.* — *πεποιηκότως ξ΄.* — 14 *ἢ τὸ Γ.* — *περιπελούμενον ξ΄.* — *μ. τῇ π. εἶναι ἰ΄.* — 16 *τοῦ σταδίου* Vrat. *μ΄ φ΄* edd. — Hucusque liber Vratislaviensis a me collatus est; codex *z*, in quo quæ post paraphr. Mosch. vv. 82—94 leguntur scholia desunt, tantum paraphrasin Moschopuleam vv. 145—180 habet.

gl. 149. ** τάφον. — περιπολούμενον. — 150. ἔνθα πολλοὶ ξένοι συνάγονται. — 151. τῷ ἐν Ὀλυμπίᾳ τοῦ Διός. — ἡ δόξα.

152. *Germ.* Τὸ *τηλόθεν* χρονικῶς ἀκουστέον καὶ οὐ τοπικῶς. τὸ δὲ *δέδορκεν* ἐνέργειαν ἀντ' ἐνεργείας λαμβάνει, ἀντὶ τοῦ πίπτει. *Ὀλυμπιάδων* δέ, ἤγουν τῶν Ὀλυμπιακῶν ἀγώνων· ἀπὸ γὰρ τῶν ἀγωνισμάτων καὶ ἀπὸ τῆς νίκης πρῶτος ὁ Πέλοψ ἐνίκησεν Ὀλύμπια.

gl. 152. ἄνωθεν καὶ ἐξ ἀρχῆς. — βλέπει, ἤγουν ἐκλάμπει. — 153. ἤτοι τοῦ Ὀλυμπιακοῦ ἀγῶνος· ἐνταῦθα γὰρ ἡμιλλήσατο Πέλοψ πρὸς Οἰνόμαον. — 154. ὅπου. — 155. *† ἁμιλλᾶται. — 156. ἀκρότητες, μεγέθη. — ** δυνάμεως. — 157. * ἐκεῖσε· — ** ἐκεῖ. — * ἐπίλοιπον. — αὐτοῦ. — 158. γλυκεῖαν. — * ἡσυχίαν, τουτέστι βέλτιστος παρὰ πάντων νομίζεται. εὐδίαν δὲ εἶπεν ἐκ μεταφορᾶς τῶν ἐν θαλάσσῃ χειμαζομένων καὶ πεπαυμένων τοῦ κλύδωνος· — ** ἡσυχίαν.

159. *Th.* Τὸ *δ' ἀεὶ* τοῦτο λέγει, ὅτι εἴ τις τὸν τῆς ζωῆς αὐτοῦ χρόνον καθ' ἑκάστην ἡμέραν παρὰ πάντων τιμᾶται, οὐκ ἔστι τούτου μεῖζον οὐδέν.

gl. 159. ὧν ἠγωνίσατο ἀγώνων. — 160. παρ' ἡμέραν ἑκάστην, ἤτοι διηνεκές. — 161. ἐξοχώτατον καὶ εὐδαιμονίας ἀκρότατον.

162. *Th.* Ἐμὲ δὲ χρὴ καὶ πρέπει Αἰοληΐδι μολπᾷ καὶ

---

5 λαμ' (βν) *U*, quod λάμβανε interpretatus est Mommsen. — **6** τῶν ὀλυμπίων Mommsen ed. — **14** Glossa Thomana ἡσυχίαν — κλύδωνος in codd. mixtis inter scholia legitur præfixo lemmate *Εὐδίαν (εὐδείαν φ')*. — **15** εὐδείαν φ'. — **16** καὶ πεπρωμένων ξ'. — **19** αὐτοῦ *A* μ' ξ' φ'. — **20** τοῦτο μ' ξ'. — **24** Ἐμὲ δὲ χρὴ (lemma om. ξ'). ἐμὲ δὲ πρέπει etc. codd. mixti et edd. — Αἰολίδι codd. mixti et edd. — μολπῇ *A* ι'' μ' ξ' φ'.

ὕμνῳ στεφανῶσαι ἐκεῖνον τὸν ἐξ Ὀλυμπίας ἐν νόμῳ ἱππείῳ, τουτέστι διότι ἵππῳ ἐνίκησε κατὰ νόμους. νενομισμένον γάρ ἐστι μὴ μόνον τοῖς οἰκείοις ποσὶν ἀγωνίζεσθαι πεζῇ, ἀλλὰ καὶ ἱππικῶς· λέγω δὴ ἐν κέλητι καὶ δίφρῳ καὶ τετρώρῳ. λέγει δὲ διὰ τὸν Ἱέρωνα. τὸ δὲ Αἰοληΐδι ἢ ἀντὶ τοῦ ποικίλῃ· ποικίλοι γὰρ οἱ ἐκ λύρας ὕμνοι· ἢ Θηβαίᾳ· οἱ γὰρ Αἰολεῖς ᾤκησάν ποτε Θήβας· ἢ διότι καὶ ὁ Πίνδαρος ἐξ Αἰολέων κατήγετο, ὥς φασί τινες.

gl. 163. *τὸν ἐν τῇ Ὀλυμπίᾳ νικῶντα.* — 164. *ποικίλῃ ἢ Θηβαϊκῇ.*

165. *Germ. Τοῦ Γερμανοῦ. Πέποιθα δὲ μή τινα ποιητὴν ἀπὸ τῶν νῦν ποιητῶν ὑπάρχειν ἀμφότερα ἴδριν τε τῶν καλῶν ἅμα καὶ τὴν δύναμιν κυριώτερον ὡς ἐμέ. ἔξωθεν δὲ προσληπτέον τὸ λοιπὸν πρέπει δαιδαλωσέμεν καὶ ὑμνεῖν τὸν ξένον καὶ φίλον, τὸν Ἱέρωνα δηλονότι.*

gl. 165. *ἐλπίζω, θαῤῥῶ.* — 167. *ἀγαθῶν.* — *ἐπιστήμονα.* — 169. *ἀνθρώπων.* — *ἐνδόξοις.* — *κοσμῆσαι, ὑμνῆσαι.* — 170. ** *ἐπαίνων.* — *μεθόδοις.*

---

1 *ἱππίῳ* *Α μ'*. — 2 *τουτέστι* — *ἐνίκησε*] *νικήσαντα* *ξ'*, *νενικηκότα* *μ' ξ' φ'* et edd. — 3 *τοῖς*] *τὸ* *ξ'*. — *παιζῇ* *Γ Α*. — 4 *κέλλητι* *Α ι' μ' ξ' φ'*. — 5 *Αἰοληΐδι* *Γ Α ι'*, *Αἰολίδι* cett. — Post hanc vocem delevi *μολπῇ* cum *ΓΑι'*. — 6 *θηβαῖα* *μ'*. — 7 *ἢ καὶ ὅτι* (om. *καί*) *ξ'*. — *ἐξαιολέων* *Α*. — *αἰόλων* *μ' ξ'* et *φ'* ante corr., edd. ante Beckium. — 11 Hoc scholium etiam in *V* (cod. Par. 2403) legitur. — *τοῦ γερμηνοῦ* *V*. — Ante *πέποιθα* delevi vocem *Ἄλλως*. — 12 *ἀπὸ* excidit apud Mommsenum. — *ἰδρυντὲ* *V*, *ἴδρυν τὲ* *U*, tacite corr. Mommsen. — 19 *ὡς ἐμέ. ἔξ. δὲ πρ. τὸ λοιπὸν πρέπει· δαιδ.* *U* et Mommsen, *ὡς ἐμὲ ἔξωθεν προσληπτέον. τὸ δὲ λ. πρέπει δαιδ.* *V*, fort. recte. — *δαιδαλωσέμεν* *V* et Mommsen, *δαιδαλωσαίμεν* *U* etiam in textu. Ceterum in cod. *U* in scholio vet. ad v. 171 inter *διοικητὴς* et *τελεῖσι* de sententia Thomæ Magistri verba *τοῦ ἐμοῦ λόγου*

gl. 171. ὁ Ἑρμῆς ἢ ὁ ἀγαπῶν σε δαίμων. — ἐπιτηρητὴς τῆς ἐμῆς τέχνης ἢ σοῦ. * νόει δὲ καὶ τὸ ἐπίτροπος καθολικόν· ὁ θεὸς ὁ ἐπίτροπος πάντων. — 172. * * ταῖς σαῖς. — 173. τὸ ὑπὲρ ἐμοῦ ἢ σοῦ βουλεύεσθαι. — 174. * * φροντίσιν. — † ἐμὸς ὁ βίος δηλονότι. — 175. εἰς τὸ ἑξῆς. — τῆς νῦν. — * * ἄν. — 176. ἐν ᾧ τότε νικήσεις. — κοσμήσειν σε. — 177. * † βοηθὸν τῇ σῇ νίκῃ. — 178. μεταχείρησιν. — φανερὸν διὰ τὸ ὑψηλὸν τοῦ τόπου.

165—179. *Th.* Τοῦτο καὶ ἐπὶ τοῦ Πινδάρου ὑπὲρ ἑαυτοῦ λέγοντος νοοῦσι, καὶ ἐπὶ τοῦ Ἱέρωνος. καὶ ἐπὶ μὲν τοῦ Ἱέρωνος οὕτω· πέποιθα δὲ καὶ θαῤῥῶ μή τινα ἄλλον ξένον καὶ φίλον ἐμὸν δαιδαλωσέμεν καὶ κοσμῆσαι ἐμὲ ἐν κλυταῖς καὶ ἐνδόξοις πτυχαῖς καὶ περιβολαῖς ἐπαίνων, ἴδριν τε καὶ ἐπιστήμονα καλῶν καὶ ἀγαθῶν ἅμα καὶ ὁμοῦ καὶ κυριώτερον καὶ κρείττονα τῶν νῦν ἀνθρώπων κατὰ δύναμιν σώματός τε καὶ πλούτου, ἀμφότερα· τουτέστιν ἐλπίζω, ὡς οὐδένα ἄλλον ὕμνησα ἐμπειρίαν τε ἀγαθῶν ἔχοντα καὶ κρείττονα τῶν νῦν ἀνθρώπων κατὰ δύναμιν. ἐπὶ δὲ τοῦ Πινδάρου οὕτω· πέποιθα δὲ μή τινα ξένον δαιδαλωσέμεν καὶ κοσμεῖν ἐν κλυταῖς πτυχαῖς ἐπαίνων, ἴδριν τε καὶ ἐπι-

---

καὶ τῆς ἡμετέρας γνώσεως, ἤγουν ὁ Ἑρμῆς leguntur, quæ fortasse Germani sunt additamentum.

7 In *b* libri margine hæc adscripsit glossator: ἰστέον ὅτι εὐδείελος λέγεται ὁ καλῶς ἔχων τοῦ ἡλίου καὶ κατὰ τὰ πρὸς ἕωαν καὶ κατὰ τὰ περὶ δείλην καὶ κατὰ τὰ πρὸς ἑσπέραν. — **10** Lemma Πέποιθα δέ omisi cum Γ Α ξ. — **11** νοῦσι Γ. — **12** καὶ ante φίλον om. Γ. — **13** δαιδαλωσαίμεν Α. — κοσμήσειν coni. Beck. — κλυτοῖς μ' ante corr. — **14** ἴδρυν ξ. — ἅμα καὶ ὁμοῦ] καὶ ὁμοῦ Γ, καὶ δὴ cett. Triclinio obsecuti, qui traditam scripturam ἅμα καὶ in ἄλλον καὶ mutavit. — **17** ἐλπίζω om. ξ. — ὡς] καὶ Γ. — τε om. ι'. — **18** κρείττον μ'. — **19** δαιδαλωσαίμεν Γ. — **20** καὶ κοσμήσειν ξ. — ἐν om. Α. — ἴδρυν ξ.

στήμονα καλῶν, ἅμα καὶ κυριώτερον καὶ κρείττονα τῶν νῦν ἀνθρώπων κατὰ τὴν τοῦ λόγου δύναμιν, ἀμφότερα· τουτέστιν ἐλπίζω ὡς οὐδεὶς τῶν ἀνθρώπων ἐπίσταται οὕτως ἐγκωμιάζειν τοὺς φίλους ὥσπερ ἐγὼ καλλίστους ἐγκωμίων τύπους εἰδὼς καὶ κατὰ τὴν τοῦ λόγου δύναμιν πάντας ὑπερέχων. ἔστι δὲ τὸ καλῶν ἴδριν καὶ τὸ δύναμιν κυριώτερον ἰσοδυναμοῦντα πρὸς τὸ ἀμφότερα. διὸ καὶ μετ' ἐκεῖνα τοῦτο λέγω κατὰ τὴν σύνταξιν, εἰ καὶ προηγεῖται κατὰ τὴν φράσιν. ἀγνοοῦντες δὲ πάντες ὄντα ἔξωθεν λαμβάνουσιν. ἔστι δὲ καὶ τὸ θεός πρὸς ἀμφότερον νοούμενον, ὥσπερ καὶ τὸ λίποι· ὁ θεός, ἤτοι ὁ Ἑρμῆς, ἐὼν καὶ ὑπάρχων ἐπίτροπος τῆς ἐμῆς τέχνης, μήδεται καὶ βουλεύεται τὰ ὑπὲρ ἐμοῦ, ἐν τεαῖς καὶ ἰδίαις μερίμναις, ἔχων τοῦτο τὸ βουλεύεσθαι κῆδος καὶ φροντίδα. καὶ πάλιν· ὁ ἐὼν καὶ ὁ ὑπάρχων ἐπίτροπος σὸς θεὸς ἐν τεαῖς καὶ ἰδίαις μερίμναις μήδεται καὶ βουλεύεται τὰ ὑπὲρ σοῦ. εἰ δὲ μὴ ταχὺ καὶ ταχέως λίποι, ἐμὲ μὲν ὁ Ἑρμῆς, σὲ δὲ ὁ σὸς φροντιστὴς θεός, ἤγουν εἰ μὴ ταχέως τοῦ βίου ἀπέλθωμεν, ἔλπομαι καὶ ἐλπίζω ἔτι καὶ εἰς τὸ ἑξῆς, ἐλθὼν παρὰ τὸν εὐδείελον καὶ φανερὸν Κρόνιον λόφον, ἤτοι παρὰ τὴν Ὀλυμπίαν, κλείξειν καὶ ὑμνήσειν σε σὺν ἅρματι θοῷ, εὑρὼν ὁδὸν καὶ μεταχείρησιν λόγων γλυκυτέραν τῆς νῦν ἐπίκου-

---

1 ἅμα καί Γ Δ, ἡ cett. — 4 τρόπους Γ. — 6 ἴδρις Δ ι' μ' φ' et edd. ante Beckium. ἴδρυς ξ'. — 7 τὰ ἀμφ. μ' φ'. — λέγε Δ. — 8 δέ τινες edd. — 9. 10 ἔστι — λίποι ex Γ Δ ι' addidi. — 9 ἀμφοτέρους Δ. — 10 νοούμενος Γ. — ὡς καὶ Γ. — ὁ ex Γ Δ ι' est. — Novum scholium a voce θεός (ὃς ξ') incipiunt edd. inde a Beckio. — ἤγουν ι'. — 12—14 ἔχων — μερίμναις om. ξ'. — 12 τὸ om. Γ. — 13 ὁ post καὶ omm. Δ μ'. — 15 Ante εἰ δέ lemma Εἰ δὲ μὴ ταχὺ λίποι add. Bœckh. — ταχὺ καὶ om. ξ'. — ταχὺ] ταχὺ μὲν Γ. — 16 φρ. ὁ θεός Δ. — 17 ἀπέλθοιμεν μ' φ' ed. Rom., ἀπέλθοιμεν Bœckh. tacite. — τοεξῆς Δ post corr. — 18 περὶ τὴν εὐδείελον ξ'. — καὶ τὸν φαν. μ' φ' edd — 19 κλείζειν Γ φ'. — σὲ Δ.

ρον καὶ βοηθόν. οὐ γὰρ ἐάσει τὴν σὴν νίκην ὑπὸ λήθης ἀφανισθῆναι. κρεῖττον δέ ἐστιν ὑπὲρ τοῦ Ἱέρωνος μόνου ταῦτα λέγεσθαι.

gl. 179. λόφον ἔξωθεν. — σὺν. — ἰσχυρώτατον· ἤγουν πολλὰ δύναται ἐν ἐμοὶ ἡ Μοῦσα.

180. *Germ.* Ἐγὼ μὲν τιμῶμαι ἐν τῷδε τῷ τόπῳ καὶ τῇδε τῇ χώρᾳ, ἄλλοι ποιηταὶ δὲ ἐν ἄλλοις· ὁ δὲ βασιλεὺς ἐν παντὶ τόπῳ τιμᾶται. τὸ δὲ βέλος ἀλκᾷ τρέφει ἀντὶ τοῦ τὴν ἀλκὴν τρέφει καὶ αὔξει.

Germ. Ἄλλοι δ' ἄλλοισι μεγάλοι] ἐν ἄλλοις δὲ τόποις καὶ χώραις ἄλλοι ποιηταὶ τυγχάνουσι μεγάλοι καὶ ἔνδοξοι.

gl. 180. ** ἀντὶ τοῦ λόγου. — δυνάμει. — αὔξει· — ** φυλάττει. — πράγμασι.

181. *Tr.* Τὸ δ' ἔσχατον] τὸ ἐξοχώτατον, ἤγουν τὸ τῆς δυνάμεως καὶ εὐδαιμονίας ἀκρότατον οἱ βασιλεῖς ἔχουσιν.

gl. 181. ** ὡς ἐγώ, εἰς λόγον δηλονότι· τοῦτο γὰρ νοεῖται. — † ἤτοι τὸ μέγιστον τῶν ἄλλων.

182. *Germ.* Πόρσιον] μακρότερον καὶ μεῖζον καὶ ὑψηλότερον τῆς βασιλείας.

gl. 182. ** μηδαμῶς. — 183. σκόπει. — προσωτέρω, ἤγουν μὴ ζήτει δύναμιν μείζονα· — ** ἤγουν περαιτέρω, τὴν βασιλείαν ἔχων.

184. *Germ.* Ἐπίλογος, εὐχὴ δευτέρα. § εἴη σέ τε τοῦτον

---

1 σήν omm. edd. inde a Beckio. — **2** ὑπέρ] ἐπὶ Γ. — μόνον μ'. — **6** τῇδε Mommsen addidit. — **7** δὲ ἐν] καὶ ἐν Mommseni ed. — **10** Hoc scholium non ab eodem quo prius auctore scriptum esse videtur. — **14** Scholium Tricl. ad v. 181 in ξ' minio scriptum, in ι' a prima manu in margine adscriptum est. — δ' omm. μ' φ' et edd. ante Beckium, qui tacite addidit. — **15** ἀκρότερον μ' ante corr. — **18** μακρότερον excidit apud Mommsenum. — Prius scholii comma in scholio vet. ad v. 184 inter lemma et verba ὁ νοῦς, alterum, cui verba ἢ ἄλλως præfixa sunt, in calce eiusdem scholii legitur.

τὸν χρόνον. οὐχὶ τὸν ἐνεστῶτα δηλοῖ, ἀλλ' ὅλον τὸν χρόνον τῆς ζωῆς τοῦ Ἱέρωνος.

gl. 184. ** εἴθε. — τὸν τῆς σῆς ζωῆς. — 185. ** ἐπὶ μετεώρου σχήματος. — βαίνειν. — 186. τοσοῦτον.

187. *Th.* Τὸ σοφίᾳ προφαντὸν οὐχ ὁμολογουμένως λέγει, ἀλλ' εὔχεται τοῦτο δοκεῖν, καὶ ἔχει τὴν δύναμιν πρὸς τὸ τοσάδε. δέον γὰρ οὕτως εἰπεῖν· ἐμὲ δὲ εἴη τοσοῦτον ὁμιλεῖν τοῖς νικηφόροις, τουτέστι τοιούτους τοὺς ὑπερ αὐτῶν ὕμνους ποιεῖν, ὡς εἶναι προφαντὸν καὶ ὑπέρτατον πανταχοῦ εἰς τοὺς Ἕλληνας ἐν τῇ σοφίᾳ· δέον οὕτως εἰπεῖν πρὸς μετοχὴν τὸν λόγον ἔτρεψε καὶ ἀντὶ τοῦ εἰπεῖν εἶναι, ὄντα εἶπεν.

gl. 187. συνεῖναι δι' ἐγκωμίων. — * φανερώτατον καὶ ὑπέρτατον. — 188.** ὄντα. — πανταχοῦ.

137—188. *M.* Ὧς ἔννεπεν ἀντὶ τοῦ εἶπεν οὐδὲ λόγων

---

5 Τὸ ante σοφίᾳ deest, τοῦτο, quod etiam μ' φ' exhibent, post ὁμολογ. additum legitur in edd. — προφατὸν Α, πρόφαντον Triclinii lectio est in codd. mixtis et edd. — οὐχ] οὐχ ὡς Γ. — 6 πρὸς τὸ σάδε μ'. — 8 ὑπὲρ αὐτοῦ [Γ?] edd.; confer Beckium: »Poterat esse ὑπὲρ αὐτῶν scil. νικηφόρων, sed Schol. forsan retulit ad Hieronem.« — 9 πρόφαντον codd. mixti et edd. — ἐν] εἶναι ἐν μ'. — 10 δέον οὕτως εἰπεῖν omm. [Γ?] edd. — 12 ὄντα εἶπε Γ. — 14 Singulæ particulæ scholii Moschopulei ad vv. 137—188 in codd. et edd. sic dispositæ sunt: In q inter τελεσθῆναι et τὸν μέν (p. 100, 1) scholia Moschopulea ad vv. 132. 136 inserta sunt; cetera sicut ex a edidimus in eo libro leguntur. In codicibus mixtis (ι' μ' ξ' φ') post schol. Triclinianum (glossam Thom.) ad v. 140 hæc sequuntur: p. 99, 14 — p. 101, 4, scholia Thomana ad vv. 142, 146, scholium Triclinianum ad v. 146, Thomanum ad v. 149, Mosch. p. 101, 4 — p. 101, 15, schol. Tricl. ad v. 158, Thom. ad vv. 159. 162, Mosch. p. 101, 15—102, 4 Thom. ad vv. 165—179, Mosch. p. 102, 4 usque ad finem. Ab

ἐφήψατο ἀδυνάτων τελεσθῆναι. τὸν μὲν (139) τιμῶν ὁ θεὸς ἔδωκεν ἅρμα χρυσοῦν καὶ ἵππους ὑποπτέρους ἀντὶ τοῦ ταχυτάτους· οὐ γὰρ πτερωτοὶ ἦσαν· ἀκαμάτους ἤγουν οὐ κοπιῶντας. ἕλεν δέ (142), ἀντὶ τοῦ καθεῖλε τὴν ἰσχὺν τοῦ Οἰνομάου, περιφραστικῶς ἀντὶ τοῦ τὸν Οἰνόμαον. ἕλεν, ἤγουν ἔλαβε καὶ τὴν παρθένον τὴν Ἱπποδάμειαν σύνευνον. ἔτεκε δέ (144), ἀντὶ τοῦ ἐγέννησεν υἱοὺς ἕξ, λαῶν ἡγεμόνας, ἀνδραγαθίαις ἐν φροντίδι ὄντας· ἀντιστρόφως ἀντὶ τοῦ οἷς ἀνδραγαθίαι ἦσαν ἐν φροντίδι. νῦν δὲ (146) ἤνωται ἐν περιφανέσιν αἱμακουρίαις, ἤγουν χοαῖς

---

hoc ordine ξ', in quo scholia ad vv. 162—179 (*Κρόνιον*) una cum textu carminis ab alia manu scripta sunt, eo tantum recedit, quod paraphrasim Moschopuleam p. 101, 15—102, 4 omittit. Editiones cum mixtis consentiunt, nisi quod in initio post *ὣς ἔννεπεν ἀντὶ τοῦ εἶπεν* scholium Thomanum ad v. 137, cui verba *οὐδὲ λόγων ἐφήψατο ἀδυνάτων τελεσθῆναι* adsuta sunt, tum præmisso lemmate *τὸν μὲν ἀγάλλων* paraphrasim Moschopuleam *τὸν μὲν — τιμῶν — πτερωτοὶ ἦσαν*, et scholium Triclinianum (glossam Thomanam) ad v. 140 exhibent; tum demum sequitur *ἀκαμάτους ἤγουν οὐ κοπιῶντας* etc. — **14** *σύνταξις* margo μ' ξ'. — *ὣ* ξ', *οὕτως* bq, qui non incipiunt novum comma; b etiam verba *ἔννεπεν, ἀντὶ τοῦ* omittit. — *οὕτως* ante *εἶπεν* addunt codd. mixti. — *οὐδὲν* ι'', *ὃ δὲ* ξ'.

1 *ἀφήψατο* ι'', *ἐφίψατο* ξ'. — Ante *τὸν μεν* (*τῶν μὲν* q) lemma *Τὸν μὲν ἀγάλλων* add. edd. — **2** *ἔδωκε δίφρον, ἅρμα* edd. — *ὑπὸ πτέρους* q. — *ταχυτάτου* ι''. — **3** *οὐ γὰρ οὐ πτερ.* a. — Ante *ἀκαμάτους* (*ἀκαμάντους* ι'' φ' ac) lemma *ἀκάμαντας* add. Bœckh. — *ἤγουντοι* ι'', — *ἤγουν* om. a. — *μὴ κοπ.* q. — **4** *ἕλεν δέ* ab ι'' μ' φ', *ἕλε δέ* cett. — *καθεῖλεν* ι''. — **5** *τὸν* om. ι''. — **6** *παρθένον* om. a. — *τὴν* omm. a ι''. — *ἱπποδάμειαν* q. — **7** *υἱούς*] *ἀγούς* ι'', *παῖδας* (suprascr. *υἱούς*) μ', *υἱούς* (*γράφεται παῖδας* in marg.) φ'. — Inde a voce *ἀνδραγαθίαις* scholia Moschopulea leguntur in z, confer quæ ad p. 84, 5 annotavi. — *ἀνδραγαθίας* ξ'. — **8** *ἀνδραγαθίαις* z. — *φροντίσι* ξ'. — **9** *ἤνωται* q, *ἤνεκται* z. — *περιφαναῖσιν* μ' φ' et edd. ante Heynium, qui etiam de *περιφάντοις* cogitabat.

δι' αἱμάτων, ἃς συνήθως ἐτέλουν τοῖς ἀποθανοῦσι, πεσών (148), τουτέστι ταφεὶς παρὰ τῷ ῥεύματι τοῦ Ἀλφειοῦ, τύμβον ἔχων περιπολεῖσθαι δυνάμενον διὰ τὸ μὴ πλησιάζειν τινί, παρὰ βωμῷ, ἔνθα πλεῖστοι ξένοι ἀθροιζόμενοι ἠγωνίζοντο. τὸ δὲ κλέος (151) τῶν Ὀλυμπιάδων δέδορκεν ἀντὶ τοῦ βλέπεται, περιφανές ἐστιν ἐκ μακροῦ, ἐν τοῖς δρόμοις, οὓς ἔδραμεν ὁ Πέλοψ ἐρίζων τῷ Οἰνομάῳ, ὅπου (154) ταχυτὴς ποδῶν ἁμιλλᾶται καὶ ἀκμαὶ ἰσχύος γενναῖα καὶ ἀνδρικὰ ἐργαζόμεναι. τοῦτο γὰρ τὸ θρασύπονοι. ὁ δὲ νικῶν (157), ἐν τούτῳ δηλονότι τῷ ἀγῶνι, περὶ τὸν ἐπίλοιπον αὐτοῦ βίον ἔχει εὐδίαν, ἤγουν ἠρεμίαν γλυκεῖαν ἕνεκα βραβείων τούτου τοῦ ἀγῶνος, τουτέστιν ἡσυχάζει μετὰ γλυκύτητος, οὐ ζητῶν βραβεῖα ἑτέρου ἀγῶνος, ἅτε δὴ τῶν μεγίστων τετυχηκώς. ἀεὶ δὲ τὸ ἀγαθὸν (159) τὸ κατὰ τὴν παρεστῶσαν ἡμέραν, ἤγουν τὸ ἐνεστώς, κράτιστον ἔρχεται, ἀντὶ τοῦ δοκεῖ, παντὶ ἀνθρώπῳ. ἐμὲ δὲ (162) χρὴ ἐγκωμιάσαι ἐκεῖνον ὃν ὑπεθέμην δηλονότι, τουτέστι τὸν Ἱέρωνα, κατὰ τὸν νόμον τὸν ἁρμόζοντα τοῖς ἱππικοῖς διὰ μολπῆς, ἤγουν ᾠδῆς, Αἰολίδος, ἤγουν

---

1 συνήθους ι''. — ταφεὶς ἤγουν ante πεσών add. b, non male. — 2 τουτέστι a (? ex quo τί δε enotavi) b ι'' μ' ξ' φ', ἀντὶ τοῦ qz et edd. — 3 τινα z. — 4 πολλοὶ ξ. συναθρ. est in glossa Mosch. in codd. mixtis. — Ante τὸ δέ lemma τὸ δὲ κλέος τηλόθεν addunt ι'' μ' ξ' (in quorum margine σύνταξις legitur) φ'. — 6 οὓς] οἷς z. — 7 τῷ] τὸ ξ'. — ταχύτης a. — 8. 9 θρασύπονον z. — 9 ἐν τ. τῷ ἀγ. δηλονότι q, δηλονότι ἐν τούτῳ τ. ἀγ. z. — 10 αὐτοῦ βίον om. z. — ἔχει εὐδημίαν z. — 11 τούτου τοῦ ego scripsi pro eo quod ex versu sequenti irrepsit ἑτέρου, quod omn. edd. — 11. 12 Verba τουτέστιν — ἀγῶνος om. ι'', a m. 1. in marg. addita sunt in φ'. — μετὰ τῆς γλυκυτάτης μ' ξ' φ'. — 14. 15 δοκεῖν ἀνθρώπῳ παντί q. — 15 Ante ἐμέ lemma † ἐμὲ δὲ χρὴ ι'' μ', σύνταξις in marg. add. μ' φ'. — δὲ] εἰ z. — χρὴ a b q ι'', πρέπει cett. (in ξ' deest ἐμὲ δὲ — ἐξακουομένας, conf. quæ ad p. 99, 14 annotavi). — 16 τὸν ante νόμον om. z. — 17 τοῖς ἱππικῆς q. — αἰολῇδος bz.

θηβαικῆς ἢ Πινδαρικῆς. πέποιθα δὲ (165) μηδένα ἄλλον φίλον ἀπὸ τῶν νῦν κατὰ τὰ ἀμφότερα καὶ καλῶν ἔμπειρον καὶ κατὰ ἰσχὺν ἐπικρατέστερον, κοσμήσειν στροφαῖς ὕμνων κλυταῖς, τουτέστι μετεώρῳ φωνῇ ᾀδομέναις καὶ ἐξακουομέναις. ὁ θεός (171), ὦ Ἱέρων, ἐπίτροπος ὤν, ἤγουν τὴν φροντίδα ἀναδεδεγμένος τῶν σῶν μεριμνῶν, τουτέστι τῶν περὶ σοῦ, ἃς ἐγὼ δηλονότι φροντίζω περὶ σοῦ βουλεύεται ἔχων ταύτην τὴν φροντίδα. εἰ δὲ μὴ ταχέως λίποι (174), ἔτι ἂν ἐλπίζω δοξάσειν σε σὺν ἅρματι ταχεῖ, δι᾽ οὗ σὺ δηλονότι νικήσεις, ἀπελθὼν διὰ τῶν ἐγκωμίων παρὰ τὸν Κρόνιον λόφον τὸν εὐδείελον, ἤγουν τὸν μετέωρον καὶ καλῶς ἔχοντα τοῦ ἡλίου κατὰ τὰ πρὸς ἑσπέραν καὶ τὰ περὶ δείλην ἑώαν, εὑρὼν βοηθὸν ὁδὸν λόγων γλυκυτέραν. ἐμοὶ (179) μὲν οὖν ἡ Μοῦσα βέλος, ἀντὶ τοῦ λόγον, τρέφει, τουτέστι περιέπει, φυλάττει, κρατερώτατον κατὰ τὴν ἰσχύν· ἐπ᾽ ἄλλοις δὲ πράγμασίν εἰσιν ἄλλοι μεγάλοι· τὸ δὲ μέγιστον τῶν ἄλλων μέγεθος ἐπὶ τοῖς βασιλεῦσίν ἐστιν ηὐξημένον τὴν ἔξοχον αὐτοῦ αὔξησιν. μὴ ἀπόβλεπε (183) πόρσιον, ἤγουν περαιτέρω, τὴν βασιλείαν

---

1 πινδαρικοῖς φ'. — δέ om. a in fine versus. — φίλον omm. μ' φ'. — 2 τὰ omm. bq. — καὶ καλόν z μ' φ'. — 2. 3 κατὰ τὴν ἰσχύν codd. præter a q z μ' (τὴν habet etiam b). — 4 μετεώρων z. — καὶ ἐξακ. omm. μ' φ'. — Ante ὁ θεός lemma θεὸς ἐπίτροπος (ὁ θ. ἐπ. ξ') add. codd. mixti; σύνταξις margo μ' ξ'. — ὁ omm. q ξ'. — 5 ὦ] ὁ z. — ὦ ὦ ἱ. ἐπ. ὢν ξ'. — δεδεγμένος ι'', ἀναδεδειγμένος bq. — 6 περί σου a ι'', περὶ σοῦ z μ' ξ' φ', περὶ σὲ cett. — 7 καὶ βουλ. ξ'. — βουλεύεται. ἔχω z. — ἐλπίδα z ac. — 8 ἐλπίσω q. — δοξάζειν ι''. — 10 π. τῶν κρόνιον ι''. — καὶ om. ξ'. — 11 ἔχοντα om. q. — τὰ κατὰ (om. τὰ) μ'. — 12 τὴν ante δείλην omisi cum a b q z ι'' μ' φ'. — Ante ἐμοὶ lemma ἐμοὶ μὲν ὦν add. [a!] codd. mixti et edd., omm. [a!] bq. — σύνταξις margo μ' φ'. — 13 οὖν om. ι''. — διέπει [q!] edd. — 14 κρατερώτατον ex a z ι'' enotavi, καρτ. cett., ut vid. — παρά ξ'. — Cum voce ἰσχύν expliciunt scholia ad Ol. I in z. — 16. 17 αὔξησιν: — μὴ q. — 17 ἤτοι ι''.

δηλονότι ἔχων. εἴθε εἴη σέ τε ταύτην τὴν ἐνισταμένην ζωὴν διέρχεσθαι ὑψοῦ, τουτέστιν ἐπὶ μετεώρου σχήματος καὶ κράτος ἁπάντων ἔχοντος, καὶ ἐμὲ τοσσάδε, ἀντὶ τοῦ τοιάδε, ὁμιλεῖν τοῖς νικηφόροις, προφανῆ ὄντα κατὰ σοφίαν πανταχοῦ κατὰ τοὺς Ἕλληνας.

---

1 τὴν om. a. — 2 ἔρχεσθαι μ' φ'. — 3 τοσσάδε ex ab est, τὸ σάδε μ', τοσάδε cett

---

Ἐπίνικοι Ὀλυμπιονίκαις.

Θήρωνι Ἀκραγαντίνῳ ἅρματι. Ὠιδὴ β'.

[Δημητρίου Τρικλινίου]

περὶ τῶν κώλων τῶν τε στροφῶν καὶ ἀντιστροφῶν τοῦ β' εἴδους. Ἔστι δὲ τὸ ᾆσμα στροφῶν ε'. Παλαιόν.

Τοῦ β' εἴδους αἱ στροφαὶ καὶ ἀντιστροφαὶ κώλων ἑκάστη ιδ'. Τὸ α' περιοδικόν, ἤτοι β' ἴαμβοι καὶ β' τροχαῖοι. καλεῖται δὲ περιοδικόν, ὅτι οὐκ ἔστι μέτρου τι εἶδος ἢ ἰαμβικοῦ ἢ τροχαϊκοῦ ἢ ἑτέρου τινός, ἀλλ' ἁπλῶς περίοδος καλεῖται τὸ ὑπεράνω τῶν δ' συλλαβῶν σύστημα· μέχρι γὰρ δ' συλλαβῶν γνώριμοι οἱ πόδες, τὸ δὲ πλέον περίοδος. Τὸ β' Ἰωνικὸν δίμετρον καταληκτικὸν ἀπὸ τροχαίων, διαλελυμένου τοῦ α' εἰς γ' βραχείας. Τὸ γ' ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, πλὴν ὁ α' ἀντίσπαστος διαλύεται εἰς β' βραχείας καὶ μακρὰν α', καὶ ἡ κατακλεὶς ἰαμβική. ἐμοὶ δὲ δοκεῖ ὡς Ἰωνικόν ἐστι δίμετρον ἀκατάληκτον

Hoc scholium metricum, quod ex meis codd. *ι'' μ' ξ'* habent, ex cod. Cizensi edidit Hermann in ed. Heyn. T. III. P. I. p. 206 sq., cuius correctiones a Mosc. B. firmari refert Bœckh. In novissima Heynii editione etiam cod. Aug. ab Hermanno consultus reperitur.

3 *τῶν τε στρ.* ξ', recte; cfr. p. 44; *τε* omm. cett. — **4** *Παλαιόν* ante *ἔστι* est in edd., deest in *ι''*, super titulum scriptum legitur in *μ'*. — **5** *ἑκάστη* om. *ι''*. — **6** *καὶ δύ* *ι''*. — **8** *ὑπὲρ ἄνω* *μ'*. — **9** *γάρ* om. *ι''*. — **10. 11** *καταληκτικῶν* *ι''* (*κὸν* adscripsit m. 1 in marg.). — **12. 13** Vocem *ἀντίσπαστος* bis habet *μ'*. — **14** *δὲ* om. *μ'*.

τῆς α΄ μακρᾶς τοῦ Ἰωνικοῦ διαλυθείσης εἰς β΄ βραχείας, τοῦ δὲ β΄ ποδὸς παίωνος ὄντος β΄ ἀντὶ Ἰωνικοῦ, ἔν τισι δὲ καὶ διϊάμβου διὰ τὴν ἀδιάφορον. Τὸ δ΄ χοριαμβικὸν δίμετρον καταληκτικὸν ἀπὸ ἰαμβικῆς συζυγίας, ἤτοι τοῦ α΄ σπονδείου. Τὸ ε΄ ἰαμβικὸν δίμετρον βραχυκατάληκτον· ὁ β΄ ποὺς χορεῖος. Τὸ ς΄ ἀντίσπαστος καὶ συλλαβή. ἔν τισι δὲ διαλύεται ὁ ἀντίσπαστος κατὰ τὴν β΄ μακρὰν καὶ γίνεται πεντασύλλαβος. Τὸ ζ΄ Ἰωνικὸν ἀπ᾽ ἐλάσσονος δίμετρον καταληκτικὸν ἀπὸ τροχαίων· τοῖς Ἰωνικοῖς γὰρ οἰκεῖοι οἱ τροχαῖοι. Τὸ η΄ Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον· ὁ β΄ δὲ ποὺς διίαμβός ἐστι πεντασύλλαβος. ἐντεῦθεν δὲ μανθανέτω πᾶς, ὡς καὶ ἐν τοῖς Ἰωνικοῖς εὑρηνται ἴαμβοι, ἀλλ᾽ οὐ μόνον τροχαῖοι. Τὸ θ΄ παιωνικὸν δίμετρον ἀκατάληκτον ἐκ παίωνος δ΄ καὶ Κρητικοῦ. Τὸ ι΄ ἀντισπαστικὸν δίμετρον καταληκτικὸν εἰς συλλαβήν· τετρασύλλαβοι γὰρ οἱ πόδες. ἡ τελευταία ἀδιάφορος· ἔν τισι μὲν γάρ ἐστιν ὁ β΄ ποὺς τρίβραχυς, ἔν τισι δὲ ἀνάπαιστος. Τὸ ια΄ ὅμοιον τῷ ς΄. Τὸ ιβ΄ ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον. Τὸ ιγ΄ ἰαμβικὸν ἑφθημιμερές· ὁ γ΄ ποὺς τρίβραχυς. Τὸ ιδ΄ ἰαμβικὸν δίμετρον βραχυκατάληκτον· ὁ γ΄ ποὺς τρίβραχυς ἢ ἀνάπαιστος. ἑξῆς δὲ ἐφ᾽ ἑκάστῃ στροφῇ καὶ ἀντιστροφῇ παράγραφος.

Περὶ τῶν κώλων τῶν ἐπῳδῶν.

Αἱ ἐπῳδοὶ κώλων η΄. Τὸ α΄ χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον. ἡ α΄ συζυγία ἰαμβικὴ ἐκ σπονδείου· συγγενεῖς γὰρ τῷ χοριάμβῳ οἱ ἴαμβοι. Τὸ β΄ χοριαμβικὸν δίμετρον ὑπερκατάλη-

---

2 *παίονος* ι΄΄, *παιῶνος* μ΄. — *καὶ* om. ξ΄. — **3** *τὸ δὲ δον* ι΄΄. — **10** *ποὺς ἴαμβος* ξ΄. — **10. 11** *ἐνταῦθα* ξ΄. — **12** et **13** *παιονικόν* et *παίονος* (sic fere semper) ι΄΄. — **13** *ἀναπαιστικόν* ξ΄. — **14. 15** *τελευταῖα* μ΄. — **15** *γὰρ ἔστιν* ξ΄. — **17** *εὐθημιμερές* μ΄. — **19. 20** *ἑκάστη στροφὴ κ. ἀντιστροφή* ξ΄. — **21** Inscriptionem om. ξ΄. — **22** *Αἱ ἐπωδοὶ* ι΄΄ more Tricliniano, *ἑκάστη ἐπωδὸς* cett. — **23** *γὰρ* om. ξ΄.

κτον, ἀρχόμενον ἀπὸ τροχαίων, ὃ μᾶλλον ἐπιχοριαμβικὸν καλεῖται διὰ τὸ τῶν τροχαίων ἀνοίκειον. Τὸ γ´ ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον, ὃ καὶ ἡμιόλιον λέγεται διὰ τὸ ἔχειν τόν τε ὁλόκληρον πόδα καὶ τὸ ἥμισυ τούτου. Τὸ δ´ παιωνικὸν δίμετρον ἀκατάληκτον, ὅμοιον τῷ θ´ τῆς στροφῆς. Τὸ ε´ ἰαμβικὸν δίμετρον ἀκατάληκτον· ὁ β´ ποὺς τρίβραχυς. Τὸ ς´ μικτὸν τροχαϊκὸν ἀπὸ ἰαμβικῆς συζυγίας τρίμετρον ἀκατάληκτον· εἰς τὸ Λάϊον (v. 70) *συνίζησις. Τὸ ζ´ Ἰωνικὸν δίμετρον ἀκατάληκτον. ἔν τισι δὲ καὶ ἐκ παίωνός ἐστι καὶ διϊάμβου. Τὸ η´ ἰαμβικὸν μικτὸν ἀπὸ τροχαίων τρίμετρον καταληκτικόν. ἐμοὶ δὲ δοκεῖ ἀντισπαστικὸν εἶναι ἐξ ἐπιτρίτου β´ καὶ διϊάμβων. οἰκεῖοι γὰρ οἱ πόδες ἀντισπάστῳ. Ἐπὶ τῷ τέλει ἑκάστης ἐπῳδοῦ τὰ ῥηθέντα σημεῖα.*

Th. Γέγραπται ὁ ἐπινίκιος Θήρωνι Ἀκραγαντίνῳ ἐν ἅρματι νικήσαντι τὴν οζ´ Ὀλυμπιάδα. ἦν δὲ ὁ Θήρων ἀνέκαθεν ἀπὸ Οἰδίποδος. ἐκήδευσε δὲ Γέλωνι τῷ τυράννῳ ἐπιδοὺς αὐτῷ τὴν θυγατέρα Δημαρέτην, ἀφ᾽ ἧς καὶ τὸ Δημαρέτειον προσωνομάσθη νόμισμα. καὶ αὐτὸς δὲ ὁ Θήρων τὴν Πολυζήλου ἀδελφὴν καὶ Ἱέρωνος ἔγημε, καθά φησι Τίμαιος. ἦν δὲ ὁ Θήρων υἱὸς Αἰνησιδάμου.

---

3 *καλεῖται* ι´´. — **3. 4** *τό τε* ι´´. — **4** *τὸ* ante *ἡμ.* om. ξ´. — **5. 6** *ὅμοιον — ἀκατάληκτον* om. ξ´. — **5** *τῆς στροφῆς* ex ι´´ μ´ est pro *τῶν στροφῶν*. — **5. 6** *τὸ πέμπτον — τρίβραχυς* add. miniator in marg. libri μ´. — **9** *καὶ* om. ξ´. — *καὶ* om. ξ´. — **11** *καὶ ἰάμβων* ι´´ ξ´.

Scholia in *z σχόλια τῆς β´ ᾠδῆς*, in ι´´ *σχόλια τῶν αὐτῶν* inscripta sunt; idem titulus in μ´ φ´ ante schol. ad v. 1 legitur. — **14** Scholia Thomana ad inscriptionem carminis et ad v. 1 ex scholl. vett. sumpta sunt. — **9.** *τῷ ἀκραγ.* z ι´´ ξ´ φ´. — *ἐν* omm. edd. — **16** *δοὺς* edd. — **18. 19** *ὁ Θήρων τὴν Πολυζήλου ἀδελφὴν καὶ Ἱέρωνος ἔγημε θυγατέρα* edd. in scholl. vett. cum optimis codicibus. — **19** *ἔγημεν* ι´´. — *ἐνησιδάμου* z μ´, *ἐνηδιδάμου* φ´.

τοῦτον οὖν τὸν Θήρωνα τεθρίππῳ νικήσαντα ὑμνήσομεν. καὶ οὗτος δὲ νοῦς αὐτοῦ.

1. *Germ.* *Ἀναξιφόρμιγγες]* *ἀναξιφόρμιγγα τὸν ἀνάσσοντα τῆς φόρμιγγος καὶ τὸν ἀνασσόμενον ὑπ' αὐτῆς. λέγει δὲ ὁ ποιητὴς πρὸς τοὺς ὕμνους καὶ πρὸς τὰ ποιήματα, πρὸς τὴν ἑαυτοῦ ψυχήν.*

Th. *Ἀναξιφόρμιγγες ὕμνοι]* *οἱ τῆς φόρμιγγος ἀνάσσοντες· πρῶτον γὰρ τὰ ᾄσματα συντίθενται, εἶτα οὕτω καὶ πρὸς αὐτὰ ἡ λύρα ἁρμόζεται· ἢ οἱ ὑπὸ τῆς φόρμιγγος ἀνασσόμενοι· πρῶτον γὰρ ἔκρουον, εἶτα τὰ ᾄσματα ᾖδον, ὥς φησιν Ὅμηρος* (Od. *α* 155)·

Ἦτοι ὃ φορμίζων ἀνεβάλλετο καλὸν ἀείδειν.

M. *Ἀναξιφόρμιγγες]* *ἤγουν ἄνακτες τῆς φόρμιγγος· ὑπουργὸς γὰρ ἡ φόρμιγξ τῶν ὕμνων καὶ πρὸς αὐτοὺς αὐτὴ ἁρμόζεται. καὶ τοὔνομα δὲ ἐνέργειαν δηλοῖ ἀεὶ καὶ οὐδέποτε πάθος, ὡς τὸ ἀλεξίκακος καὶ παυσίκακος καὶ πλήξιππος, καὶ ἀλεξιάρη παρ' Ἡσιόδῳ (ἐκὴ* 464).

---

1 Hæc inde a *τοῦτον* e codd. Thomm. addidi. — *τοῦτο Γ.* — *οὖν]* *δὲ Δ.* — *ὑμνήσομεν Γ* et sic vel *ὑμνήσωμεν* est in scholio vet. ad v. 8, *αἰνεῖ Πίνδαρος Δ*, qui solus verba *καὶ οὗτος δὲ ὁ νοῦς αὐτοῦ* servavit. — 3 *ἀναξιφόρμιγγα* ego addidi. — 5 Post *ποιητὴς* fort. *οὐ μόνον*, post *ποιήματα* autem *ἀλλὰ καὶ* addendum est. — 7 Scholium Thomanum ad v. 1 quod *Δ* inter glossas habet, cultro mutilatum est in *Γ*. — Lemma num *Γ* habuerit incertum est. — 8 *τὰ* fort. om. *Γ.* — *συντίθεται ι''*. — 8. 9 *εἶθ' οὕτω πρὸς αὐτὰ καὶ ἡ λύρα ἁρμ.* schol. vet. — *οὕτως* (om. *καὶ*) *Γ*, ut videtur. — 9 *πρὸς αὐτὸν* (?) *Γ.* — *ἢ οἱπὸ μ'* ; — *οἱ* in ras. habet *ε*, omm. *Γ*(?) *ξ'*. — *τῆς* om. *ι''*. — 10 *ᾖδον* om. *Γ*, *ἐπῇδον* est in edd., sed *ᾖδον* habet etiam schol. vet. — 12 *ὃ* ex *ε φ'* Rom. est, *ὁ* cett. — *ἄειδεν ε μ'*, *ἄεῖδεν φ'*. — 13 Scholia Mosch. ad vv. 1. 2 in codd. mixtis post schol. Thom. ad v. 5 leguntur. — 14 *γὰρ]* *δὲ ι'' μ' ξ' φ'*. — *αὐτοὺς* om. *q*. — 15 *δὲ ἀεὶ ἐν. δ. ξ'*. — 16 *πασίκακος καὶ πλέξιππος a*. — 17 *ἀλεξιαρὴ μ' φ.* — *παρ' ὁμήρῳ ξ'*.

gl. 1. *οἱ τῆς φόρμιγγος ἀνάσσοντες.* — ** *ὦ.*

2. M. *Τίνα θεόν] θεὸν βουλόμενος καὶ ἥρωα καὶ ἄνθρωπον ὑμνῆσαι, ἵν' εὐπορίαν σχῇ φανερὰν τὴν ἑαυτοῦ καταστῆσαι γνώμην, ἐν ἐρωτήσει σχηματίζει τὸν λόγον· ποιεῖται δὲ τὴν ἐρώτησιν πρὸς τὴν ἑαυτοῦ Μοῦσαν τὴν συντιθεῖσαν τοὺς ὕμνους· τοὺς ὕμνους γὰρ τίθησιν ἀντὶ τῆς δυνάμεως τῆς συντιθείσης αὐτούς. εἶτα οὐ γυμνὰ ἐπάγει τὰ ὀνόματα τῶν ὑμνηθησομένων, ἀλλὰ μετὰ τῶν αἰτιῶν, δι' ἃς αὐτοὺς ὑμνεῖν βούλεται, ἵνα καὶ τὸ προσῆκον ἀποδιδοῖτο τοῖς ἐγκωμιαζομένοις. φησὶ γάρ· ὦ ὕμνοι ἄνακτες τῆς φόρμιγγος, τίνα θεὸν μέλλομεν ὑμνήσειν, τίνα ἥρωα, τίνα δὲ ἄνθρωπον; ἡ Πίσα* (4) *μὲν δή ἐστι τοῦ Διὸς ἱερά, ὥστε δηλονότι ὑμνητέον ἐστὶ θεὸν τὸν Δία· τὴν Ὀλυμπιάδα δέ, ἤγουν τὸν ἀγῶνα τὸν ἐν τῇ Πίσῃ ὁ Ἡρακλῆς ἔστησε, τουτέστι συγκροτεῖσθαι ἐποίησεν, ἀκρόθινα* (7) *πολέμου, ἀντὶ τοῦ ἐξαίρετον ἀνάθημα ὃ παρέσχεν ὁ πόλεμος, ὃς ἐπολεμήθη δηλονότι αὐτῷ πρὸς Αὐγείαν, ἐπεὶ οὐκ ἐδίδου αὐτῷ ὁ Αὐγείας τὸν συμπεφωνημένον τῆς ἐξαιρέσεως τῆς κόπρου τῶν θρεμμάτων αὐτοῦ μισθόν. πρέπον δὴ οὖν δηλονότι καὶ ἥρωα ὑμνεῖν τὸν Ἡρακλέα.*

---

2 *σύνταξις* sine cruce adscriptum est in marg. *μ'*, cum cruce in marg. *φ'*. — *βουλ. καὶ θεὸν καὶ ἥρωα ξ'*. — **3** *ὑμνῆσιν* (sic) *a*. — *ἀπορίαν μ'*. — *σχῇ πρὸς τὸ φαν.* edd. — *τὴν αὐτοῦ z ι'' μ' φ'*, *τὴν αὐτὴν ξ'*. — **4** *ποιῆται q*. — **6** *ἀντὶ τοῦ δυν. z*, *ἀντὶ τοῦ τῆς δυν. φ'*. — **7** *ἐπάγοι μ' φ'*. — **8** *αὐτὸν ὑμνεῖν z*. — **9** *ἀποδιδοῖ τὸ a*, *ἀποδιδοῖ ξ'*. — *σύνταξις* ad *φησὶ γὰρ* adscriptum est in *ι''*. — **10** *δὲ* omm. *z μ' ξ' φ'* ad mentem Thomæ Magistri (non Triclinii). — **11** *πίσσα μὲν δή ἐστιν ἱερὰ τοῦ διός q*, atque *ἐστὶν ἱερὰ* est glossa Mosch. ad *Διός*. — *διὸς ἡ ἱερὰ ξ'*. — *δηλονότι*, quam vocem etiam glossa Mosch. habet, ex *a q ι'' ξ'* addidi. — **13** *τῇ* ex *aq* est. — *πίσση q*. — *ἔστησε* om. *μ'*, *τουτ. συγκρ. ἐπ.* om. *ξ'*. — *συγκροτῆσαι q μ'*. — **14** *ἀκροθόνια* unus librorum Bœckhii, sed cf. etiam Mommsenum Annot. Suppl. p. 14: »mei Sch. Rec. Testes (*Σμ'ν'*) et illo et duobus aliis locis nihil variant«. — *ἐξ. ἀγῶνα καὶ ἀνάθημα μ'*. — **15. 16** *πρ. τὸν αὐγ. ι''*. — **16** *ὁ Αὐγείας* omm. edd. — *τοῦ συμπεφωνημένου z*. — **17** *τοῦ κόπρου a ξ'*. — **18** *δὴ* omm. *z ι'' μ' ξ' φ'*. — *τὸν ἡρακλέως a*.

gl. 3. ** ἄνθρωπον. — ὑμνήσομεν.

4. *Germ.* Ἤτοι Πίσα μὲν] τὴν μόνην πρότασιν τίθησιν ὁ ποιητὴς καὶ τὴν κατασκευὴν ἐᾷ, πρὸς τὸ ξενίζον ἐναποβλέπων καὶ τὴν κοινὴν ὡς ποιητὴς ἐκφεύγων γραφήν. § Ἡ μὲν Πίσα τοῦ Διός. οἷον ἐν συννοίᾳ γεγονὼς πρὸς ἑαυτὸν λέγει, δι' ἣν αἰτίαν ὑμνεῖν τὸν θεὸν δεῖ. παρίστησι δὲ μόνας τὰς αἰτίας ἁπλᾶς· ὅθεν συλλογιστέον πᾶς ὁ ἀναγινώσκων· ὁ γὰρ ποιητὴς ἐκφεύγει τὴν συνήθη γραφήν, πρός τι τερατωδέστερον καὶ ξενίζον ἐναποβλέπων.

gl. 4. δή. — ἐνταῦθα γὰρ ὁ Ὀλυμπιακὸς ἀγών, εἰς ὃν ἀνεφέρετο.

5. *Th.* Ἡρακλῆς στερηθεὶς τῶν μισθῶν, οὓς ὑπέσχετο αὐτῷ δοῦναι Αὐγείας ὁ τῆς Ἤλιδος βασιλεὺς διὰ τὴν τοῦ κόπρου ἐκφόρησιν, ἐστράτευσε κατ' αὐτοῦ μετὰ τὸ τετελευτηκέναι τοὺς δώδεκα ἄθλους. καὶ πόλεμον συνάψας καὶ τοῦτον ἀνῃρηκὼς τήν τε πόλιν Ἦλιν λαμβάνει καὶ ἐκ τῶν σκύλων πανήγυριν ἔστησε πρὸς τὸν Δία. ταῦτα δὴ τὰ Ὀλύμπια ἐτελεῖτο οὖν κατὰ πέντε χρόνους.

gl. 5. τὸν Ὀλυμπιακὸν ἀγῶνα. — ** ἀντὶ μιᾶς συλλαβῆς οἱ δύο.

7. *Germ.* Ἀκρόθινα] ἐπερευχαριστήρια καὶ ἀπάργματα·

---

3 *καὶ* ego addidi. — 4 *ὡς* Mommsen coni. pro *ὁ*. — Paragraphi signum ego posui. — *Πίσσα U*, tacite corr. Mommsen, — 5 *ἐν ἀσυννοίᾳ* Mommsen tacite edidit. — 6 *παρέστησε* Mommsen, tacite. — 12 Lemma Ὀλυμπιάδα δ' ἔστασεν Ἡρακλέης est in *z* edd., tum additur *ἱστορία ὅθεν ἡρακλῆς τὰ ὀλύμπια συνεστήσατο* in *μ' φ'* et marg. *ι''*, *ἱστορία ὅπως (ὡς κ) ἡρ. τ. ὀλ. ἔστησεν* est in *z* et edd., desunt lemmata in *ΓΑξ'*. — 13 *δώσειν Γ*. — *ἤλιδος z*. — *τοῦ κόπρου ΓΑ*, *τῆς κ.* cett. — 14 *τελευτηκέναι* (sic) ex *τελευκέναι Α*. — 17 *ἔστησε πρὸς τὸν δία ΓΑ*, *ἔστησεν εἰς τιμὴν τοῦ (τοῦ* omm. *z ι'' μ' ξ') διός z ι'' μ' ξ' φ'* et edd. — 17. 18 Verba *ταῦτα — χρόνους* ex *ΓΑι''* addidi. — 17 *δε Α*. — Colon post Ὀλ. est in *Αι''*.

ἐνταυθοῖ δ' ἐναντίως διδάσκων, ὡς γινώσκω μέν, ἐπαφῆκα δὲ διὰ τὸ ξενίζον τὴν κατασκευὴν ἐκεῖ.

gl. 7. ἀπαρχάς. — τοῦ πρὸς Αὐγείαν τὸν βασιλέα Ἤλιδος. — 8. ἤγουν τῆς νίκης τῆς διὰ τετρώρου ἅρματος γενομένης αὐτῷ. — 9. * * τῆς νίκην φερούσης.

10. *Germ.* Τὸ γεγωνητέον ἀντὶ τοῦ ἄξιον ὑμνῆσαι, μεγαλῦναι. εἰς τὸ γεγωνητέον καὶ ὑμνητέον στικτέον. καὶ τὸ ὀπὶ ἀντὶ τοῦ ὅπως καὶ καθά, ἢ τῷ ἐμμελεστάτῳ ᾄσματι.

gl. 10. ὑμνητέον ἐν λόγοις. — φωνῇ. — 11. * τόν. — * ξενοδόχον. — 12. στήριγμα· — * * ἑδραίωμα. — τῆς ἐν Σικελίᾳ πόλεως.

13. *Germ.* Εὐωνύμων τε πατέρων / ἐνδόξων· ἐπεὶ ὁ Θήρων ἀπὸ Κάδμου τὸ γένος. ἢ οὕτω. πάνυ ὑπερβαλλόντως ἐπαίρει τὸ ἐγκώμιον ἐνδόξων προγόνων, ὅτι κατ' ἐπίτασιν αὐτὸν ἄνθος λέγει· ἄωτον γάρ ἐστι τὸ ἄνθος καὶ ἀπάνθισμα ἐξαίρετον.

gl. 13. εὐγενῶν καὶ ἐνδόξων καὶ παρὰ πάντων εὐφημουμένων. — 14. ἀπάνθισμα, καλλώπισμα. — * τῇ δικαιοσύνῃ τὰς πόλεις ὀρθοῦντα· — * * τὸν ὀρθοῦντα καὶ στηρίζοντα τὰς πόλεις διὰ τῆς δικαιοσύνης.

15. *Th.* Φασὶν Αἵμονα τὸν Κάδμου ἔκγονον ἀποκτείναντά τινα ἐμφύλιον ἐκ Θηβῶν Ἀθήναζε παραγεγενῆσθαι, τοὺς δὲ

---

1 ἐναν^τ U. — 6 Post τὸ delevi δέ. — 8 ἢ τῇ ἐμμελεστάτῳ ἄσματι U, correxi. — 13 οὕτως U. — 14 Post ἐγκ. delevi punctum, colon post προγόνων in comma mutavi, λέγει pro λέγων scripsi. — προγ.] πατέρων ed. Mommsen. — 16. 17 τὸ γὰρ ἄωτόν ἐστιν ἄνθος καὶ ἐξ. ἀπ.! — 21 Lemma ἱστορία ὅπως ἦλθον εἰς Ἀκράγαντα οἱ τοῦ Θήρωνος πρόγονοι rubro scriptum præmittitur in μ' φ', atramento scriptum in π (qui ὡς pro ὅπως habet); — ι'' (qui om. ἱστορία), in marg. habet; in edd. ante Bœckhium nihil nisi Ἱστορία præmittitur. — τὸν τοῦ κ. cod. exceptis ΓΛ. — ἀποκτείνατα μ'. — 22 ἐκφύλ. μ'.

ἀπὸ τούτου πάλιν ἐξ Ἀθηνῶν μεταστάντας Ῥόδον σὺν Ἀργείοις οἰκῆσαι. καὶ μετὰ ταῦτα στάσεως αὐτοῖς ἐνταυθοῖ γενομένης εἰς Σικελίαν ἐλθόντας Ἀκράγαντα κτίσαι, πολλὰ καμόντας περὶ τὴν κτίσιν διὰ τὸ ὑπὸ τῶν ἐκεῖ κωλύεσθαι. ἄρχοντες δὲ τῶν τὴν ἀποικίαν στειλαμένων Ἀντίφημος καὶ Ἔντιμος ἦσαν, ὧν μετὰ ἑβδόμην καὶ εἰκοστὴν γενεὰν Θήρων οὗτος γέγονεν. ἱερὸν δὲ οἴκημα ποταμοῦ λέγει τὴν Σικελίαν, ἐπειδὴ ἐντὸς αὐτῆς ποταμὸς Ἀκράγας ὁμώνυμος τῇ πόλει, ἢ Γέλλας ὁμώνυμος τῇ ἐκεῖ πόλει Γέλλᾳ ῥέει. ἱερὸν δὲ ἢ τὸ μέγα ἢ τὸ ἔχον ἱερά, ἢ ὅτι ἡ ἐν Σικελίᾳ Ἀκράγας Περσεφόνῃ παρὰ Διὸς ἐδόθη εἰς τὰ ἀνακαλυπτήρια.

gl. 15. * *οἱ πατέρες.* — * *τῇ ψυχῇ.* — 16. *μέγα ἢ θεῖον·* — † *διὰ τὸ εἶναι αὐτόθι νεὼν τῆς Ἀθηνᾶς.* — 17. * *τοῦ Ἀκράγαντος ἢ Γέλλα·* — * * *τοῦ Ἀκράγαντος.* — * * *ἦσαν, ὑπῆρχαν.* — 18. *ἀσφάλεια, φυλακή, ὥσπερ ὀφθαλμὸς*

---

1 *μεταστάντας* ΓΑ, *μεταναστάντας* cett. — 2 *αὐτοῖς* om. Γ. — 3 *ἀνελθόντας* ξ'. — *κτῖσαι* ι''. — 4 *ὑπὸ*] *ἀπὸ* z ante corr. — *ὑπὸ τῆς ἐκεῖ* ξ'. — *τὴν* ex ΓΑ ι'' ξ' est. — 5 *ἀποικίᾳ* μ' φ' et edd. ante Heynium, qui ex Beckii coniectura *ἐπ' ἀποικίᾳ* edidit; *ἀποικίαν* (sic etiam z) Boeckh. — 6 ζ' *καὶ εἰκοστὴν* ξ' et liber ex quo ΓΑ librorum communis fons descriptus est, in eis enim *ἕβδομον καὶ εἰκοστὴν* legitur, *ἑβδόμην καὶ εἰκοστὴν* ι'', *ἑβδόμην εἰκοστὴν* μ' φ', *εἰκοστὴν ἑβδόμην* edd. Verba *εἰκοστὴν ἑβδόμην* temporum rationi repugnare demonstravit Beck, quare Heyne vocem *εἰκοστὴν* uncis inclusit refragante scholio vetere ad v. 16. Boeckh nihil mutavit, sed hanc notam addidit: «Antiphemus et Entimus Gelam condunt Ol. 22, 3. Hinc ad Theronem non multæ ætates sunt. Sed scholiastes recentior numerum ætatum ex antiquo scholio eoque depravato duxit, in quo a Cadmo ad Theronem viginti septem, sed ut nunc [ex cod. Ambr.] editum est, tantum quindecim numerabantur ætates». — 7 *λέγει ποταμοῦ* Γ. — 8 *πόλει* om. Α. — *γέλα* z, *γέλας* ξ'. — 9 *ῥέει* z. — *ἡ* om. ι'' — 10 *ἐδόθη παρὰ Διὸς* codd. et edd. exceptis ΓΑ. — *τὰ* ex ΓΑ z ι'' ξ' φ' addidi.

τῷ σώματι. — 19. ** μεμοιρασμένος. — 20. εὐφροσύνην· ταύτης γὰρ δεῖ τῷ πλούτῳ. — ** ἄγων] ἀντὶ μιᾶς. — 21. οὐ γὰρ ἐκ πατέρων, ἀλλὰ τοῖς αὐτῶν ἔργοις τιμὴν καὶ πλοῦτον ἐκτήσαντο.

8—21. M. *Θήρωνα δὲ*] τὸν Θήρωνα δὲ ἐνδέχεται μέλεσιν ὑμνεῖν· τοῦτο γὰρ τὸ *γεγωνητέον ὀπί*· ἕνεκα τετραορίας, ἀντὶ τοῦ ἀγῶνος δι' ἅρματος νικηφόρου· δίκαιον ξένον (11) τουτέστι δίκαιον ὄντα κατὰ τὴν φιλίαν τῶν ξένων· ἔρεισμα, ἤγουν στήριγμα, ἀσφάλειαν τῆς Ἀκράγαντος καὶ εὐκλεῶν πατέρων υἱὸν ἐξαίρετον· ἀπὸ τοῦ Κάδμου γὰρ κατήγετο· ὀρθόπολιν, τουτέστι συνιστᾶν καὶ ἀνορθοῦν πόλεις ἐπιτήδειον. *καμόντες οἳ πολλά* (15), οἵτινες, οἱ πατέρες αὐτοῦ δηλονότι, πολλὰ κατὰ τὴν ψυχὴν καμόντες, ἤγουν πολλὰ λυπηθέντες, πολλὰ ἀγωνιάσαντες πρότερον ἐν ταῖς ἀπὸ Ῥόδου εἰς Γέλλαν, εἶτα ἐκεῖθεν εἰς Ἀκράγαντα μετοικήσεσιν, ἱερὸν ἔσχον οἴκημα ποταμοῦ, ἤγουν τὴν Ἀκράγαντα, ἣν παρὰ τῷ ποταμῷ ἱδρύσαντο τῷ Ἀκράγαντι· τῶν ἐν τῇ Σικελίᾳ τε ἦσαν ὀφθαλμὸς (17), ἀντὶ τοῦ οἱ περιφανέστατοι καὶ ἡγεμονικώτατοι, βίος τε ἐπηκολούθει εὐτυχὴς πλοῦτόν τε

---

4 *σύνταξις. Θήρωνα δὲ* z, † *σύνταξις* est in marg. ι'' μ', lemma om. q. — *μέλησιν* ξ'. — 5 *γεγωνητέον· ἐπὶ* (*ἐπὶ* etiam q) *ἕνεκα* a. — 8. 9 *ἐξαίρετον υἱόν* edd. — 10 *ἀνορθοῦντα πόλεις* z et edd. ante Beckium, qui ex Oxoniensum coniectura correxit; idem *συνιστᾶν ἐπιτήδειον καὶ ἀνορθοῦντα πόλεις* legi posse observavit; *ἀνορθοῦντα τὰς πόλεις ἐπ.* φ', quæ vitiosa lectio etiam in glossas omnium quotquot novi codices mixti generis irrepsit. — 10 *σύνταξις* lemmati *κ. οἷ π.* præmissum est in z, eadem vox legitur in marg. μ' φ'; lemma om. q. — 11 *δηλονότι αὐτ* ξ'. — *τὴν* om. ξ'. — 13 *ἀποῤῥόδου* q. — *εἰς* post *ἐκ.* om. ξ'. — 14 *μετοικίσεσιν* ξ'. — *ποταμοῦ* a. — *ἤτοι* ι''. — *τὴν* (expl. versus) *ὃν ἀκρ.* a. — 15 *ποταμῷ*] *βωμῷ* φ', *βομῷ* ξ'. — Post Ἀκράγαντι hæc inserta leguntur in codd. mixtis et edd.: *ἱερὸν δὲ διὰ τὸ εἶναι αὐτόθι νεών* (*ἱερὸν* ξ' φ', sed *νεών* m. 2 in marg. φ') *τῆς ἀθηνᾶς ἢ ὅτι* (*εἰς* add. edd.) *ἀνακαλυπτήρια ὑπὸ τοῦ διὸς ἐδόθη* (*ἐδ. ὑπὸ τ. δ.* ι'') *τῇ* (*τῇ* om. ι'') *περσεφόνῃ.* — *τῇ* om. a. — 16 *οἱ* omm. ι'' z ξ'. — *ὑπερηφανέστατοι* ξ'. — 17 *τ'* z. — *ἐπικολούθει* q μ' ξ'.

καὶ ἐπαγωγὸν δύναμιν ἐπάγων ἀρεταῖς γνησίαις (21), ἤγουν οἰκείαις τῷ γένει αὐτῶν.

gl. 22. ἤτοι Κρόνου υἱέ. — 23. ἤγουν ὁ τὸν οὐρανὸν οἰκῶν ἢ διεξάγων. — 24. τῶν γὰρ ἄλλων ἀγώνων κορυφὴ τὰ Ὀλύμπια· ἢ ὅτι ἐν τῇ Ὀλυμπίᾳ λόφος ἦν ὁ καλούμενος Κρόνος. — 25. τὴν Πίσαν· ἐνταῦθα γὰρ οὗτος ἦν. — 26. * εὐφρανθείς. — 27. εὐμενής, εὐφραντικός. γῆν δὲ λέγει, ὅσης ὁ Θήρων ἄρχει ἢ οἱ αὐτοῦ πρόγονοι.

28. *Germ.* Τὸ κόσμησον ἀντὶ τοῦ καὶ κοσμεῖσθαι ποίησον, ἤτοι ἄρξασθαι ἀπὸ τοῦ νῦν ἐν ἀταραξίᾳ.

Th. Ἐπειδὴ τὸ γένος πλῆθός ἐστι, διὰ τοῦτο εἶπε τὸ σφίσιν. ἔστιν οὖν τὸ μὲν κόμισον πρὸς τὸ λοιπῷ γένει, τὸ δὲ πατρίαν πρὸς τὸ σφίσιν, ἵν' ᾖ· τὴν πατρικὴν αὐτοῖς γῆν. τῷ λοιπῷ δὲ γένει νόει ἢ τοῖς ἀπογόνοις τοῦ Θήρωνος, ἢ τῷ Θήρωνι καὶ τοῖς περὶ αὐτόν, ὃ καὶ κρεῖττον. δέον δὲ εἰπεῖν εὔφρονα πρὸς τὸ ἄρουραν, εὔφρων εἶπε πρὸς τὸ κόμισον. λέγει δὲ ὅτι εἰ καὶ οἱ πατέρες τοῦ Θήρωνος πολέμοις καὶ στάσεσιν ἐχρήσαντο, ἀλλ' εἰρηναίαν τὴν ζωὴν Θήρωνι καὶ τοῖς περὶ αὐτὸν ποίησον.

gl. 28. * τὴν πατρικήν. — * * αὐτοῖς. — ἄγαγε· — † ἤτοι πλείονος ἀξίωσον τῆς ἐπιμελείας.

29. *Th.* Ὁ Θήρων οὗτος Ἀκραγαντίνων βασιλεύων Γέλωνι

1 καὶ bis habet q. — γρ. ἀρ. ι''. — 2 τῷ] τὸ q. — 9 Post τὸ delevi δέ. — 11 Schol. Thom. ad v. 28 om. z. — 12 πρὸς τῷ λ. Δι''. — 13 αὐτῆς μ' φ'. — γῆ Γ. — 13. 14 τὸ δὲ λ. γ. ξ'. — 14 ἢ τοῖς] ἤτοι edd. — ἀπογόνοις ΓΔι'', ἀπὸ γένους cett. — 15 περὶ αὐτῶν ξ'. — 16 εὔφρων] εὔφρον ξ'. — 18 τῷ Θήρωνι Γ. — τοῖς] τῆς Δ. — 19 ποίησον] κόμισον ι''. — 22 ἱστορία περὶ τοῦ Θήρωνος καὶ Ἱέρωνος præmittitur in z, περὶ τοῦ Θήρωνος minio scriptum in ξ', ἱστορία περὶ τῶν πεπραγμένων Θήρωνος καὶ Ἱέρωνος in φ', marg. μ' et in Bœckhii editione (ἱστορία tantum est in cett. edd.), eadem habet ι'' in marg. nisi quod Θήρωνι καὶ Ἱέρων in eo legitur. — ὁ omm. z Bœckh.

τῷ Ἱέρωνος ἀδελφῷ ἐπικηδεύσας γάμῳ συνάπτει τὴν αὐτοῦ θυγατέρα Δημαρέτην. τοῦ δὲ Γέλωνος τελευτήσαντος Πολύζηλος ὁ ἀδελφὸς αὐτοῦ τὴν βασιλείαν καὶ τὴν γαμετὴν αὐτοῦ διαδέχεται. λαμπρῷ δὲ ὄντι αὐτῷ κατὰ τὴν Σικελίαν Ἱέρων ὁ ἀδελφὸς φθονήσας καὶ προφασισάμενος τὸν πρὸς Συβαρίτας πόλεμον, ἐξάγει τῆς νήσου τοῦτον. κατωρθωκότος οὖν καὶ τοῦτον τὸν πόλεμον Πολυζήλου, Ἱέρων οὐκ ἔχων ὅ τι καὶ γένοιτο πρὸς αὐτὸν ἐπειρᾶτο νεωτερίζειν. Θήρων οὖν ὑπεραγανακτήσας θυγατρὸς ἅμα καὶ γαμβροῦ συῤῥᾶξαι πρὸς Ἱέρωνα ἠβούλετο πόλεμον, ὃν Σιμωνίδης ὁ λυρικὸς καταπαύει διαλλάξας πρὸς ἀλλήλους αὐτούς, ὡς καὶ κηδείαν τινὰ πρὸς ἀλλήλους ποιήσασθαι Ἱέρωνα λαβόντα τὴν Θήρωνος ἀδελφήν. φασὶ δέ τινες τὸ π ε π ρ α γ μ έ ν ω ν *ἀντὶ τοῦ συμβάντων τοῖς προγόνοις καμάτων. ἄνω γὰρ εἶπε* (v. 15)· *Καμόντες οἳ πολλὰ θυμῷ.*

gl. 29. * *τοῖς ἑξῆς ἀπογόνοις τοῦ Θήρωνος ἢ τῷ Θήρωνι* — ** *τοῦ Θήρωνος· τοῖς ἑξῆς ἀπογόνοις ἤτοι τῷ Θήρωνι.* — * *τοῖς προγόνοις·* — † *τὸν πόλεμον αἰνίττεται τὸν πρὸς Ἱέρωνα.* — 30. *δικαιοσύνῃ.* — *ἐκτὸς δικαιοσύνης.* — 31. *ὅμοιον τῷ*

---

1 *αὐτοῦ ΓΛ* z *ι'' μ'* Rom., *ἑαυτοῦ ξ' φ'*, *αὐτοῦ* edd. inde a Beckio. — 3 *τὴν στρατηγίαν* coni. Beck. — 4 *αὐτῷ* om. *ξ'*. — 5 *τὸν προσιβαρίτας ξ'*. — *σιβαρίτας Γ*, *συβαρίτην* z, *συβαρίταν μ'*. — 6 *ἐξά* est in *Λ*. — *τοῦτον τῆς νήσου* codd. mixti et edd. — *κατορθωκότος* z *ι'' ξ'*. — 7 *ὁ Ἱέρων* omnes præter *Λ* z *ι'' μ' ξ' φ'*. — 9 *οὖν* om. *ξ'*. — *ἀγανακτ. ξ'*. — *ἅμα θυγατρός ι''*. — *γαυροῦ ξ'*. — *συῤῥᾶξαι Γ*z, *συῤῥάξαι ι'' μ' ξ' φ'*, *συράξαι Λ*, *συνάξαι* edd., *συντάξαι* coni. Beck. — 10 *ἠβούλετο* omm. *ΓΛ*, *ἐβούλετο μ'*. — *σιμ. ἰὼν ὁ λ.* z *φ'*. — 11 Verba *πρὸς ἀλλήλους αὐτούς* omm. edd. - *καὶ* om. z. — 12 *τινὰ* omm. edd. — *Ἱέρωνος λαβόντος* edd. — *τὴν τοῦ Θήρωνος* codd. et edd. exceptis *ΓΛξ'*. — 13. 14 *ἀντὶ τοῦ τῶν συμβοβάντων ι''*. — 15 *θυμῷ* add. miniator in *μ'*.

παρὰ Σοφοκλεῖ (Ai. 378)· οὐ γὰρ γένοιτ' ἂν ταῦθ' ὅπως οὐχ ὧδ' ἔχειν. — 32. οὗτος γὰρ πάντα γεννᾷ καὶ πάντ' ἀναλίσκει. — 33. παῦσιν καὶ ἀφανισμόν. — 34. τούτων. — τύχῃ. — 35. ἀγαθῶν. — ἡδονῶν ὕστερον ἐπιγενομένων. — 36. βλάβης προηγούμενον δυστύχημα. — παύεται. — ποταπόν; ὑπισθόρμητον καὶ εἰς ἀφανισμὸν ἰόν. τὸ δὲ δαμασθὲν ἀντὶ τοῦ φθαρέν.

37. *Th.* Τὸ θεοῦ ἢ πρὸς τὸ ὄλβον οὕτω· τὸν ὄλβον τοῦ θεοῦ, ἤτοι τὴν παρὰ θεῶν ἀνθρώποις εὐδαιμονίαν· ἢ πρὸς τὸ μοῖρα· οἱ γὰρ θεοὶ τοῖς ἀνθρώποις τὴν μοῖραν ἐκπέμπουσιν.

gl. 37. * * τότε. — * ἤγουν ἡ τύχη. — * * εὐτυχία. — 38. ἄνω εἰς ὕψος· * μακρὰν γὰρ τὸ ὕψος.

22—38. M. Ἀλλ' ὦ Ζεῦ ἐν τῷ Κρονίῳ λόφῳ τιμώμενε, παῖ τῆς Ῥέας, ὁ διοικῶν τὸ ἔδαφος τοῦ οὐρανοῦ, περιφραστικῶς, ἤγουν τὸν οὐρανόν, καὶ τὴν κορυφὴν τῶν ἄθλων, τουτέστι καὶ τὰ ἐξαίρετα ἆθλα τὰ ἐν Ὀλυμπίᾳ διδόμενα, καὶ τὸ ῥεῦμα (25) τοῦ Ἀλφειοῦ, ἤγουν τὸν Ἀλφειόν, τερφθεὶς τοῖς παροῦσιν ὕμνοις, εὔφρων, ἀντὶ τοῦ ἀσμένως, ἐπὶ πλέον ἐπιμελείας ἀξίωσον τὴν πατρικὴν αὐτῶν ἄρουραν, ἀντὶ τοῦ τὴν γῆν, χάριν τοῦ ἐπιλοίπου γένους αὐτῶν. τὸ δὲ τέλος τῶν πεπραγμένων ἔργων ἐν δίκῃ τε (30) καὶ παρὰ δίκην, ἤγουν δικαίως, καὶ ἀδίκως, τουτέστι παντὶ τρόπῳ, ἀποίητον, ἤγουν μὴ γεγενημένον, οὐδὲ ὁ χρόνος ὁ πάν-

---

8 Schol. ad v. 37 om. *z*. — 9 ἤτοι] ἢ *ι''*. — παρὰ θεοῖς (om. ἀνθρώποις) *Γ*. — **13** Lemma ἀλλ' ὦ Κρόνιε παῖ (παῖ omm. *z* et edd.) præcedit in codd. mixtis, in *μ' φ'* præterea † σύνταξις additum est. — **15** ἤγουν] ἤτοι *ι''*, ἀντὶ τοῦ *q*. — **18** ἀσμένος *a*. — ἐπὶ πλέον *q z φ'*, ἐπιπλέον cett. — ἐπιμελ. ἀξ. ἐπιπλ. *ξ'*. — τὴν om. *a*. — **20** ἔργων ex *a q ι''* addidi. — δίκᾳ edd. — **21** δίκαν *φ'* et edd. — ἤγ. καὶ δ. καὶ ἀδ. *a*, ἤγ. δ. τὲ καὶ ἀδ. *z*. — τουτέστιν ἐν π. [*q*] edd., sed ἐν omittitur etiam in glossa. — **22** ἀπ. γὰρ ἤγ. *μ'*. — ἤγ. μηγεγενημένον *q*.

των πατὴρ δύναιτο ἂν ποιῆσαι· λήθη δὲ τοῦ πεπραγμένου γένοιτο ἂν σὺν τύχῃ εὐτυχεῖ. ὑπὸ γὰρ (35) τέρψεων ἀγαθῶν βλάβη δαμασθεῖσα θνήσκει, ἀντὶ τοῦ ἀποκρύπτεται, ἐκπίπτει τῆς μνήμης, παλίγκοτος γινομένη δηλονότι, ἤγουν εἰς τοὐπίσω τὴν ἐπιμονὴν τῆς λύπης τοῦ κακοῦ τρέπουσα, ὅταν (37) θεοῦ μοῖρα ἤγουν εὐτυχία, τουτέστιν ὁ θεὸς ὅταν πέμπῃ μεγάλην εὐδαιμονίαν ἀνεκάς, ἤγουν εἰς παράτασιν χρόνου μακράν.

39. *Th.* Ὁμηρικὸς ζῆλος τὸ εὐθρόνοις. ἐκεῖνος γὰρ τοιούτοις ἐπιθέτοις κοσμεῖ τὰς γυναῖκας, οἷον Λευκώλενος Ἥρα καὶ Γλαυκῶπις Ἀθάνα καὶ Ἀργυρόπεζα Θέτις.

39. * ᾄδεται, ἐπακολουθεῖ. — φήμη. — καλὸν θρόνον ἐχούσαις. — 40. Σεμέλῃ καὶ Ἰνοῖ, ἃς προϊὼν ἐρεῖ. — ** ὑπέστησαν. — 41. πρὶν κακά. — δυστυχία προτέρα.

42. *Germ.* Πένθος δὲ πιτνεῖ] κρύπτεται, ἀφανίζεται, καταφέρεται, καταβάλλεται.

gl. 42. * καταβάλλεται· — * * καταβάλλεται, ἀφανίζεται. — * * μέγα. — 43. * ἐπικρατεστέρων· — * * ἐπικρατεστέρων, μεγαλωτέρων. — ὕστερον ἐπιόντων.

44. *Th.* Ἡ τῆς Σεμέλης ἱστορία δήλη, ὅτι ἐγκυμονοῦσα Διόνυσον Ἥρας ὑποβολαῖς εἰποῦσα τῷ Διὶ μετὰ κεραυνοῦ ἐλθεῖν

---

1 δύναιντο q. — γένοιτο a q ι'' ξ', γένοιτ' cett. — 2 συντύχῃ εὐτυχεῖ: · — ὑπὸ q. — εὐσεβεῖ z. — τέρψεων q ι'' ξ', τρίψεων a, τέρψεως cett. — 6 τουτ. ὁ θ. ὅταν a q, τουτ. ὅταν (ὁ add. ξ') θεός (θεοῦ z μ' φ') cett. — πέμπει ξ'. — 8 ὁμ. ὁ ζῆλος Α ι'' ξ'. — τὸ εὐθρόνοις om. Α. — 8. 9 τοιούτοις Α ι'' ξ', τοῖς cett. — 9 οἷον Α ξ', ὡς μ', ἤγουν cett. — 10 γλαυκώπης ξ'. — ἀθάναι Α. — 11 ᾄδεται est glossa in Γ, ἐπακολουθεῖ in Α. — 19 Ζώει μὲν ἐν Ὀλυμπίοις est lemma in ed. Bœckhiana. — περὶ τῆς σεμέλης margo z, ἱστορία περὶ τῆς σεμέλης margo ι'' et (minio scriptum) margo μ' φ', ἱστορία edd. ante Bœckhium, qui post lemma ἱστ. π. τ. σ. exhibet. — ἐγγυμονοῦσα ξ'. — 20 ὑποβολαῖς Γ ι'' ξ' φ' ὑποβολεῖν Α, ὑποβολὴν μ', ὑποβουλαῖς edd. ante Bœckhium, qui ex Schneideri coniectura ἐπιβουλαῖς edidit. — τὸν Δία ΓΑ.

πρὸς αὐτὴν κατεκαύθη καὶ πρὸς τὸν οὐρανὸν ἀνῆλθε, Διὸς ἐρραφαμένου τῷ μηρῷ τὸν Διόνυσον, ἄχρις ἂν ὁ προσήκων ἔλθῃ καιρός. λέγει δὲ φιλεῖσθαι αὐτὴν ὑπὸ τῆς Ἀθηνᾶς ἢ ὅτι εἰς οὐρανοὺς ἀνῆλθεν, ἢ ὅτι Θηβαία ἐστίν, ἐν δὲ Θήβαις ἱερὸν Ἀθηνᾶς Ὄγκας καλουμένης γλώσσῃ. καὶ τὸ φιλεῖσθαι αὐτὴν ὑπὸ τῶν Μουσῶν διπλοῦν· ἢ ὅτι ἐν τοῖς ποιηταῖς τὰ Σεμέλης ᾄδεται πάθη, οἱ δὲ ποιηταὶ μουσόληπτοι, ἢ ὅτι Θηβαία· πλησίον δὲ τῶν Θηβῶν ὁ Ἑλικών, ἔνθα Μοῦσαι χορεύουσιν.

gl. 44. οὐρανίοις θεοῖς. — 45. ἤχῳ, φθορᾷ. — 46. μακρόθριξ καὶ εὐπλόκαμος. — 47. τὴν Σεμέλην. — ** ἡ Ἀθηνᾶ.

48. *Δημητρίου τοῦ Τρικλινίου.* Περισσὸν ἦν ἐνταῦθα κῶλον τὸ *Φιλέοντι δὲ Μοῖσαι.* τῶν γὰρ ἄλλων στροφῶν καὶ ἀντιστροφῶν ἀνὰ ιδʹ ἐχουσῶν κῶλα αὕτη μόνη εἶχεν, ὅπερ ἦν ἄτοπον. οὐ γὰρ ἐν ἑτέροις τοιοῦτόν τι εὕρηται. διὸ ἐξεβλήθη παρ᾽ ἐμοῦ, ὡς καὶ ἐν τοῖς βιβλίοις τῶν ἄλλων ποιητῶν πολλὰ περιττὰ ὄντα. οἶμαι δέ, ὡς οὐδεὶς ἡμᾶς μέμψαιτο τοιαῦτα πεποιηκότας, ἀλλ᾽ ἐννοήσας, ὡς οὕτω ταῦτα βέλτιόν ἐστιν ἔχειν, θαυμάσειεν ἂν μάλιστα τῆς σπουδῆς.

gl. 48. * φιλοῦσι. — 49. ** ὁ πατὴρ πάντων.

50. *Germ.* *Παῖς ὁ κισσοφόρος*] . . . ὅθεν καὶ Εὐριπί-

---

1 τὸν ex ΓΔ est. — 2 ἐνραψαμ. z, ἐραψαμ. μʹ. — προσῆκον ξʹ — ἔλθοι (η supra) μʹ, om. ξʹ. — 3 λέγει Δ ιʹʹ ξʹ, λέγεται cett. — τῆς om. ʹʹ. — 4 ὅτι βεβαία ἐστίν z. — δέ omm. edd. — 5 γλώσσῃ Γ Δ ιʹʹ ξʹ, γλώττῃ cett. — 5—8 Verba καὶ τὸ φιλεῖσθαι — χορεύουσιν (sic Δ, χωρεύουσιν Γ) ex ΓΔ accesserunt. — 11 Scholium Tricl. ad v. 48 e codd. mixtis om. z. — Verba Δημ. τ. Τρικλ. omm. ιʹʹ ξʹ φʹ, in marg. minio scriptum est in μʹ, est etiam in edd. — τὸ post ἐνταῦθα addunt edd. — 13 ιδʹ] ἰδίων μʹ. — κώλων codd. — 14 οὐδὲ γὰρ ιʹʹ. — τοιοῦτόν τι ιʹʹ et edd. — 16 ταῦτα ιʹʹ. — 16. 17 πεπονηκότας edd. — 18 μάλιστα om. ιʹʹ. — 20 Ante ὅθεν omisi verba ἐπιθετικῶς . . . Σεμέλην, quæ Bœckh ex Vrat. D. Gott. edidit.

δης (Phœn. 652 sqq.)· κισσὸς ὃν περιστεφὴς ἑλικτὸς βρέφος εὐθὺς χλοηφόροις ἔρνεσι κατάσκιον ὀλβίσας ἐνώτισε.

gl. 50. αὐτῆς. — ὁ κισσὸν ἐστεφανωμένος Διόνυσος. — 51. λέγουσι. — 52. σὺν ταῖς θυγατράσιν ἤτοι ταῖς Νηρηίσιν. — 53. θαλασσίαις. — ζωήν. — ἀθάνατον. — 54. τῇ καὶ Λευκοθέῃ καλουμένῃ.

39—55. M. Ἀκολουθεῖ δὲ οὗτος ὁ λόγος, ἤτοι ἁρμόζει, ταῖς θυγατράσι τοῦ Κάδμου ταῖς νῦν ἐν ἐνδόξῳ τάξει ἱδρυμέναις, αἵτινες ἔπαθον συμφορὰς μεγάλας (41). τὸ πένθος δὲ τὸ μέγα ἠφανίσθη τῆς μνήμης ὑπὸ τῶν ἀγαθῶν τῶν ἐπικρατεστέρων. ζῇ μὲν (44) ἡ Σεμέλη ἡ ἐπὶ πολὺ τεταμένας ἔχουσα τὰς τρίχας ἐν τοῖς θεοῖς τοῖς τὸν Ὄλυμπον οἰκοῦσι, τουτέστιν ἐν τῇ μετὰ τῶν θεῶν διατριβῇ, ἀποθανοῦσα τῷ βρόμῳ τοῦ κεραυνοῦ, ἀντὶ τοῦ τῳ κεραυνῷ. φιλεῖ (47) δὲ αὐτὴν ἡ Ἀθηνᾶ ἀεὶ διὰ τὸ τὸν πατέρα αὐτῆς τὸν Κάδμον ἱδρύσασθαι αὐτῇ ἄγαλμα ἐν Ὄγκαις κώμῃ τῆς Βοιωτίας, ὅθεν Ὀγκαία Ἀθηνᾶ λέγεται, ὡς Κυλλήνιος Ἑρμῆς, καὶ ὁ Ζεὺς (49) ὁ πατὴρ πάντων φιλεῖ αὐτὴν

---

1. 2 Apud Euripidem ἑλικτὸς εὐθὺς ἔτι βρέφος χλοηφόροισιν ἔρνεσι κατασκίοισιν ὀλβ. ἐν. in codd. legitur. — 7 Lemma Ἕπεται δὲ λόγος omisi cum *aq*; — σύνταξις est in marg. ι″ μ′. — Verba ἤτοι ἁρμόζει desunt in *q*, post Κάδμου leguntur in *z* ι″ (qui ἤγουν ἁρμ. habet) μ′ ξ′ φ′. — 8 τοῖς θυγατρᾶσι ξ′. — ἐν ex *q* ι″ ξ′ (qui ἐνενδ. habet) accessit. — ἱδρυμέναι *a*. — 9 τὸ post δὲ om. ι″. — 11 ἡ post Σεμ. omm. *z* μ′ ξ′ φ′. — ἐπιπολὺ codd. et edd. — 12 τὸν omm.]*z* μ′ ξ′ φ′. — Ὀλ. ἔχουσι ι″. — 13 βρώμῳ *z* μ′ φ′. — 14 τῷ ex *aq* ι″ ξ′ addidi. — αυτὸν ξ′. — τὸ omm. edd. ante Beckium. — ἀθηνὰ ξ′. — ἀεὶ ἡ ἀθ. *z*. — 15 ἱδρ. αὐτὴ ξ′. — 16 βιοτήας ξ′. — ὅθεν καὶ ὀγκ. *q*. — ἡ ἀθηνὰ ξ′, ἀθηναία *a*. — 16. 17 ὡς Κ. Ἑρμῆς om. ι″. — 17 ὁ πάντων πατὴρ ι″. — αὐτοὺς (?) μ′.

κατὰ πολύ· φιλεῖ δὲ αὐτὴν καὶ ὁ παῖς αὐτῆς ὁ κισσοφόρος, ἤγουν ὁ Διόνυσος, ᾧ ἐστιν ὁ κισσὸς ἀφιερωμένος. λέγουσι (50) δὲ τετάχθαι, ἤγουν κεκυρῶσθαι, καὶ τῇ Ἰνοῖ τῇ ἀδελφῇ αὐτῆς κατὰ πάντα τὸν χρόνον διατριβὴν ἄφθαρτον ἐν τῇ θαλάσσῃ σὺν ταῖς θυγατράσι τοῦ Νηρέως ταῖς θαλασσίαις.

gl. 55. * δή. — ** ὄντως. — 56. * πεφανέρωται· ἤγουν οὐδεὶς οἶδεν, εἰ χρηστὸν ἢ τοὐναντίον τὸ τῆς ζωῆς πέρας ἐπέλθοι, ἀλλ' οἱ μὲν πρὶν εὐτυχοῦντες ἐγγὺς θανάτου δεδυστυχήκασιν, οἱ δὲ τοὐναντίον· — ** πεφανέρωται. — 57. ** πέρας. — *† οὐδαμῶς.

58. *Germ.* Ἡμέραν ἡσύχιμον τὴν τοῦ θανάτου, ἐπεὶ ἐν ταύτῃ θανόντες ἡσυχάζομεν.

Tr. Ἡμέραν ἡσυχίας τὸν θάνατον λέγει, ἐπεὶ ἐν αὐτῷ θανόντες ἡσυχάζομεν· παῖδα δὲ ἡλίου τὴν ἡμέραν καλεῖ, ἐπεὶ ὁ ἥλιος ἀνατέλλων τὴν ἡμέραν γεννᾷ.

gl. 58. ποταπήν; εἰρηναίαν καὶ εὐτυχῆ.

59. *Germ.* Παῖδα ἡλίου τὴν ἡμέραν, ἐπεὶ ὁ ἥλιος τὴν ἡμέραν γεννᾷ ἀνατέλλων καὶ φωτίζων τὸ περιέχον, ἤτοι τὸν ἀέρα· ἀὴρ γὰρ ὑπὸ ἡλίου φωτιζόμενος ποιεῖ τὴν ἡμέραν, ὡς δ' αὖ γεννᾷ τὴν νύκτα ἡ σκιὰ τῆς γῆς μελαίνουσα τὸν ἀέρα ὄντος ὑπὸ γῆν τοῦ ἡλίου.

gl. 59. Ὁπότε] νόει κατὰ κοινοῦ τὸ οὔ τι κέκριται. —

---

1 κατὰ πολὺ q, καταπολὺ cett. — δὲ καὶ αὐτὴν ὁ q. — αὐτοῖς a. — κισσηφόρος ξ'. — 2 ᾧ] ὃ ε. — ἔστιν q. — 3 ἤγουν] καὶ ξ'. — ἰνῇ q. — 4 τὸν omm. εμ'ξ'φ', sed legitur τὸν etiam in glossa. — 5 ταῖς θαλ. om. q. — 6 Glossa Thomana cum lemmate κέκριται in codd. mixtis et edd. inter scholia legitur. — 7 εἰ] ἢ codd. mixti et edd. ante Beckium. — τὸ τῆς ζω add. miniator in spatio in ξ'. — αὐτοῦ post ζωῆς addunt codd. mixti et edd. — 7. 8 ἐπέλθῃ μ' φ', ἐπέβῃ Γ. — 11 Post ἡμέραν delevi δέ. — 13 Scholium Tricl. in codd. mixtis his paraphrasis Moschopuleae verbis subnexum est: κέκριται δηλονότι (p. 120, 12). — Post ἡμέραν delevi δέ. — 18 ἀνατέλων εφ'.

ἀνατέλλων γὰρ καὶ τὸν ἀέρα φωτίζων ἡμέραν ποιεῖ. — 0. *ἐπαθεῖ καὶ ἀδυστύχῳ.* — 61. * *πληρώσομεν.*

62. *Germ.* *Τοῦτο κατασκευάζει, ὥστε καθὸ ἄνθρωποι πάντες ἄλλοτε ἄλλαις ἡμέραις περιπίπτομεν τοῖς δεινοῖς.*

gl. 62. * *αἱ δίκην ῥεύματος μεταβολαί·* — ** *δίκην ῥεύματος μεταβολαὶ παρατρέχουσαι.* — 63. *ἡδονῶν.*

55—64. *M.* *Ὄντως τὸ τέλος τοῦ θανάτου τῶν ἀνθρώπων, ἤγουν ὃ ὁ θάνατος ἐπάγει, οὐδαμῶς ἐστι διακεκριμένον, τουτέστι γνώριμον, ὁποῖον ἔσται δηλονότι· οὐδὲ* (58) *ὁπότε ἀνύσομεν ἡμέραν, ἡλίου παῖδα, ἡσυχίας, ἤγουν ἀναπαύσεως μετέχουσαν, λέγω, σὺν ἀγαθῷ μὴ ὑπὸ κακοῦ τινος καταπονουμένῳ, κέκριται δηλονότι. ῥεύματα δὲ τύχης* (62) *ἄλλοτε ἄλλα εἰς τοὺς ἀνθρώπους ἔβησαν, ἀντὶ τοῦ ἔρχονται, καὶ μετὰ τέρψεων καὶ μετὰ λυπῶν.*

gl. 64. *θλίψεων.* — *ἐπῆλθον.* — 65. * *καθά·* — ** *ἥτις.* — *πατρικόν.* — 66. *τῶν σῶν προγόνων.* — *εὐφραντικόν.* — *εὐδαιμονίαν.*

67. *Germ.* *Θεόρτῳ τῷ θεορμήτῳ, ὃν κρίνει καὶ διεγείρει ἢ δίδωσιν ὁ θεός· ἢ ἀσφαλεῖ, θεοδωρήτῳ.*

gl. 67. *θεοπέμπτῳ.* — * † *εὐδαιμονίᾳ.* — 68. *δυστύχημα.* — ** *φέρει.* — 69. *ποταπόν; ἐναντίον, ἀντίστροφον.* — * *ἐν.*

65—69. *Germ.* *Οὕτω δὲ μοῖρα τῶνδε καὶ τούτων, ἥτε πατρῷον καὶ πατρικὴ ὑπάρχουσα ἔχει τὸν εὔφρονα καὶ εὐτυχῆ πότμον καὶ εὐδαιμονίαν παραγενομένη σὺν ὄλβῳ καὶ τύχῃ θε-*

---

7 *σύνταξις* margo *μ' φ'*, et Bœckh in textu (*ἄλλως* edd. ante Bœckhium); — lemma *ἤτοι βροτῶν* est in *z ι' μ' ξ' φ'*. — *ὄντος ξ'*. — *τοῦ τέλους z*, *τοῖ* ((sic) *τέλους μ'*. — 8 *ὃ* omm. *a z*. — *ἐπάγοι μ'*. — *διακεκριμένος z*. — 9 Post *δηλονότι* in codd. mixtis et edd. *ἤγουν ὁ θάνατος τοῖς ἀνθρώποις ἄδηλός ἐστι καὶ ἄγνωστος* inseritur. — *ἀνύσομεν a*, *ἀνύσιμον ι''*. — 10 *ἡλίου παῖδα* ex *aq* addidi. — *μετ.*, *παῖδα ἡλίου λέγω* codd. mixti et edd. — 13 *μετὰ* ante *λυπῶν* ex *aq* addidi. — 16 Post *θεόρτῳ* delevi *δέ*. — 17 *θεοδωρίτῳ U*. tacite corr. Mommsen. — 20 Post *μοῖρα* delevi punctum, est post *τούτων* comma addidi. — 21 Post *ἔχει* delevi *παρά*.

ὄρτῳ ἐπάγει καί τι πῆμα παλιντράπελον ἐν ἄλλῳ καὶ ἐν ὑστέρῳ χρόνῳ.

Th. Οὕτω δὴ ἡ μοῖρα καὶ ἡ τύχη ἄγει καὶ φέρει ἐπὶ ἄλλῳ χρόνῳ τὸν εὔφρονα καὶ εὐφραντικὸν πότμον καὶ εὐδαιμονίαν τῶνδε, ἤτοι τῶν σῶν προγόνων σὺν ὄλβῳ καὶ εὐδαιμονίᾳ θεόρτῳ καὶ θεοπέμπτῳ· ἐκ γὰρ θεῶν τὰ ἀγαθὰ τοῖς ἀνθρώποις παραγίνεται· ἄγει παλιντράπελον τοῦτον τὸν πότμον καὶ ἐπί τι πῆμα πατρώϊον καὶ πατρικόν· λέγω δὴ τὸ τοῦ Οἰδίποδος. τὸ δὲ ἅτε ἔχει διὰ μέσου ἀντὶ τοῦ καθὼς ἔχει φύσεως ἡ μοῖρα μεταβάλλειν τὰ πράγματα. λέγει δέ, ὅτι ἡ μοῖρα ἡ φύσιν ἔχουσα μεταβάλλειν ἅπαντα τὴν ἄνωθεν ἐκ θεῶν ἐπελθοῦσαν τοῖς σοῖς προγόνοις εὐδαιμονίαν ἐπὶ δυστυχίαν μετέβαλεν. οὕτω τὸ παλιντράπελον πρὸς τὸ πότμον νόει, τὸ δὲ πατρώϊον πρὸς τὸ πῆμα. ἔχει δὲ λόγον καὶ πρὸς τὸ πότμον νοεῖσθαι, ἵν' ᾖ· τὸν πατρώϊον πότμον τῶνδε, ἤτοι τὴν πατρικὴν αὐτῶν εὐδαιμονίαν.

Tr. Οὕτω δὲ μοῖρα] οὕτω δὲ ἡ μοῖρα καὶ ἡ τύχη, ἥτις ἔχει καὶ συνέχει τὸν εὔφρονα καὶ εὐφραντικὸν πατρώϊον πότμον καὶ τὴν εὐδαιμονίαν τῶνδε, ἤτοι τῶν σῶν προγόνων, σὺν ὄλβῳ καὶ εὐδαιμονίᾳ θεόρτῳ καὶ θεοπέμπτῳ· ἐκ γὰρ θεῶν τὰ ἀγαθὰ τοῖς ἀνθρώποις παραγίνεται· ἄγει καὶ ἐπί τι πῆμα παλιντράπελον ἐν ἄλλῳ χρόνῳ· λέγω δὴ τὸ τοῦ Οἰδίποδος. λέγει δέ, ὅτι ἡ μοῖρα ἡ φύσιν ἔχουσα μεταβάλλειν ἅπαντα τὴν ἄνωθεν ἐκ θεῶν

---

3 Hoc scholium ex ΓΔ edidi. — 4 καὶ post πότμον om. Δ. — 8 ἅτε] ἄτη Γ. — 9 καθῶς Δ. — 9. 10 μεταβαλεῖν Δ. — 10. 11 μεταβαλεῖν Δ. — 12 μετέβαλεν] τέ βαλλεν Δ. — 15 αὐτῶν scripsi pro αὐτοῖς. — 17 σύνταξις, quod μ' in marg. habet, praecedit in ε et ed. Boeckh. — Lemma ex codicibus addidi. — 18 πατρώϊον πότμον ι'' ξ', πότμον πατρ. ε μ' φ', π. καὶ πατρ. edd. — 19 ἤγουν ι''. — τῶν προγ. τῶν σῶν σὺν codd. et edd. exceptis ι'' ξ'. — 20 θεόρπτῳ φ'. — καὶ om. ι''. — 21 ἄγει post πῆμα est in ε. — 22. 23 ἡ φ. ἔ.μ. ἅ. om. μ'.

ἐπελθοῦσαν τοῖς σοῖς προγόνοις εὐδαιμονίαν ἐπὶ δυστυχίαν μετέβαλεν. ἔχει δὲ λόγον τὸ πατρώϊον καὶ πρὸς τὸ πῆμα συνάψαι, ἤγουν πρὸς πατρικὸν ἄγει πῆμα, διὰ τὸ τοῦ Οἰδίποδος πάθος, ὃ καὶ ἐπάγει.

gl. 70. *ἐξ ἐκείνου τοῦ καιροῦ.* — ** *Λάϊον] συνίζησις.* — *μεμοιρασμένος· ὁ Οἰδίπους.* — 71. *συναντῶν αὐτῷ κατὰ τὰς τριπλᾶς ὁδοὺς τῆς Φωκίδος·* — ** *διὰ τὸ μέτρον.* — 72. *μαντευθὲν τῷ Λαΐῳ ὑπ' Ἀπόλλωνος.* — *τὸ πάλαι λεχθὲν αὐτῷ, ὅτε ἀπῆλθε ζητῶν παίδων γένεσιν.*

65—72. M. *Οὕτω δὲ ἡ μοῖρα, ἥτις συνέχει τὴν πατρῴαν τύχην τούτων τὴν ἡδεῖαν σὺν ὄλβῳ, ἤγουν εὐδαιμονίᾳ ὑπὸ θεοῦ ὡρμημένῃ, ἄλλῳ χρόνῳ, ἀντὶ τοῦ κατά τινα χρόνον, καὶ ἐπί τινα βλάβην ἄγει παλιντράπελον, ἤγουν ἐπὶ τὸ ἐναντίον τετραμμένην, ἐξ ἐκείνου τοῦ χρόνου* (70), *ἀφ' οὗ ἔκτεινε τὸν Λάϊον ὁ υἱὸς αὐτοῦ ὁ ἐκ μοίρας δαίμονος τεταγμένος ἀποκτενεῖν αὐτὸν συναντήσας, τὸν παλαιὸν δὲ χρησμὸν τὸν χρησθέντα ἐν τῇ Πυθῶνι τελεσθῆναι ἐποίησεν.*

gl. 73. *θεασαμένη τὸν ἄνομον τοῦτον φόνον.* — * *ταχεῖα.* — *αὕτη γὰρ τοὺς πατροκτόνους τε καὶ φονεῖς τιμωρεῖ.* — 74. *τῷ Οἰδίποδι.* — 75. *Ἐτεοκλέα καὶ Πολυνείκην.* — * *πολεμικὸν ἢ τὸ ἐξ Ἄρεος καταγόμενον· ἐξ Ἀφροδίτης γὰρ καὶ Ἄρεος Ἁρμονία ἡ προμήτωρ αὐτῶν.* — 76. *ἐναπέμεινε.* — 77. *καταβληθέντι, θανόντι.* — 78. *προσήκουσι νέῳ.* — *παλαίστρᾳ,*

---

1 *προγ.*] *ἀνθρώποις* ξ'. — *ἐπὶ δυστ.* om. ι''. — 2 *τὸ* post *πρὸς* om. ξ'. — 3 *πρ. τὸ π.* ξ'. — 4 *καὶ* om. ι''. — 10 In codice *z* deest paraphr. Mosch. vv. 65—72. — *σύνταξις* margo ι''. — Lemma *οὕτω δὲ μοῖρα* præcedit in ι''μ'ξ'φ'. — *πατρῶαν* φ'. — 11 *τὴν* ex *a q* ι''ξ' addidi. — 12 *ὡρμημένης* a, *ὡρμημένω* ι''. — 13 *πάλιν τράπελον* q. — *ἐπιτουναντίον* ξ'. — 15 *τεταγμένος* om. *a*. — 16 *ἐν τῷ π.* a. — 20 *Ἀρήιον*] *πολεμικὸν ἢ* (*ἤγουν* edd.) *τὸ* (*τὸν* φ' edd.) *ἐξ Ἄρεος — αὐτῶν* codd. mixti et edd. inter scholia habent (om. *z*). — 22 *ἡ ἁρμ.* ἢ ι''.

ἱπποσύνῃ καὶ τοῖς ἄλλοις. — 80. *παρὰ πάντων διὰ τὸ εὐδοκιμεῖν.* — *τῆς τοῦ Ἀδράστου θυγατρὸς Ἀργείας, ἣν Πολυνείκης ὁ τούτου πατὴρ ἔγημεν.*

81. *Germ.* *θάλος ἀρωγὸν δόμοις]* *σεμνότης, ἄνθισμα, καλλώπισμα, ἡδονή.*

gl. 81. *βοηθόν.* — * † *τοῖς πατρικοῖς, ἤτοι ταῖς Θήβαις·* * *ὕστερον γὰρ μετὰ Διομήδους στρατεύσας αὐτὰς παρεστήσατο ἐκδικήσας πατέρα· ἢ ἀρωγὸν δόμοις, ἤτοι τῆς αὐτοῦ βασιλείας ὑπέρμαχον.*

82. *Th.* *Ἐκ Λαΐου Οἰδίπους· Οἰδίποδος Ἐτεοκλῆς καὶ Πολυνείκης· Πολυνείκους Θέρσανδρος· οὗ Τισαμενός· οὗ Ἀντεσίων· οὗ Θήρας· οὗ Σάμος. οὗτος ἔσχεν υἱοὺς δύο Τηλέμαχον καὶ Κλύτιον, ὧν ὁ μὲν Κλύτιος ἔμεινεν ἐν Θήρᾳ τῇ νήσῳ, ὁ δὲ Τηλέμαχος κατῴκει ἐν χώρᾳ, ὅθεν συλλέξας δύναμιν ἔρχεται εἰς Σικελίαν καὶ κρατεῖ τῶν τόπων· ἐξ οὗ Χαλκιοπεύς· οὗ Ἐμμενείδης· οὗ Αἰνησίδαμος ὁ τοῦ Θήρωνος πατήρ.*

gl. 82. * † *ἀπὸ τοῦ Θερσάνδρου.* — *ἔχουσιν οἱ τοῦ Θήρωνος πρόγονοι.* — ** *ἀρχήν.*

---

4 *θάλλος ἀῤῥωγόν* *U*, tacite corr. Mommsen. — 6 Glossam Thomanam *τοῖς πατρικοῖς* — *ὑπέρμαχον* edd. et codd. mixti inter scholia habent. — Lemma *ἀρωγὸν* (*ἀῤῥωγόν* *z*) *δόμοις* est in codd. mixtis, *δόμοις* in edd. — *ἤγουν* *ι''*. — *ταῖς* om. *μ'*. — 7 *γὰρ*] *δέ* *A*, in *Γ* cultro resectum est. — *ἐπιστρατεύσας* codd. mixti et edd. — 8 post *ἐκδ.* in codd. mixtis et edd. *τὸν αὐτοῦ* additur. — *ἀῤῥωγόν* *z*. — *ἤγουν* *ι''*. — 9 *ὑπέρμαχος* *Γ*. — 10 *σημειωσαι, ὅθεν ἔχει τὸ γένος ὁ Θήρων* minio scriptum præcedit in *φ'*, *σημείωσαι ὅθεν ὁ Θήρων ἔχει τὸ γένος* miniator in marg. *μ'*. — In initio scholii *Ὅθεν*] *ἤγουν ἀπὸ τοῦ* (*τοῦ* om. *ξ'*) *Θερσάνδρου, οὕτως* (*οὗτος* *ξ'*) legitur in codd. mixtis et edd. — 11 *ἀντεσίων* codd. vett. *ΓΑzφ'* et edd. ante Beckium, *αἰτεσίων* cett. — 15. 16 *ἐμμενίδης* *Iμ'*, *ὀμμενίδης* *φ'*, *ὁ μεμενίδης* *z*, *Ὀμμενείδης* edd. ante Beckium.

73—83. M. Ἰδοῦσα δὲ ὀξέως ἡ ἔφορος τῶν ἀδικουμένων θεὸς φονευθῆναι ἐποίησε τὸ γένος, ἤγουν τοὺς υἱοὺς αὐτοῦ, τοῦ Οἰδίποδος δηλονότι, τοὺς ἀρηΐους, τουτέστι τοὺς πολεμικοὺς καὶ γενναίους, ἢ τοὺς ἀπὸ τοῦ Ἄρεος καταγομένους, δι' ἀλληλοφονίας· πεσόντος (77) δὲ τοῦ Πολυνείκους, ἤγουν φονευθέντος, ὑπελείφθη ὁ Θέρσανδρος ὁ υἱὸς αὐτοῦ, τιμώμενος ἐν ἀγῶσι νέοις ἁρμόζουσι καὶ ἐν μάχαις πολέμου, βλάστημα τῶν Ἀδραστίδων, ἀντὶ τοῦ τῆς Ἀδραστίδος, τουτέστι τῆς θυγατρὸς τοῦ Ἀδράστου, βοηθὸν τῶν δόμων. οὗτος γὰρ σὺν τῷ Διομήδει ἐπιστρατεύσας ταῖς Θήβαις ἐξεδίκησε τὸν τοῦ πατρὸς αὐτοῦ φόνον· ὅθεν (82), ἤγουν ἀπὸ τοῦ Θερσάνδρου, ἔχουσι τὴν ἀρχὴν τοῦ σπέρματος, τουτέστι τοῦ γένους, οἱ περὶ τὸν Θήρωνα δηλονότι.

84. Th. Τοῦτο λέγει, ὅτι αἱ τῷ Ξενοκράτει κατορθωθεῖσαι νῖκαι διὰ τετρώρων εἴς τε τὰ Πύθια καὶ τὰ Ἴσθμια καὶ τοῦ Θήρωνός εἰσιν· ἢ ὅτι τοὺς ἵππους κοινοὺς ἐκέκτηντο, μεθ' ὧν μόνος Ξενοκράτης ἀπελθὼν ἐνίκησεν· ἢ ὅτι τῶν Ξενοκράτους στεφάνων καὶ Θήρων μετέχει. εἰ γὰρ τὰ φίλων κοινά, πόσῳ γε δὴ μᾶλλον τἀδελφῶν;

gl. 84. * + υἱόν, ἤτοι τὸν Θήρωνα. — 85. * ὕμνων ἐκ μέ-

---

1 σύνταξις ed. Boeckh. in textu, φ' in marg. et in textu, ι'' μ' in marg. — Lemma ἰδοῦσα δέ (ἰδοῦσα δὲ Boeckh, ἰδ. γὰρ ξ') est in ι''μ'ξ'φ' ed. Boeckh. — δὲ a q, γὰρ cett. — ὀξίως a. — 2 τοῦ om. a. 3 ἀρείους ξ'. — 4 γενναίως q. — τοῦ om. ξ'. — 4. 5 ἀλληλοφονίαν ι''. — 7. 8 ἀδραστιδῶν ι'', ἀνδραστίδων z. — 8 τῆς om. z. — ἀδράστιδος z μ'. — 9 διομήδη z μ', διομήδι ξ'. — 9. 10 στρατεύσας q. — 10 ἐξεκδίκησε z φ' et ξ' post corr. — 14. 15 κατωρθωθεῖσαι φ', κατωρθωθείσαι μ'. — 15 νίκαι Γ μ' ξ'. — τε om. Γ. — καὶ ἴσθια Λ. — 16 ἐστιν Γ. — ἐκέκτητο Λ. — 18 θήρωνα μ' φ', θήρωνος z. — 18. 19 μετέχει. τὰ γὰρ τῶν φ. κοινά, μάλιστα δὲ τὰ τῶν ἀδελφῶν z. — τὰ omm. μ' φ'. — τῶν ante φίλων omisi cum ΓΛι'' ξ'. — πόσον μ' φ'. — γε om. Γ. — δεῖ Λ. — τἀδ. ΓΛ, τὰ ἀδ. ι'' ξ', τὰ τῶν ἀδ. cett.

*λους γενομένων. — 86. τῶν ἐκ λύρας ᾀσμάτων. — ἐπιτυχεῖν. — 87. ** ἐν τῇ. — ὁ Θήρων. — 88. * βραβεῖον. — ** εἰς τὰ Πύθια.*

89. *Germ.* *'Ομόκλαρον ἐς ἀδελφεόν] διὰ τὸ τοὺς δύο στεφάνους μετασχεῖν ὁμόσε καὶ τῷ αὐτῷ οἴκῳ ἱπποτροφεῖν· ἢ τοῦ αὐτοῦ κλήρου καὶ φύσεως μετέχειν.*

gl. 89. *τὸν τοῦ αὐτοῦ κλήρου διάδοχον Ξενοκράτην.* — 90. *εὐτυχίαι.* — 91. *ἤγουν στεφάνους ἐκ νίκης τεθρίππων.* — 92. *τοσούτους γὰρ ἔτρεχε τὸ τέτρωρον.* — 93. *ἔφερον.* — 94. *ἀγῶνος.* — 95. * *δυστυχίαν.* — *ἐκβάλλει, παύει·* — ** *παραλύει δυσφρόνων] οὕτως ἔχει τὸ κῶλον πρὸς τὸ μέτρον ὀρθῶς.*

93—95. *Th.* *Τὸ δὲ πειρώμενον ἀγωνίας, ἤτοι ἀγωνιζόμενον κατορθῶσαι τὸν ἀγῶνα καὶ νικῆσαι· τοῦτο γάρ ἐστι τὸ τυχεῖν· παραλύει καὶ ἐκβάλλει τὸν νικήσαντα δυσφροσύνης, ἤτοι τῆς πρὶν προσούσης αὐτῷ δυστυχίας. ἡ γὰρ τῆς νίκης λαμπρότης λήθην τῶν ὄπισθεν τίθησιν. εὕρηται δὲ καὶ δυσφροσύναν, ἵν' ᾖ· δυσφροσύναν παραλύει, ἀντὶ τοῦ παύει. εἰκότως δὲ τὴν*

---

1 In *Γ* post *ἐπιτυχεῖν* alia glossa *γρ. χορῶν* legitur, quæ fort. varians lectio est ad vocem *λυρᾶν* spectans. — **4** Lemma ego addidi et ante *διά* delevi verba *ἢ οὕτω.* — **5** *ἱπποτροφοῦντας U*, correxi. — **13** Lemma *τὸ δὲ τυχεῖν (τινα* add. min. in *ξ')* est in codd. mixtis, *τὸ δὲ τυχεῖν πειρώμενον* apud Bœckhium. — **14** *κατωρθῶσαι μ' φ'.* — *καὶ* om. *Γ.* — **15** *τῷ νικήσαντι Γ.* — **15. 16** *τὸν νικήσαντα τῶν δυσφρόνων ἤτοι (ἤγουν ι'') τῶν πρὶν προσόντων αὐτῷ ἀλγεινῶν ἢ δυστυχιῶν. ἡ γὰρ κτλ.* est in codd. mixtis et edd. — **17** *ὄπισθεν* codd., *ἔμπροσθεν* edd. — **17. 18** *εὕρηται — παύει* ex *ΓΔ* accessit. — *εὕρητε Δ.* — *δυσφροσύνην Δ.* — **18** *παραλύει δυσφροσύναν Δ.* — **18 sqq.** *εἰκότως δὲ δύσφρονα τὰ ἀλγεινὰ λέγει (ὠνόμασεν ι'' ξ') ἢ τὴν δυστυχίαν. ἥ τε γὰρ δυστυχία καὶ ἡ λύπη καὶ τὸν συνετ. τοῦ λελ. κατάγει (ἥ τε — κατάγει* om. *z)* codd. mixti et edd.

δυστυχίαν δυσφροσύναν εἶπεν. ἡ γὰρ δυστυχία καὶ τὸν συνετώτατον τοῦ λελογισμένου κατάγει. τοῦτο δὲ λέγει εἰς τὸν αὐτὸν σκοπόν, εἰς ὃν καὶ πρόσθεν ἔλεγε (v. 29 sq.)· *τῶν δὲ πεπραγμένων ἐν δίκᾳ καὶ τὰ ἑξῆς.*

gl. 96. * *δέ* — ** *δή.* — * * *ἤτοι ὁ τῶν ἀρετῶν πλοῦτος.* — *φρονήσει, γενναιότητι, τοῖς ἄλλοις.* — 97. *πεποικιλμένος, κεκοσμημένος.* — 98. * * *προτείνει, διδάσκει.* — *τῶν ἀγαθῶν. τῶν κακῶν.*

96—99. *Th.* *Ὁ πλούτῳ κεκοσμημένος καὶ ἀρεταῖς κατάκοσμος οὔτε ὑπὸ τῆς ἐπελθούσης αὐτῷ εὐτυχίας ἐπαίρεται οὔτε ὑπὸ δυστυχίας χαυνοῦται. διὸ δεῖ τῷ πλουτοῦντι καὶ ἀρετῆς, εἰ μέλλει καλῶς τὸν αἰῶνα διάξειν. φησὶ δὲ καὶ Καλλίμαχος* (H. in Iov. 95)·

Οὔτ' ἀρετῆς ἄτερ ὄλβος ἐπίσταται ἄνδρας ἀέξειν,
Οὔτ' ἀρετὴ ἀφένοιο· δίδου δ' ἀρετήν τε καὶ ὄλβον.

καὶ Σαπφώ (Fr. 80)· *Ὁ πλοῦτος ἄνευ ἀρετῆς οὐκ ἀσινὴς πάροικος· ἡ δ' ἐξ ἀμφοτέρων κρᾶσις εὐδαιμονίας ἔχει τὸ ἄκρον. τοῦτο προσεῖναι τῷ Θήρωνι μαρτυρεῖ.*

gl. 99. *μεγάλην.* — *διδοὺς τῷ αὐτὸν ἔχοντι.* — 100. *σκέψιν καὶ βουλήν.* — *τῶν συμφερόντων θηρατικήν.* — 101. *δίκην γὰρ ἀστέρος καταλάμπει τὸν ἔχοντα.* — *ἔνδοξος.* — *ἀληθές·*

---

2. 3 *τὸν αὐτοῦ σκ. Α ε, τὸν αὐ*[τ] *σκ. Γ, τὸν σκ. αὐτὸν ξ'.* — **3** *ἣν Α.* — *καὶ πρόσθεν] ἔμπροσθεν* codd. mixti (*ἔλ. ἔμπρ. ξ'*) et edd. — In *α* ad v. 95 *ἀπολύει*, ad v. 97 *πεποικιλμένοις* (sic), ad v. 98 *προτείνει, διδάσκει*, ad v. 99 *τὸ ἔγκαιρον* glossæ adscriptæ sunt, quarum pars etiam in codd. mixtis legitur. — **9. 10** *κατάκομος* codd. — **10** *ὑπελθούσης Α.* — **11** *δεῖ] δή ξ'.* — **11. 12** *ἀρεταῖς ι''.* — **12** *μέλλοι Α.* — *ἅπαντα* ante *αἰῶνα* add. edd. — **14** *ὄλβον μ'.* — *ὄλβον ἄτερ ε.* — *ἐπίσταται ὄλβος ΓΑ.* — *αὔξειν ε μ'.* — **15** *δ. δ' ἀρετὴ Γξ', δ. δ' ἀρετῇ Α ε μ' φ'.* — *καὶ* om. *ι''.* — **16. 17** *ἀσινὴς πάροικος ΓΑ, ἀγαθὸς σύνοικος* cett. — **17** *ἔχει τὸ ἄκρον] εὔνοικος ξ'.*

ψυχὴν γὰρ καταλάμπει καὶ οὐ σῶμα, ὡς τὰ ἄλλα φῶτα· — * * Ἀλαθινὸν γράφε, ἵν' οἰκεῖον ᾖ τῷ μέτρῳ, καὶ μὴ ἔτυμον· καὶ ἔχει, μὴ ἔχων· οὐ γὰρ ἔχει καλῶς τὸ ἔχων πρὸς τὴν σύνταξιν.

83—102. M. Πρέπει τὸν τοῦ Αἰνησιδάμου υἱὸν τὸν Θήρωνα τυγχάνειν ἐγκωμιαστικῶν τε μελῶν καὶ λυρῶν, ἀντὶ τοῦ καὶ λυρικῶν μελῶν. κατὰ μὲν (87) γὰρ τὴν Ὀλυμπίαν αὐτὸς βραβεῖον ἐδέξατο, ἐν τῇ Πυθῶνι δὲ καὶ τῇ Ἰσθμοῖ κοινῶν ἵππων χάριτες (90) εἰς τὸν ἀδελφὸν αὐτοῦ τὸν ἐν τῷ αὐτῷ κλήρῳ ὄντα ἄνθη ἤγαγον, ἀντὶ τοῦ τὰ ἐξαίρετα, τὰς νίκας τῶν δυοκαίδεκα δρόμων τῶν ἁρμάτων. δωδεκάκις γὰρ περιήρχετο τὸν δρόμον τὰ τέλεια ἅρματα. τὸ δὲ τυχεῖν (93) τινα ἀγωνίας ἀντὶ τοῦ νίκης ἐν ἀγῶνι, πειρώμενον, τουτέστι ζητοῦντα τυχεῖν αὐτῆς, παραλύει, ἀντὶ τοῦ ἀπολύει, ἐλευθεροῖ τῶν ἀλγεινῶν (εὔφρον τὸ ἡδύ, δύσφρον τὸ ἐναντίον, ἤγουν τὸ ἀλγεινόν). ὁ δὲ πλοῦτος (96) ὁ πεποικιλμένος ἀρεταῖς, τουτέστιν ὁ τῶν ἀρετῶν πλοῦτος διδάσκει τὸ ἔγκαιρον τῶν καὶ τῶν, ἀορίστως ἀντὶ τοῦ πάντων, ἤτοι τῶν ἀγαθῶν καὶ λυπηρῶν, διάνοιαν (99) διδοὺς βαθεῖαν, ἤγουν συνετήν, ἀγροτέραν, ἀντὶ τοῦ ἀγρευ-

---

2 Glossa Tricl. in ξ' a miniatore post schol. Thom. ad v. 103—106 inserta est. — 5 σύνταξις margo z μ' φ'. — τοῦ ex a q addidi. — τὸν ἱέρωνα z μ', om. ι''. — 6 καὶ post τοῦ om. φ'. — 7 λυρικῶν] λυρῶν ξ'. — 8 δέ om. a. — τῇ om. ξ'. — ἰσθμῇ κοινὰ ι''. — 9 τὸν ἀδελφεὸν τὸν αὐτοῦ τόν ι''. — κλήρῳ] λύρῳ ξ'. — 10 τὰ om. a. — νίκας] νίκας γάρ z. — δύο καίδεκα q, δύο καιδέκα μ'. — 11 τῶν ἁρμ. — δρόμον om. μ'. — περιήρχοντο q ι''. — 13 ἐν ἀγῶνα q. — τουτέστι] ἀντὶ τοῦ z ξ' φ'. — 14 ἀπολύει om. z. — ἀπ. καὶ ἐλ. ξ' φ'. — ἐλευθεροῖ z. — 14. 15 Verba εὔφρον — ἀλγεινόν repetuntur in marg. inf. codicis a. — 16 ταῖς ἀρεταῖς ι''. — τουτέστι (sic, om. ὁ) ξ'. — 18 ἤγουν ι''. — ἤτοι — λυπηρῶν om. q. — καὶ τῶν λυπ. ι''. — 19 ἀντὶ τοῦ a q z μ', τουτέστιν cett.

τικὴν τῶν καλῶν, ἀστὴρ ὢν δηλονότι διάδηλος, φῶς ἀνθρώπῳ ἀληθινόν.

102. 103. *Th.* *Ἅπαντες οἱ ἄνθρωποι οἱ μὲν τὸ εἰ δέ μιν ἀναπόδοτον λέγουσιν, οἱ δὲ πρὸς τὸ ἔχων ὑπάρχει λαμβάνουσιν ἔξωθεν. τὸ δ' ἔστι τοιοῦτον· εἰπὼν γὰρ ἄνω· ἀστὴρ ἀρίζηλος ἐτυμώτατον ἀνδρὶ φέγγος, ἐπήγαγεν· εἰ δέ μιν ἔχων τις οἶδε τὸ μέλλον, ἤγουν εἰ καὶ τῆς ἐντεῦθεν ἀποδημίας ἔννοιαν ἔχει καὶ μὴ πρὸς τὰ παρόντα μόνον κέχηνε. γίνεται δὲ πᾶσιν ἡ ἀπάτη ἀπὸ τοῦ δέ, ἀγνοοῦσιν, ὅτι καὶ ἄλλα πολλὰ τοιαῦτα εὕρηται. ὥσπερ γάρ φαμεν, ὅτι ὃ παραινεῖς ἐμοί, ποιήσω, εἰ καὶ αὐτὸς δὲ τοὐμὸν τελέσειας βούλημα, οὕτω καὶ τοῦτο. λέγει δὲ τὸ εἰ δέ μιν οὐκ ἀμφιβάλλων οὐδ' οἰόμενος ὡς οὐχ οἰόντε τῆς ἀρετῆς ἀντιποιούμενον μὴ καὶ τοῦ μέλλοντος ἔχειν πρόνοιαν (πῶς γάρ;)· ἀλλὰ πλαγιάζων καὶ σχηματίζων τὸν λόγον. δέον γὰρ οὕτως εἰπεῖν· ἀστὴρ ἀρίζηλος ἐτυμώτατον ἀνδρὶ φέγγος· ὁ δέ μιν ἔχων τις οἶδε τὸ μέλλον, οὐχ οὕτως ἐποίησεν, ἀλλ' ἐπλασίασε σχηματίσας τὸν λόγον καὶ ἀντὶ τοῦ ὁ δέ μιν, εἰ δέ μιν εἶπεν.*

102—106. *Germ.* *Εἰ δέ μιν] ὧδε μέμνηται τὰς τρεῖς μετεμψυχώσεις. εἰ δέ τις τοῦτον ἔχων τὸν πλοῦτον οἶδε τὸ μέλ-*

---

2 *ἀληθινόν] ἀληθινός ι'', διάδηλον ε μ' φ'.* — **3** Scholium Thomanum ex *ΓΛ* edidi. — *οἱ* post *ἅπ.* om. *Γ.* — **4** *ἔχει Λ.* — **7** *τίς Γ.* — **8. 9** *γράφεται Γ.* — **9** *καὶ ἄλλα* om. *Γ.* — **10** *γὰρ φαμὲν Λ.* — *ὅτι* om. *Γ.* — **12** *ἀμφιβάλων Γ.* — **16** *τὶς Γ, τίς Λ.* — **19** *ὦδε U,* tacite corr. Mommsen. — In scholio ad v. 104, quod Bœckh ex Vrat. D. Gott. edidit, post verba *οὐκ ἀπίθανον δέ, φησίν, ὑπὸ τῶν τελευτησάντων τιμωρεῖσθαι τοὺς ζῶντας* in *U ἀλλὰ κακόζηλον* additum legitur, ad quem locum hæc extat Mommseni nota: «Germanus haud raro aut laudem aut vituperationem poetæ addit, iisdem plerumque formulis». — In eodem scholio pro verbis *ἔξωθεν οὖν χρῆσθαι αὐτῷ πρὸς εὐσέβειαν δεῖ* in *U* hæc leguntur: *ἔξωθεν δὲ* (sic) *χρῆται αὐτῷ πρὸς δικαιοσύνην· ἢ χρῆσθαι αὐτῷ πρὸς θεοσέβειαν.*

λον, ὅτι οἱ ἀπάλαμνοι φρένες αὐτίκα ἐνθάδε ὑπὸ τῶν θανόντων ποινὰς ἔτισαν, οὐκ ἂν ἑαυτῷ εἰς ἀδικίαν ἐχρήσατο.

103—106. *Th.* *Τὸ ἐνθάδε πρὸς τὸ ἀπάλαμνοι συναπτέον, τὸ δὲ αὐτίκα πρὸς τὸ ἔτισαν, οὕτως· αἱ ἀπάλαμνοι καὶ βίαιοι φρένες τῶν θανόντων, ἤγουν οἱ συκοφάνται καὶ πονηροὶ καὶ βίαιοι ἐν τῷ βίῳ, ἀποθανόντες ποινὰς ὧν ἥμαρτον ἔτισαν καὶ ἀπέδωκαν αὐτίκα ἐν ᾅδου.*

gl. 102. *τῷ ἔχοντι αὐτόν.* — 103. *γινώσκει.* — 104. * * *τῶν ἀποθανόντων ἀνθρώπων.* — 105. *ἐν τῷ κόσμῳ.* — *κακαί, εἰς ἃς οὐκ ἔστι μηχανήσασθαι φάρμακον.* — 106. *δίκας ὧν ἥμαρτον ἀπέδωκαν ἐν ᾅδου.* — *ἤτοι τῷ κόσμῳ.*

106. *Th.* *Διὸς ἀρχὴ ὁ οὐρανὸς καὶ ὁ κόσμος, Ποσειδῶνος θάλασσα καὶ πάντα τὰ ὕδατα, Πλούτωνος τὰ ὑπὸ γῆν καὶ ὁ Τάρταρος.*

gl. 107. *τὰ κακῶς ὑπ' ἀνθρώπων πεπραγμένα.* — * * *ὑποκάτω τῆς γῆς.* — *εἰς ἐξέτασιν καὶ κρίσιν ἄγει·* — † *κολάζει, κρίνει.*

108. *Th.* *Λόγον λέγει τὴν ἀπόφασιν. σύναπτε δὲ τὸ ἐχθρᾷ ἀνάγκῃ πρὸς τὸ δικάζει, τὸ δὲ λόγον φράσας διὰ μέσου οὕτω· δικάζει τις ἐν ἐχθρᾷ καὶ ἀποτόμῳ ἀνάγκῃ, φράσας τὸν λόγον καὶ τὴν τῆς καταδίκης ἀπόφασιν. εἰκότως δὲ εἶπε τὸ ἐχθρᾷ καὶ τὸ ἀνάγκῃ· τὸ μὲν ἀνάγκῃ διότι ἀπαραί-*

---

3 Scholium ad vv. 103—106 om. *ε.* — *ἀπάλαμνον μ φ'.* — 4 *οὕτω Δ.* — *οἱ ἀπ. μ φ'.* — 5. 6 *φρένες* — *βίαιοι* om. *ξ.* — 5 *καὶ οἱ π.* codd. et edd. exceptis *ΓΔι'.* — 12 Scholium ad v. 106 om. *ε.* — *ὁ* ante *κόσμος* om. *ι'.* — 18 *λόγον*] *ἀνάγκην* edd. ante Bœckhium. — 19 *ἐχθρὰ ξ.* — *ἀνάγκᾳ* edd. — *πρὸς τὸ κολάζει ι'.* — *τὸ δέ*] *τοῦ* edd. ante Bœckhium. — 19. 20 *διαμέσου Δ.* — 20 *οὕτως εξ.* — *τίς Δ.* — *ἐν τῇ ἐχθρᾷ (ἐχθρὰ ξ') φ'* et Bœckh. *τῇ ἐν ἐχθρᾷ* edd. ante Beckium, qui *ἐν* delevit (secutus est Heyne), sed etiam *τῇ ἐνεχθεῖ* legi posse observavit. — 20. 21 *ἀνάγκᾳ φησὶ τὸν* edd. — 22 *καὶ τὸ μὲν ἀνάγκῃ ξ.* — *τὸ μὲν ἀνάγκῃ* omm. *εφ'.*

τόν ἐστι τὸ ἐκεῖ δικαστήριον· τὸ δὲ ἐχθρᾷ, διότι οὐδεὶς ἐκεῖ φίλος, ἀλλ' ἕκαστος ἐκ τῶν ἔργων αὐτοῦ δικαιοῦται καὶ κατακρίνεται.

gl. 108. *ὁ Ῥαδάμανθυς. — ἐν ἀποτόμῳ καὶ βιαίᾳ. — * διδούς, τοῖς κολαζομένοις δηλονότι.*

102—108. *M. Εἰ γὰρ ἔχει τις αὐτόν, ἤγουν τὸν τῆς ἀρετῆς πλοῦτον, οἶδε τὸ μέλλον, ὅτι* (104) *τῶν θανόντων μὲν αἱ φρένες αἱ ἀπάλαμνοι, τουτέστιν αἱ ἀδιόρθωτοι, αἱ ἀπαιδαγώγητοι, πρὸς ἃς οὐκ ἔστι τι μηχανήσασθαι, ἐνθάδε αὐτίκα, ἀντὶ τοῦ τάχιστα, τιμωρίας* (106) *ἔτισαν, ἀντὶ τοῦ ὑπέχουσι· τὰ δὲ ἁμαρτήματα τὰ ἐν ταύτῃ τῇ ἡγεμονίᾳ τοῦ Διός, ἤγουν τὰ ἐν τῷ κόσμῳ, ὑποκάτω τῆς γῆς κολάζει τις, ἤγουν ὁ Πλούτων, ἀπόφασιν δοὺς ἀνάγκης ἐχθρᾶς, τοῖς κολαζομένοις δηλονότι.*

gl. 109. * * *ἴσον γράφε καὶ ἴσα, ἵν' ὀρθῶς ἔχῃ τὰ κῶλα πρὸς τὸ μέτρον. — νυξίν. —* 111. *ἀμοχθότερον τῶν ἐν τῷ βίῳ.* 112. *ἀγαθοί. — ζωήν.*

109—113. *Germ. Ἡ σύνταξίς ἐστιν αὕτη· ἐσθλοὶ μὲν αἰεί, ἐν ἴσαις νύκτεσσιν, ἐν ἴσαις ἡμέραις, δέρκονται τὸν ἥλιον, ἔχοντες ἀπονέστερον βίοτον.*

Th. Οἱ δὲ ἐσθλοὶ καὶ ἀγαθοὶ δέρκονται καὶ ὁρῶσιν αἰεὶ

---

1 *ἐκεῖσε* z. — *ἐχθρὰ* ξ'. — 2 *αὐτοῦ* ex ΓΔ addidi. — 6 Lemma *εἰ δέ μιν ἔχει* est in z ι' μ' φ' ed. Boeckh., *σύνταξις* est in marg. ι' μ' φ'. — 7 *μέλον* μ'. — 8 *τουτ. αἱ διαρθωτοί* q. — 9 *οὐκέστι* q, *οὐκ ἐστὶ* ι'. — *τί μηχ.* a, *τι μηχ.* q ξ' (*μηχανίσ.* ξ'), *μηχανήσασθαί τι* cett. excepto ι', qui om. *τι*. — 11 *τὰ* ante *ἐν τῷ* om. a. — 12 *διδοὺς* ξ'. — *ἀπόφασιν δοὺς* et *ἃς* (ad *ἐχθρᾷ*) est glossa in a. — 13 *ἐχθρὰς* ι'. — 17 Post *ἡ* delevi *δέ*. — *σύνταξις ἔστιν* U, tacite corr. Mommsen. — 20 Hoc scholium Thomanum (immo Triclinianum) in codd. cum scholio ad v. 108 cohaeret (sed novi commatis initium notatur in Δ z ι' μ' φ') et in codd. mixtis post paraphrasin Moschopuleam vv. 102—108 legitur. — 20 Scholium Thomanum ex ΓΔ edidi.

καὶ πάντοτε ἥλιον ἐν ἴσαις νύκτεσιν, ἴσαις δὲ ἡμέραις, τουτέστιν ὅσον καιρὸν ἔχομεν ἡμέραν καὶ ὅσον νύκτα, ἐκεῖνοι ἀεὶ ἐλλάμπονται ἔχοντες βίον ἀπονέστερον τῶν ἐν τῷ βίῳ.

Tr. *Οἱ δὲ ἐσθλοὶ καὶ ἀγαθοὶ ἔχοντες αἰεὶ καὶ πάντοτε ἥλιον ἐπίσης ἐν ἡμέραις καὶ νυξί, τουτέστιν ὅσον καιρὸν ἡμεῖς ἔχομεν ἡμέραν καὶ ὅσον νύκτα, ἐκεῖνοι ἀεὶ ἐλλαμπόμενοι νέμονται βίον ἀπονέστερον τῶν ἐν τῷ βίῳ.*

gl. 113. *τὴν γῆν.* — *κινοῦντες ἤτοι σκάπτοντες καὶ ἀροῦντες.* — 114. * *ἰσχύϊ·* — * * *διὰ τῆς ἰσχύος τῶν χειρῶν.* — 115. * *ταράσσοντες·* — † *ταράσσοντες ἀπὸ κοινοῦ, ἤγουν οὐδὲ ναυτιλίᾳ χρώμενοι.*

116. Tr. *Δέον εἰπεῖν κενῶς καὶ ματαίως· ματαίως γὰρ οἱ ἄνθρωποι περὶ τὸ ζῆν σπεύδουσιν, ἐπεὶ καὶ τὸ ζῆν μάταιον· κεινὰν εἶπε πρὸς τὸ δίαιταν.*

gl. 116. * † *ματαίαν.* — *διά·* — * *εἰς.* — *τροφήν.* — 117. *Κρόνῳ καὶ Ῥαδαμάνθυϊ.* — 118. * * *ἐκεῖνοι.* — 119. *ἀληθείαις.* — 121. *οἱ ἄδικοι δηλονότι.* — *ὃν οὐδεὶς δύναται προσβλέψαι διὰ τὸ βαρύ.*

122. M. *Ὀχέοντι] ὄχος γὰρ τὸ ὄχημα, ὡς ἐν ἄλλοις οὗτος* (Ol. VI, 23)· *ὄφρα κελεύθῳ τ' ἐν καθαρᾷ βάσομεν ὄχον.*

---

1 *νύκταις* Δ. — 2. 3 *ἐλάμπονται* Γ. — 4 *ἀεὶ* ι'. — *καὶ πάντοτε* omm. ε ι'. — 5 *ἐν* om. ι'. — 5. 6 *ἔχ. ἡμεῖς* ε. — 6 *αἰεὶ* ι'. — *ἐλαμπ.* ε μ', *λαμπόμενοι* ξ'. — 12 *κενῶς* om. ξ'. — »In Rec. nullus sensus erat, cum vulgo semel tantum legeretur *ματαίως*, nec parentheseos signa essent posita« Beck. — 15 Ad v. 116 glossae *ματαίαν*, *διά* et *τροφήν*, ad v. 120 *ἄλυπον* et *διάγουσι*, ad v. 121 *ἤγουν ζωήν* et *οἰδέ*, ad v. 122 *ἤγουν ὑφίστανται ἀπὸ μεταφορᾶς τῶν ὀχημάτων* leguntur in a. — 19 Scholium Mosch. ad v. 122 in marg. int. habet a, paraphrasi Moschopuleae vv. 109—122 una cum scholio Mosch. ad v. 125 post vocem *δικαίους* insertum est in q. — *ὀκχεύοντι* q, omm. ι'μ'ξ'φ'. — *γὰρ* omm. codd. mixti. — *ὄχυμα* a. — 20 *ὄφα κελεύθεν τ' ἐν* a. — 21 *ὄκχα* ξ'.

gl. 122. *ἐκτίνουσιν, ὑφίστανται. — κόλασιν.*

109—122. M. *Οἱ δὲ ἀγαθοὶ ἐπίσης ἐν ταῖς νυξίν, ἐπίσης δὲ ἐν ταῖς ἡμέραις ἥλιον ἔχοντες, ἤγουν ἀεὶ ἐν φωτὶ ὄντες, ἀπονέστερον, ἀντὶ τοῦ ἄπονον, ἀκοπίατον ζωὴν νέμονται, τουτέστι διάγουσιν, οὐ χθόνα* (113) *ταράσσοντες διὰ τῆς ἰσχύος τῶν χειρῶν, ἤγουν οὐ γεωργοῦντες, οὐδὲ τὸ τῆς θαλάσσης ὕδωρ ταράσσοντες, τουτέστιν οὐδὲ ναυτιλίᾳ χρώμενοι διὰ ματαίαν* (116) *τροφήν, οἷα κάμνουσιν ἐν τῇ παρούσῃ ζωῇ ἄνθρωποι, ἵνα βίον πορίσωνται· ἀλλὰ παρὰ μὲν τοῖς τιμίοις ἀπὸ τῶν θεῶν, ἤγουν τοῖς ἐν ᾅδου, τῷ Πλούτωνι δηλονότι καὶ τῇ Περσεφόνῃ, ἄλυπον* (120) *βίον διάγουσιν ἐκεῖνοι, οἵτινες ἔχαιρον εὐορκίαις, τουτέστι τρόποις εὐσεβέσι καὶ δικαίοις· οἱ δέ, ἤγουν οἱ τῆς ἑτέρας μερίδος, οἱ κακοὶ δηλονότι καὶ ἀπαιδαγωγήτους ἔχοντες γνώμας, πόνον ὀκχέοντι, τουτέστιν ὑφίστανται, ἀπὸ μεταφορᾶς τῶν ὀχημάτων, ἀπροσόρατον, ἤγουν μέγαν καὶ οὐ προσβλέπεσθαι δυνάμενον, μεταφορικῶς ἀντὶ τοῦ ἀνύποιστον.*

123. Tr. *Ἐς τρίς] τῆς κατὰ Πυθαγόραν παλιγγενεσίας μνημονεύει· οὗτος γὰρ τὰς ψυχὰς εἰς ἕτερα σώματα εἰσδυούσας φησὶν ἀνανεοῦσθαι.*

---

2 Lemma *ἴσον (ἶσον μ') δέ* est in codd. mixtis, *ἶσον δὲ νύκτεσσιν* in edd. — *σύνταξις*, quod in ed. Boeckh. post lemma legitur, est in marg. *ι' μ' φ'.* — *οἱ ἀγ. δέ μ'.* — *δέ* post *ἐπίσ.* om. *z.* — 3 *ἀεὶ* om. *q.* — 4 *ἀκοπίαστον* Beck, Heyne, om. *z.* — 6 *τῆς* om. *ι''.* — *θαλάττης q.* — 7 *ταράττοντες qz.* — *τουτέστιν a ι'' μ' ξ'*, omm. *z φ'*, *ἤγουν* [*q*?] edd. — *οὐ ναυτ. ξ'.* — *ματαίαν μ'.* — 8 *ταφὴν ξ'.* — *παρούσα a.* — *ζωή ξ'.* — *οἱ ἄνθρωποι z ι'' μ' ξ' φ'* edd. — 9 *πορίσονται a.* — Post *πορίσ.* in *z σύνταξις* additum est. — 12 *οἱ ἀπὸ τῆς z φ'.* — 13 *καὶ* om. *q.* — 14 *ἐκχέοντι ξ'.* — 17 Crux præfigitur in *ι'' μ' ξ' φ'.* — *ἔνιοί φασι τ. κ. Π. π. μνημονεύειν (μνημονεύειν* fort. etiam *z)* edd. — 19 In codd. et edd. sequitur scholium Thomanum ad vv. 123—128, cui in edd. *ἄλλως*, in *z σύνταξις* præfixum est.

gl. 123. *τῶν ἀνθρώπων. — ἠθέλησαν. — ἐκ τρίτου.* — 124. *ἐν τῷ βίῳ καὶ ἐν τῷ ᾅδῃ. — διάξαντες.*

125. M. *Ἀδίκων] ἄδικον τὸ μετέχον ἀδικίας καὶ αὐτὴ ἡ ἀδικία. ἐνταῦθα τὸ δεύτερον.*

gl. 125. † *ἀπὸ] ὑπερβατόν. — μακρὰν παντελῶς.* — * * *ἀπὸ ἀδικιῶν.* — 126. *ἐπορεύθησαν.* — 127. *ἣν ὁ Ζεὺς τοῖς δικαίοις ἔταξεν. — τὴν πόλιν· πρῶτοι γὰρ Τυρσινοὶ τὴν πόλιν ἐποίησαν.*

122—128. *Th.* *Τῷ τῆς μετεμψυχώσεως δόγματι καὶ Πίνδαρος τίθεται, ὃ τὴν ἀρχὴν ἐξ Ὁμήρου ἔσχε. λέγει γὰρ ἐκεῖνος* (Od. σ 78)· *μήτ' εἴης, βουγάϊε, μήτε γένοιο. οὗ Πυθαγόρας δεξάμενος πλατύτερον εἰς μέσον ἐξήνεγκεν. ὅτι δὲ καὶ Πλάτων τῶν τούτῳ πιστευόντων ἦν, μαρτυρεῖ Φαίδων. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ὅσοι δὲ τῶν ἀνθρώπων ἐτόλμησαν καὶ ἠθέλησαν ἔχειν τὴν ψυχὴν ἄπο καὶ μακρὰν τῶν ἀδίκων πάμπαν καὶ παντελῶς, μείναντες ἐς τρὶς καὶ ἐκ τρίτου ἑκατέρωθι, ἤγουν ἐν τῷ βίῳ καὶ ἐν τῷ ᾅδῃ, ἔστειλαν καὶ ἐπορεύθησαν Διὸς ὁδόν, ἤγουν ἣν ὁ Ζεὺς αὐτοῖς ἔταξε, παρὰ τὴν τύρσιν καὶ τὴν πόλιν του Κρόνου, ἤγουν ἐν ταῖς τῶν μακάρων νήσοις. ἐγένετο δὲ ἡ ἐκ τρίτου διαγωγὴ καὶ ἐν τῷ βίῳ καὶ ἐν τῷ ᾅδῃ, εἰς δόκιμον*

---

3 Scholium Mosch. ad v. 125, quod ex *aq* edidi, in *a* post scholium ad v. 122 in marg. infer., in *q* paraphrasi Moschopuleæ vv. 109—122 post vocem *δικαίοις* insertum legitur. — *ἄδικον* om. *q*. — *τὸ μὴ μετ.* *a*. — *μετέχων* *q*. — *αὐτῇ* *q*. — **7** *τυρσινοὶ* codd. omnes. — **9** *μετ' ἐμψ.* *μ' φ'*. — **9. 10** *κ. Πίνδ. τίθ.* om. *z*. — **10** *πείθεται* *ξ'*, *κέχρηται* edd. — *ὃ — ἔσχε] ἀρχὴν ἐξ Ὁμήρου ἔχων* edd. — **11** *ὁ Πυθ.* edd. — **12** *ἐκδεξάμενος* codd. et edd. exceptis *ΓΔ*. — *ἐς ξ'*. — **13** *τούτῳ* *Γι' μ' ξ'ψ'*, *τοῦτο* cett. — **14** *ἐτόλμ. καὶ* om. *z*. — **15** *μακρὰν δὲ τῶν* *z*. — **16** *καὶ ἐς τριτον* *z*. — **17** *ᾅδει* *z*. — *ἔστειλαν* *ΓΔ*, *ἔτειλαν* cett. e Triclinii sententia. — **18** *ἣν] ἡ* *Γ*. — *αὐτοῖς ὁ Ζεὺς* edd. — **19** *ἐγένετο* *ΓΔξ'*, *ἐγίνετο* cett. — *δὲ καὶ ἡ* *z*. — **20** *δοκίμιον* *Δξ'*, fort. recte.

ἀκριβές. — Tr. αἱ δὲ τῶν μακάρων νῆσοι ἐν τῷ Ὠκεανῷ εἰσιν, ὥς φησιν Ὅμηρος (Od. δ 568)·

Ὠκεανὸς δ' ἀνίησι παραψυχὴν ἀναψύχειν ἀνθρώπους.

gl. 128. ἔνθα] εἰς τὴν πόλιν. — 129. τὸ λεγόμενον Ἠλύσιον πεδίον. — αἱ ἐξ Ὠκεανοῦ. — ** νᾶσος χρὴ γράφειν διὰ τὸ μέτρον ἀντὶ τοῦ νήσους ἐκβολῇ τοῦ υ· ὡς τὸ ἐπιτηδὲς (Hom. Il. A. 142) ἀντὶ τοῦ ἐπιτηδείς. — 130. πνοαί. — 131. ἄνθη. — ἤγουν χρυσοειδῆ. — λάμπει, στίλβει. — 132. ἤγουν ἐκ τῆς ἐν τῇ νήσῳ χέρσου. — 133. λαμπρῶν· — † ἐσθλῶν. — δένδρων. — 134. τὸ ἐκεῖ ῥέον. — ῥόδα, κρίνα, ἴα. — τρέφει.

135. 136. *Th.* Τοῦτο οὕτω λέγε· τῶν καὶ ἀφ' ὧν ἀναπλέκουσι τὰς χεῖρας ἐν ὅρμοις καὶ πλέκουσι στεφάνους εἰς τὰς αὐτῶν κεφαλάς. δέον δὲ εἰπεῖν ὅρμους ἐν ταῖς χερσὶν ὥσπερ τὸ στεφάνους, τὸ μὲν ὅρμοις κατὰ πλαγιασμὸν εἶπεν ἀντιστρόφως, ὥσπερ φαμὲν τὸ ἔδωκαν αὐτῷ θάνατον. τὸ δὲ στεφάνους ὀρθῶς εἴρηκεν.

Tr. Ὅρμοισι τῶν] τοῦτο οὕτω λέγε· τῶν καὶ ἀφ' ὧν ἀναπλέκουσι τὰς χεῖρας ἐν ὅρμοις καὶ ἐν στεφάνοις, τὰς ἑαυτῶν κεφαλὰς δηλονότι. καὶ ἔστιν ὅμοιον τῷ παρ' Εὐριπίδῃ (Orest. 1086)·

Μήθ' αἷμά μου δέξαιτο κάρπιμον πέδον,
Μὴ λαμπρὸς αἰθήρ·

τὸ πνεῦμά μου δηλονότι.

gl. 135. περιπλέγμασι· — † περιτραχηλίοις κόσμοις. — ἀφ' ὧν. — τὰς αὐτῶν. — 136. οἱ ἐνταῦθα ὄντες κοσμοῦσι. — * ἐπὶ τὰς αὐτῶν κεφαλάς. — 137. † κρίσεσιν. — ἀληθέσιν· — † δικαίαις. — 138. Ῥαδάμανθυν. — * πάντων, ὃ καὶ σύναπτε

---

3 δ' delevit Beck. — παραψυχὴν uncinis incluserunt edd. inde a Beckio. — 11 Scholium Thomanum ex ΓΑ edidi. — 12 καὶ ante στεφ. add. Α. — 17 Schol. Tricl. om. z. — 19 εὐριππίδη ξ.

*ἐνταῦθα· — * * πάντων. — * * Κρόνος χρὴ γράφειν, οὐ γᾶς, ἵν' ἔχῃ πρὸς τὸ μέτρον ὀρθῶς. — πρόχειρον, αὐτόκλητον· — ἑαυτῷ. — * * παρακαθήμενον.* — 140. *πάντων] πατήρ.* — 141. *ἔξοχον. — * * οἱ γράφοντες ὕπατον ἀγνοοῦσι τὰ μέτρα. — * τῆς. — * † βασιλείαν.*

138—141. *Th.* *Ὅντινα Ῥαδάμανθυν ἔχει πάρεδρον Κρόνος ὁ παῖς τῆς Γῆς· ἐξ Ὠκεανοῦ γὰρ καὶ Γῆς ἡ τῶν θεῶν, ὥς φασι, γένεσις· ὁ πόσις καὶ ὁ ἀνὴρ τῆς Ῥέας τῆς ἐχούσης θρόνον ὕπατον καὶ ἔξοχον.*

Tr. *Ὃν πατήρ] ὅντινα Ῥαδάμανθυν ἔχει πάρεδρον καὶ συγκάθεδρον ἕτοιμον καὶ πρόχειρον καὶ αὐτόκλητον ὁ πάντων πατὴρ Κρόνος, ὁ πόσις καὶ ὁ ἀνὴρ τῆς Ῥέας τῆς ἐχούσης θρόνον ὑπέρτατον καὶ ἔξοχον πάντων.*

123—141. *M.* *Ὅσοι δὲ ἐτόλμησαν, τουτέστιν ὑπέμειναν, μέχρι τρίτης μετεμψυχώσεως ἐν ἑκατέροις τοῖς μέρεσιν, ἤγουν ἐνταῦθα καὶ ἐν τῷ ᾅδῃ μείναντες ἀπέχειν τὴν ψυχήν, τουτέστι κεχωρισμένην ἔχειν τῶν ἀδικιῶν, ἔτειλαν* (126) *ἀντὶ τοῦ ἐστείλαντο, ἤγουν ἐπορεύθησαν τὴν τοῦ Διὸς ὁδόν, ἣν ὁ Ζεὺς δηλονότι αὐτοὺς πορεύει, λέγω παρὰ τὴν πόλιν τοῦ Κρόνου, τουτέστι*

---

1 Notulam Triclinianam de scriptura *Κρόνος*, quæ etiam a Mommseno affertur, e meis codicibus *μ' ξ'* soli exhibent. — *γάρ μ'*, *γῆς* Mommsen. — 2 *τὰ μέτρα* Mommsen. — 6 Scholium Thomanum ex *ΓΔ* edidi, in quibus codicibus cum superiore scholio cohæret. — 7 *καὶ Γῆς] καὶ τῆς Γ.* — *ἡ* om. *Γ.* — 7. 8 *ὡς φασὶ ΓΔ.* — 8 *γέννεσις Δ.* — 10 Schol. Tricl., quod om. *z*, cum superiore scholio Tricliniano cohæret in codd. — *ὃν ὁ π. ξ'.* — 11 *αὐτόκλ. ὃν ὁ π. ξ'.* — 12 *ὁ* post *καὶ* om. *ι'.* — 13 *πάντων* omm. *μ' ξ' φ'.* — 14 *Ὅσοι δὲ ἐτόλμησαν* est lemma in *ξ'*, *ὅσοι δ' ἐτόλμησαν* in *φ'*, *ὅσοι δ' ἐτόλμασαν* (η supra α) in *μ'*. — *σύνταξις φ'* in textu, *ι' μ'* in marg. habent. — *δὲ ἐτόλμ.] δ' ἐπέμειναν z*, *δ' ἐτόλμ. ι'.* — 15 *μετ' ἐμψ. q μ'.* — 16 *ᾅδει z.* — 17 *κεχ. ἐκ τῶν ἀδίκων z.* — 18 *ἤγουν] καὶ z*, om. *ξ'.* — 19 *λέγει* (ω supra ει) *ι'.* — *παρὰ* om. *z.*

παρὰ τὴν πόλιν ἔνθα ὁ Κρόνος ἔχει τὴν οἴκησιν, ἔνθα (128) *τὰς νήσους τῶν μακάρων αἱ τοῦ Ὠκεανοῦ αὖραι περιπνέουσιν, ἀντὶ τοῦ ἔνθα αἱ τῶν μακάρων εἰσὶ νῆσοι ὑπὸ τῶν αὐρῶν τοῦ Ὠκεανοῦ περιπνεόμεναι. ἄνθη δὲ χρυσοῦ λαμπρότατα λάμπει, τὰ μὲν ἀπὸ τῆς γῆς ἀπ᾽ ἀγλαῶν, ἀντὶ τοῦ εὐθαλῶν δένδρων· ἄλλα δὲ τρέφει τὸ ὕδωρ. ἀφ᾽ ὧν* (135) *ἀναπλέκουσι ταῖς χερσὶ τοὺς περιτραχηλίους κόσμους καὶ στεφάνους κατὰ τὰς κρίσεις* (137) *τὰς δικαίας τοῦ Ῥαδαμάνθυος, ὃν ὁ πατὴρ πάντων ὁ Κρόνος ἔχει παρακαθήμενον ἑαυτῷ ἕτοιμον, τουτέστιν ἀχώριστον, ὁ ἀνὴρ ὁ τῆς Ῥέας τῆς ἐχούσης θρόνον ὑψηλότατον πάντων.*

gl. 142. *τῷ Κρόνῳ καὶ Ῥαδαμάνθυι.* — * *συνάπτονται, συναριθμοῦνται* — * * *συγκαταλέγονται.* — 143. *ἐνέβαλεν ἐνταῦθα.* — 144. *τοῦ Διός.* — *παρακλήσεσι.* — *κατέπεισε.* — *ἡ Θέτις.* — 145. *κατέβαλε.*

146. *Tr.* *Εἰκότως εἶπε τὸν Ἕκτορα κίονα· ἐκεῖνος γὰρ ἦν ἔρεισμα τῆς Τροίας, οὗ πεσόντος ἐπὶ σαθροῦ τὸ Ἴλιον εἱστήκει.*

gl. 146. *ἀκαταγώνιστον.* — *ἄκαμπτον.* — *ἔρεισμα.*

147. *Th.* *Δύο Κύκνοι ἐγένοντο, ὁ μὲν Ἄρεος υἱὸς*

---

1 *ἔνθα δ*] *ἐι ὁ a.* — 2 *αἱ τοῦ*] *αὐτοῦ q*, *ἀντὶ τοῦ ξ'.* — 4 *περιπνεόμενοι ξ'.* — Ante *ἄνθη* in edd. lemma *ἄνθεμα δὲ χρυσοῦ φλέγει* legitur. — *λαμπρότητα ξ'.* — 5 *τῆς* om. *q.* — 6 *τοὺς* om. *a* fort. recte, conf. lectionem Triclin. — 6. 7 *τὰς χεῖρας* (*χείρας ξ' φ'*) *περιτραχηλίοις κόσμοις καὶ στεφάνοις κατὰ* codd. mixti et edd., et dat. est etiam in glossa Moschopulea, ubi tamen unus codex *ξ'* accusativum exhibet. — 8 *ἤγουν* post *πάντων* add. *s.* — 9 *ἑαυτᾷ ι''.* — 9. 10 *ὁ ἀνήρ* om. *q.* — 10 *ὁ* omm. edd. — *θρ.*] *μόνον q.* — 15 Scholium Tricl., quod om. *z*, in *ξ'* in marg. ad v. 146 scriptum est, in cett. codd. et edd. paraphrasi Moschopuleæ vv. 142—149 subnexum legitur. — 16 *τῆς* omm. *ι'' ξ'.* — 18 *Κύκνον τε* est lemma in codd. mixtis, ante lemma *ἱστορία τοῦ κύκνου* legitur in *φ'*; — *ἱστορία περὶ τοῦ κύκνου* miniator in marg., *μ'* et Boeckh in textu, *ἱστορία* cett. edd. in textu, post quam, vocem in edd. ante Beckium lemma *Κύκνον τε θανάτῳ πόρε* additur. — Totum scholium deest in *s.*

ὁ ἐν Θετταλίᾳ τοὺς παριόντας λοχῶν καὶ ἀποκτείνων, καὶ βουλόμενος ταῖς κεφαλαῖς ναὸν ἀνεγεῖραι τῷ πατρί, ὃν Ἡρακλῆς ἀπέκτεινεν· ὁ δὲ Ποσειδῶνος, ναῦς ἔχων καὶ συμμαχῶν τοῖς Τρωσίν, ἱστάμενος ἐν στενῷ τῆς ἐκεῖ θαλάσσης καὶ οὐκ ἐῶν τοὺς Ἕλληνας ἀποβῆναι, ὃν Ἀχιλλεὺς ἀπέκτεινεν.

gl. 147. *τὸν υἱὸν τοῦ Ποσειδῶνος.*

148. *Th.* *Τιθωνοῦ καὶ Ἡμέρας δύο παῖδες γίνονται, Μέμνων καὶ Ἠμαθίων, ὧν ὁ μὲν ἀνῃρέθη ὑπ᾽ Ἀχιλλέως, Ἠμαθίων δὲ ὑφ᾽ Ἡρακλέους κατὰ τὴν ἀπελασίαν τῶν Γηρυονείων βοῶν. ἐμυθεύσαντο δὲ αὐτοὺς Ἡμέρας εἶναι παῖδας διὰ τὸ Αἰθίοπας ὄντας λευκοὺς καὶ ὡραίους εἶναι.*

gl. 148. *τὸν Μέμνονα.*

142—149. *M.* *Ὁ Πηλεύς τε καὶ ὁ Κάδμος ἐν τούτοις τοῖς τὰς τῶν μακάρων νήσους λαχοῦσιν, οἰκεῖν δηλονότι, συγκαταλέγονται. καὶ τὸν Ἀχιλλέα ἤνεγκεν, ἀντὶ τοῦ πεμφθῆναι ἐποίησεν, ἡ μήτηρ αὐτοῦ ἡ Θέτις, ἐπεὶ διὰ δεήσεων ἔπεισε τὴν ψυχὴν τοῦ Διός· ὃς* (145), *ἤγουν ὁ Ἀχιλλεύς, ἔσφηλεν, ἀντὶ τοῦ κατέστρεψε, τὸν Ἕκτορα, τὸν ἀκλινῆ κίονα τῆς Τροίας, τὸν ἄμαχον,*

---

1 *ὁ* (*ὅς* edd. ante Beckium), omm. *Δι″ ξ′*, Beck, Heyne. — *περιόντας ξ′*. — 3 *ὁ ναῦς μ′ φ*. — 4 *θαλάττης Δ*. — *ἐῶν Γ*. — 5 *ἀχιλεὺς ξ′*, *ὁ ἀχ. Δ*. — 7 Scholium Thom. ad v. 148 om. *z*. — *ἀοῦς* (*ἠοῦς μ′*, *ἠοῦς ξ′*) *τε παῖδα* est lemma in codd. mixtis. — *ἱστορία τοῦ μέμνονος* miniator in marg. *μ′*, in textu *φ′*, *ἱστορία περὶ τοῦ Μέμνονος* Bœckh. — 8 *ἠμαθίων ΓΔ*. — *ὑπαχιλέως ξ′*. — *ἡμαθίων Δ*. — 9 *Γηρυόνου* codd. et edd. exceptis *ΓΔ ι″*. — 10 *ἐμυθεύσατο μ′ φ′*. — *δὲ* om. *ξ′*. — 11 *ὄντας καὶ λ. καὶ Γ*. — 13 *Πηλεύς* est lemma in *ι″*, *Πηλεύς τε καὶ κάδμος* in *μ′ φ′*. — *σύνταξις ι″ μ′* in marg., *φ′* et Bœckh in textu. — *σύνταξις· ἀπέχειν τὴν ψυχὴν τουτέστι κεχωρισμένην ἔχειν τῶν ἀδικιῶν* (cf. p. 135, 16) ante *ὁ Π.* est in *z*. — *τούτοις* om. *q*. — 14 *τὰς* (*τὰ ξ′*) ex *az μ′ ξ′ φ′* addidi. — *δ. οἱ καταλ. z*. — 15 *ἀχιλέα ξ′*. — *τοῦ* om. *a* — 17 *ἀχιλεύς ξ′*. — 17. 18 *κατέστρεψεν ἕκτ. z*. — 18 *ἀκλονῆ q*.

τουτέστι τὸν ἀνυπόστατον ἐν ταῖς μάχαις· καὶ τὸν Κύκνον (147), *τὸν τοῦ Ποσειδῶνος δηλονότι, τῷ θανάτῳ παρέσχεν, ἤγουν ἐθανάτωσε· καὶ τὸν παῖδα τῆς Ἡμέρας τὸν Μέμνονα, τὸν ἀπὸ Αἰθιοπίας.*

gl. 149. *ἐνταῦθα γὰρ τὰς φαρέτρας οἱ ἄνθρωποι φέρουσιν.* — 150. *ὠκέα] ταχέα·* — * * *ἀντὶ μιᾶς.* — *ἤγουν καίριοι καὶ κατὰ σκοπὸν φερόμενοι λόγοι ἱστορίας.* — 151. *ἐστί.* — *ἤτοι τῆς διανοίας μου.*

152. *M. Φωνᾶντα] φωνήεντα, ἤγουν φωνὴν ἀφιέναι δυνάμενα. φωνήεντα δὲ γράμματα τὰ φωνεῖσθαι μόνον δυνάμενα, κατ' ἐναντιότητα τῶν συμφώνων, ἃ σὺν τοῖς φωνήεσιν ἀεὶ ἐκφωνεῖται καὶ οὐδέποτε μόνα.*

gl. 152. *ὁμιλητὰ καὶ νοούμενα.* — *τοῖς σοφοῖς καὶ φρονίμοις.* — 153. * *ἤτοι εἰς τὸν πολὺν ὄχλον·* — † *βραχὺ τὸ πάν, Δωρικῶς, ἤτοι τὸν πολὺν ὄχλον.* — 154. *χρῄζει.* — *ἐστὶν ἐκεῖνος.*

155. *M. Φυὴ ἡ ἀναδρομὴ τοῦ σώματος. ἐνταῦθα δὲ φυᾷ ἀντὶ τοῦ φύσει.*

---

1 *καὶ τὸν* — 4 *Αἰθ.* om. *ι''*. — 2 *τὸν* omm. *μ' ξ' φ'*. — 9 Scholium Mosch. ad v. 152, quod deest in *ε*, in codd. mixtis post *ἔχει χρείαν* (p. 140, 5) legitur, in *a* inter *δικαίῳ* et *συναντῶν* (conf. p. 145, 2) insertum est, in *q* post *ἀετόν* (p. 140, 11) extat. — Lemma (*φωνάντα q*) ex *aq* addidi. — *ἤγ. τὰ φωνὴν a.* — 10 *φ. δὲ τὰ γρ. ι''*. — *μόνα ι''*. — *δυνάμενα μόνον φ'*. — 12 *οὐδέποτε ξ'*. — 13 Ad v. 152 *φωνήεντα* est glossa in *a*. — 14. 15 *βρ. τὸ πὰν δωρ.* etiam inter glossas *a* libri legitur. — 17 Scholium ad v. 155, quod deest in *ε* (hic etiam hæc paraphrasis Mosch. verba omittit haplographica neglegentia: *τουτέστιν ἀπὸ φύσεως*), *ξ'* et *q*, in codd. mixtis *ε ξ'* exceptis pars est paraphrasis Moschopuleæ versuum 149—159, in qua inter *ἀπὸ φύσεως* et *οἱ μαθόντες* insertum legitur; in *a*: *φυὴ ἡ ἀνα* (nihil amplius) scholio ad v. 152 subnexum eo quo hoc scholium legi significavimus loco extat.

gl. 155. *γινώσκων.* — * *ἤγουν ἐκ φύσεως καὶ οὐκ ἀπὸ μαθήσεως ὄντα. τοιοῦτος δὲ ἐγὼ παντοίοις σχήμασι καταποικίλλων τὰ ποιήματα καὶ φράσει ποικίλῃ καὶ πολλοῖς ἄλλοις, ἃ οἴκοθεν καὶ οὐκ ἀπὸ μαθήσεως ἐξεῦρον καὶ ἐμηχανησάμην.* — 156. *οἱ ἐκ μαθήσεως ἔχοντες ταῦτα.* — *σφοδροί·* — † *ἀντὶ τοῦ λάβρως, ἤγουν ἀκρατῶς.* — 157. *ἐν πολυλογίᾳ.* — *ὥσπερ.* — 158. *ἀτέλεστα.* — *βοῶσι.* — 159. *ἤγουν τὸν ἀετὸν τὸν ἀνακείμενον τῷ Διΐ· λέγει δὲ δι' ἑαυτόν.*

156—159. *Th. Οἱ δὲ μαθόντες γαρύετον καὶ βοῶσιν ἄκραντα καὶ ἀτελείωτα, λάβροι καὶ σφοδροὶ ἐν παγγλωσσίᾳ καὶ πολυλογίᾳ, ὥσπερ κόρακες ὄντες πρὸς τὸν θεῖον ὄρνιθα τοῦ Διός, ἤγουν ἐμέ. τουτέστιν οἱ μὲν ἄλλοι ποιηταί· λέγει δὲ διὰ Βακχυλίδην, οὗτος γὰρ ἀντήριζεν αὐτῷ· περιττολόγοι εἰσὶν ἐν τοῖς αὐτῶν ποιήμασι καὶ ἄκραντα λέγουσιν. ἐγὼ δὲ τὸ προσῆκον πανταχοῦ τηρῶ καὶ οὐκ ἐκφέρομαι τοῦ εἰκότος, ὥστε ἐκεῖνοι τοιοῦτοι ὄντες κόρακές εἰσιν ὡς πρὸς ἐμέ, ἐγὼ δὲ ἀετός· ὅσῳ γὰρ ἀετὸς κολοιοῦ κρείττων, τοσοῦτον ἐγὼ τούτων βελτίων.*

---

1 Glossa Thomana præfixo lemmate *Φυᾷ* (præterea *σύνταξις* Boeckh in textu, *μ' φ'* in marg.) in codd. mixtis excepto *s*, qui hæc omnia omittit, et in edd. ante paraphrasin Thomanam versuum 156—159 post *ὑπόθεσιν ἀπότεινε* (p. 141, 11) legitur, quæ glossæ cum scholio coniunctio fortasse germana et ab ipso Thoma profecta est, nam tota glossa in *Λ* tantum legitur, *Γ* et glossarum sylloge quæ in codicibus mixtis extat nihil præter verba *ἤγουν ἐκ φύσεως καὶ οὐκ ἀπὸ μαθήσεως* exhibent. Ceterum *πάντα* edd. pro *παντοίοις*, tum *ποικίλλῃ Λμ'*, *ποικίλλῳ ι''* et deest *οὐκ* ante *ἀπό* in *ξ*. — **5** Ad v. 156 *ἀντὶ τοῦ λάβρεως* (sic) *ἤγουν ἀκρατῶς* glossa est in *a*. — **9** Scholium Thomanum deest in *s*. — **10** *ἄκρατα μ' φ'*. — *ἐπ' ἀγλωσσίᾳ Γ*. — *παγγλωσία μ' φ'*, *παρρησία ξ'*. — **11** *ὄντες* omm. edd. — **12. 13** *διὰ τὸν Βακχ.* edd. — **14** *ταῖς Γ*. — *αὐτὸν π. φ'*. — **15** *πανταχῆ Λ*. — **15** *εἰκότως ξ'*. — **16** Post *ἐκεῖνοι* delevi *μὲν* cum *ΓΛ*. — **16. 17** *δ' ἀετός μ'*. — **17** *κολιοῦ μ'*, *κόρακος* edd. — *κρείσσων Γ*. — *τοσούτῳ ι''*.

149—159. *M.* *Πολλὰ βέλη ταχέα ὑποκάτω τοῦ ἀγκῶνός μοῦ εἰσιν ἔνδον τῆς βελοθήκης, φωνήεντα* (152), *ἤγουν φωνὴν ἀφιέναι δυνάμενα παρὰ τοῖς φρονίμοις, ἀντὶ τοῦ· πολλὰ νοήματα ὀξέα ἐν τῇ ψυχῇ μού εἰσι ζῶντα παρὰ τοῖς φρονίμοις, ὡς ἐπίπαν δὲ ἑρμηνέων ἔχει χρείαν. σοφὸς* (154) *ὁ πολλὰ εἰδὼς φυᾷ, ἀντὶ τοῦ φύσει, τουτέστιν ἀπὸ φύσεως. οἱ μαθόντες δέ* (156), *ἀντὶ τοῦ οἱ ἀπὸ μαθήσεως δὲ εἰδότες καὶ οὐκ ἀπὸ φύσεως, πρὸς τὸν ἔχοντα δηλονότι τὴν ἰσχὺν ἀπὸ φύσεως ὥσπερ κόρακες λάβρως γηρύουσιν, ἀντὶ τοῦ κράζουσιν ἀπέραντα, παγγλωσσίᾳ, τουτέστι συγκεχυμέναις φωναῖς, πρὸς τὸν θεῖον ὄρνιθα τοῦ Διός, ἤγουν τὸν ἀετόν.*

gl. 160. *ἤγουν ἐπὶ τῷ σκοπῷ, ᾧ ὑπεθέμεθα, λέγω τοῦ Θήρωνος · ἐγκώμιον, ἔχε τοὺς λόγους, ψυχή.* — 161. *ὦ ψυχή.* — *ἤτοι ἐγκωμιάζομεν.*

162. *Tr.* *Εἰκότως εἶπε τὸ μαλθακᾶς πρὸς ἀντιδιαστο-*

---

1 *πολλά μοι* est lemma in *ι''*, *πολλά μοι ὑπ' ἀγκῶνος* in cett. codd. et edd. nisi quod nullum extat lemma in *aq*. — *σύνταξις* margo *μ' φ'*. — *ταχέως μ'*. — *ὑπὸ κάτω a φ'*. — 1. 2 *ἄγκωνος μου εἰσιν q* (*μου εἰσιν* etiam *ξ'*). — 2 *φωνᾶντα* edd. — 3 Post *δυνάμενα* in edd. *συνετοῖσιν* additur. — 3. 4 *ἀντὶ τοῦ* — *φρονίμοις* om. *z*. — 4 *τοῖς*] *τῆς q*. — 5 *δι' ἑρμ. z*. — Post *χρείαν* in codd. mixtis scholium Mosch. ad v. 152 (quod om. *z*) sequitur. — 6 *τουτέστιν ἀπὸ φύσεως* om. *z*, in quo, sicut etiam in *ξ'*, deest etiam scholium Mosch. ad v. 155, quod in ceteris codd. mixtis inter *φύσεως* et *οἱ μαθόντες* insertum legitur. — 6. 7 *ἀντὶ τοῦ*] *ἤγουν ι''*, *τουτέστιν q*. — 7 *δὲ* om. *ι''*. — 9 *λάβρως* om. *z*. — *γηρῦουσιν a*, *γυρήουσιν z*, *γαρύουσιν* edd. — *κρόζουσι a*. — *ἀπέρα* (τα supra) *ξ'*. — *παγλωσία* (γ supra) *q*, *παγγλωσία μ'*. — 9—11 *παγγλ.* — *ἀετόν* om. *ι''*. — 10 *συγκεχωμέναις ξ'*. — *συγκ. ταῖς φ. z*. — 12 Glossam ad v. 160 om. *Δ*; verba *ἐγκώμ.* ... *ἔχε τοὺς λόγους ψυχ.* : . . . (sic codex) *Γ* solus servavit. — 15 Scholium Tricl. deest in *z*, in *ξ'* a miniatore extra ordinem ad v. 162 adscriptum est. — *μαλθακὰς ξ'*, *μαλθακῶς* edd. ante Bœckh.

λὴν τοῦ τόξου. τὸ μὲν γὰρ σκληρόν ἐστι καὶ πικρίαν ἐμποιοῦν, πρὸς οὓς πέμπει τὰ βέλη· αὕτη δὲ εὐφροσύνης αἰτία τοῖς ἐγκωμιαζομένοις καθίσταται.

gl. 162. χαριεστάτης. — πάλιν ὥσπερ ἐν ἀρχῇ. — 163. ἐνδόξους. — ἤγουν ἐγκωμιαστικοὺς λόγους. — 164. * * ἐπί τοι] ἀντὶ μιᾶς. — 165. τὴν τοῦ Θήρωνος πόλιν. — ἐκτείνας (* * ἔκτεινε) τὸν λόγον τοῦ ὕμνου.

160—165. *M.* Ἔπεχε νῦν, ἀντὶ τοῦ ἐπέχων ἤδη ἔντεινε, ὦ θυμέ, κατὰ τοῦ σκοποῦ τὸ τόξον· ἀντὶ τοῦ χαλιναγωγῶν τὸν λόγον ἀπὸ τῶν ἔξω τοῦ καιροῦ ἐπὶ τὴν προκειμένην ὑπόθεσιν ἀπότεινε. ἄγε, εἰπέ, ὦ θυμέ, ἤγουν ὦ ψυχή, τίνα βάλλομεν, ἤγουν τοξεύομεν, ὀϊστοὺς (162) πέμποντες ἐνδόξους ἀπὸ ἡμέρου καὶ φιλικῆς φρενός; τουτέστι τίνα ἐγκωμιάζομεν; ἐπὶ τὴν Ἀκράγαντα τάνυσον, ἤγουν ἕλκυσον, τὸ τόξον δηλονότι, ἀντὶ τοῦ ἐπὶ τὴν Ἀκράγαντα ἀπότεινε τὸν λόγον.

gl. 166. λέξω· — * * διαβεβαιώσομαι. — διώμοτον. — 168. γεννῆσαι. — 169. χρόνων. — πόλιν] τὸ τινὰ ἐνταῦθα. — 170. ἕτερον. — 171. φρονήσεσιν, ἤτοι μετὰ λόγου καὶ οὐκ ἀλόγως εὐεργετοῦντα. — 172. δαψιλέστερον. — † ἤγουν κατὰ τὸ διδόναι καὶ εὐεργετεῖν.

166—173. *Th.* Αὐδάσομαι καὶ λέξω ἐν ἀληθεῖ νόῳ, λόγον ἐνόρκιον καὶ μετὰ ὅρκου, μὴ τεκεῖν (168) καὶ γεννῆσαι

---

1 γὰρ om. φ'. — 2 δὲ τῆς εὐφρ. ι''. — 6 τῇ τ. θ. πόλει Δ. — 8 ἔπ. νῦν σκοποῦ ἀντὶ q. — ἀπέχων z. — ἔντεινε αzι''ξ', ἔντυνε cett. — 10 ἀπὸ τοῦ ἔξω q. — 11—15 præmissa voce σύνταξις in μ' et ed. Bœckh. et lemmate ἄγε θυμέ præfixo in ι'' μ' ξ' φ' post scholium Thomanum ad vv. 166—173 leguntur; priora verba ἔπεχε — ἀπότεινε in codd. mixtis excepto z ante glossam Thomanam (scholium Triclinianum) ad v. 155 legi iam supra commemoravimus. — 12 ἢ τοξ. q. — πέμπομεν z. — 15 ἀπέτεινε z. — 21 Totum scholium deest in z. — σύνταξις ι'' in marg., μ' φ' Bœckh in textu. — καὶ] om. Δ, ἤγουν cett. — νόῳ] λόγῳ ξ'.

πόλιν ἑκατὸν ἐτέων καὶ χρόνων τινὰ ἄνδρα ἐν ταῖς πραπίσι καὶ φρονήσεσιν εὐεργέτην τοῖς φίλοις μᾶλλον καὶ περισσοτέρως τοῦ Θήρωνος, καὶ ἀφθονέστερον καὶ δαψιλέστερον κατὰ τὴν χεῖρα, ἤτοι τὸ διδόναι. εἰ μὲν οὖν τὸ τινὰ πρὸς τὸ ἄνδρα συνάψεις, πόλιν ἑκατὸν ἐτέων νοήσεις τὴν Ἀκράγαντα· ἐν γὰρ τῇ πεντηκοστῇ Ὀλυμπιάδι ἐκτίσθη· Θήρων δὲ ἐν τῇ ἑβδομηκοστῇ ἐνίκησεν· ἐπειδὴ οὖν εἴκοσιν Ὀλυμπιάδες διὰ μέσου εἰσίν, ἡ δὲ Ὀλυμπιὰς κατὰ πέντε χρόνους ἐγίνετο, ἑκατὸν χρόνων ἀριθμὸς συνάγεται· πεντάκις γὰρ εἴκοσιν ἑκατόν. εἰ δὲ πρὸς τὸ πόλιν τὸ τινὰ συνάψεις, ἀορίστως εἴποις τὸ πόλιν, τοῦτο δὲ ποιῶν μὴ λάβῃς πρὸ ἢ ἕως εἰς τὸ ἑκατὸν ἐτέων, ἀλλὰ χωρὶς τούτων λέγε· τινὰ πόλιν ἑκατὸν ἐτέων. εἰ γὰρ περὶ τὸν κόσμον οἱ χρόνοι, ἐν δὲ τῷ κόσμῳ αἱ πόλεις, καλῶς ἂν ἔχοι λέγειν καὶ τὰς πόλεις τῶν χρόνων. νόει δὲ τὸν λόγον καὶ ἐπὶ μέλλοντος καὶ ἐπὶ παρῳχημένου. τὸ γὰρ τεκεῖν οὐ μόνον μέλλοντα χρόνον δηλοῖ· μέλλων γὰρ δεύτερος τὸ τεκεῖν· ἀλλὰ καὶ παρῳχημένον. τεκεῖν γὰρ καὶ ἀντὶ τοῦ τέξαι καὶ ἀντὶ τοῦ τέξειν φαμέν.

M. *Αὐδάσομαι, ἀντὶ τοῦ λέγω, διαβεβαιοῦμαι λόγον σὺν ὅρκῳ κατὰ ἀληθῆ διάνοιαν, μηδένα ἄλλον ἄνδρα ἐφ' ἑκατὸν*

---

1 *ἑκατὸν* (ω supra) *μ'* fere semper. — *ἐτέων ΓΔ, ἐτῶν* cett. — *χρόνον Γ. ταῖς* om. *φ'*. — 1. 2 *καὶ ταῖς φρ. ξ'*. — 2 *περισσοτέρως ΓΔι'*, *περισσότερον* cett. — 3 *ἀφρονέστερον Γ*. — *καὶ δαψ.* om. *Δ*. — *χέρα Δ*. — 4 *ἤγουν ι'*. — *οὖν* ex *ΓΔι''ξ'* accessit. — *τὸ* ante *τινὰ* om. *Δ*. — 5 *ἐτέων ΓΔ*, omm. *μ' φ'*, *ἐτῶν* cett. — 8 *κατά ΓΔι'' ξ'*, *διά* cett. — *χρόνους Δι'' ξ' φ'*, *χρόνων* cett. — *ἐγίγνετο* edd. — 9 *συνάγεται ΓΔι''*, *γίνεται* cett. — *τὸ* omm. codd. mixti. — 10 *τὸ* om. *Γ*. — *ἀρίστως εἴπῃς Δ*. — *τὸ πάλιν Γ*. — 11 *ἐτέων ΓΔ*, *ἐτῶν* cett. — 12 *εἰ*] *οἱ ξ'*. — 13 *ἔχει ΓΔ*, *ἔχῃ ι'' ξ'*. — 14 *δὲ καὶ τὸν λ.* codd. mixti. — Alterum *ἐπὶ* ex *Γμ' ξ' φ'* accessit. — 15 *μόνον* om. *ξ'*. — *οὐ μ. τὸν μ. δηλοῖ χρ. ι''*. — 16 *παρῳχημένος φ'*. — 17 *καὶ* post *γὰρ* omm. *Δι''*. — *τοῦ* ante *τέξειν* om. *Γ*. — 18 *αἰδήσομαι q*. — *λόγῳ σὺν q*. — 19 *ἄλλον* om. *a*. — *ἑκατῶν q*.

ἐτῶν, ἤγουν ἐντὸς ἑκατὸν ἐνιαυτῶν, τεκεῖν (168) *τὴν πόλιν εὐεργέτην πρὸς τοὺς φίλους, φρονήσεσι, τουτέστι διὰ τῆς ἑαυτοῦ φρονήσεως μᾶλλον, ἀφθονέστερόν τε κατὰ τὴν χεῖρα, ἀντὶ τοῦ τὴν δωρεάν, τουτέστι μεγαλοδωρότερον, τοῦ Θήρωνος.*

173. *Th. Εἰκότως εἶπε τὸ κόρος. ὥσπερ γὰρ ὁ κόρος παρατροπὴν τοῦ στομάχου καὶ διαφθορὰν ἐργάζεται, ἔστι δ' ὅτε καὶ ὀργανικὴ βλάβη ἐντεῦθεν γίνεται, οὕτω καὶ ἐπὶ τὸν αἶνον τοῦ Θήρωνος, ἤτοι τὸ ἐκ τῶν μεγάλων εὐεργεσιῶν γινόμενον αὐτῷ θαῦμα, ἐπῆλθε κόρος καὶ φθόνος. Κάπυς γὰρ καὶ Ἱπποκράτης, καίτοι πολλὰ ὑπὸ Θήρωνος εὐεργετηθέντες, ὅμως ὡς ἑώρων αὐτοῦ τὴν ἀρχὴν αὐξομένην, φθονήσαντες μετέστησαν πρὸς Ἱέρωνα καὶ τοῦτον ἐγείραντες πρὸς τὸν κατ' αὐτοῦ πόλεμον ἐπειρῶντο τῆς ἀρχῆς καθαιρεῖν, εἰ καὶ μηδὲν ἠδυνήθησαν ὧν ἐβούλοντο πρᾶξαι.*

gl. 173. *τὸ ἐκ τῶν εὐεργεσιῶν αὐτοῦ θαῦμα. — φθόνος· λέγει δὲ τὴν ἐξ Ἱέρωνος μάχην. —* 174. *δικαιοσύνῃ. — ἐρχό-*

---

1 *ἐτῶν* om. *ξ'*. — 1. 2 *πόλιν* : †*εὐεργέταν πραπίσιν· ευεργέτα πρ. τ. φ. ε.* — 2 »Post *πρὸς τοὺς φίλους* Call. Br. male punctum ac si *φρονήσεσι*, quod sequitur, esset verbum textus. Hinc [Steph. et] Ox. deterius etiam: *φίλους* [*Φρονήσεσι*] *τουτέστι* — quasi nova esset glossa, addideruntque [Oxx.] ineptam notam: ‚Schol. leg. *φρονήσεσι* pro *πραπίσιν*, quam vocem metri ratio non fert'. Alia melius in hoc Schol. interpunxi« Beck. — 3 *τε* om. *ε*. — 4 Ante *τὴν δωρεάν* omisi *κατὰ* cum *αqε*. — *τουτέστι διὰ τῆς ἑαυτοῦ μεγαλοδω*[ρτ] *ε*. — *μεγαλοδωρότατον ε μ' ξ' φ'* et glossa Mosch. — 5 Totum scholium om. *ε*. — 6 *διαφοράν ΓΔ*. — 7 *ὀργανικαὶ βλάβαι ε. γίν*[ται] *ξ'*. — 8 *ἤγουν ι'*. — 10 »*καί τοι*] Corrige *καίπερ*« Bœckh. — *ὅμως*] *ὡς ὅμως Δ*. — 11 *αὐξανομένην ι'*. — 11. 12 *μετέστησάν τι πρός ξ'*. — *πρὸς Ἰ.*] *τὸν ἱ. Γ*. — 12. 13 *πρὸς Ἱέρωνα, καὶ πόλεμον ἐγ. κατ' αὐτοῦ ἐπειρ. τὴν ἀρχὴν καθ., ἀλλ' οὐδὲν ἠδ.* etc. edd. — 12 *τοῦτο φ'*. — *κατ'* om *Γ*. — 13 *τὴν ἀρχὴν μ' φ'* edd. — *ἐδυν. Γ ξ' φ'*.

μενος. — 175. *φθονερῶν.* — *Κάπυος καὶ Ἱπποκράτους.* — 176. *ταράξαι καὶ λυπῆσαι.*

177. M. *Κρύφον τε] ἀφανισμὸν ποιῆσαι τοῖς καλοῖς ἔργοις τῶν ἀγαθῶν ἀνθρώπων.*

gl. 177. *ποταπόν; ἀφανές.* — *ἃ πρὸς καθαίρεσιν αὐτοῦ ἐμηχανῶντο.* — 178. * *ἀριθμόν] διὰ τὸ μέτρον λείπει·* — * * *ἀριθμόν] διὰ τὸ μέτρον.* — *ἤγουν οὐχ οἷά τέ ἐστιν ἀριθμεῖσθαι.* — 179. *ἐξ εὐεργεσιῶν χαράς.* — 180. *ἐξειπεῖν.*

177—180. Th. *Τὸ ἐπεὶ ψάμμος ἁρμόζεται τῇ ἐννοίᾳ πρὸς τὸ φίλοις εὐεργέτην· τὸ δὲ ἀλλ' αἶνον μέχρι τοῦ ἔργοις διὰ μέσου παρεκβατικώτερον εἴρηται. καὶ τίς ἂν φράσαι καὶ ἐξειπεῖν δύναιτο τὰ χάρματα καὶ τὰς ἐκ τῶν εὐεργεσιῶν χαράς, ὅσα ἐκεῖνος ὁ Θήρων τοῖς ἄλλοις ἀνθρώποις ἔθηκεν· ἐπεὶ ἡ ψάμμος τῆς θαλάσσης περιπέφευγε τὸν ἀριθμόν, ἤτοι οὐ δυνατόν ἐστιν ἀριθμεῖσθαι. τουτέστιν ὥσπερ ἡ ψάμμος ἀναρίθμητός ἐστιν, οὕτω καὶ αἱ τούτου πρὸς ἀνθρώπους εὐεργεσίαι.*

173—180. M. *Ἀλλὰ ἐπὶ τὸν ἔπαινον, ἀντὶ τοῦ κατὰ τῶν*

---

3 Scholium ad v. 177 in *a* inter glossas et in calce scholiorum ad Ol. II., in *q* paraphrasi Moschopuleæ versuum 173—178 tanquam novum scholium post *ἀγανακτήσεως* (p. 145, 2) insertum, in codd. mixtis et edd. vocula *ἢ* pro lemmate posita eidem paraphrasi post *διὰ τῶν κακῶν ἔργων* (p. 145, 6) insertum legitur. — *κακοῖς* pro *καλοῖς* Beck edidit. — 6 Glossa Thomana in solo *Γ* extat. — 9 Paraphrasis Thomana versuum 177—180 deest in *z*. — *ἐπὶ ξ*. — *ψάμος Γ*. — 10 *τὸ δ' ἀλλ' Δ*. — *τοῦ Γ μ' ξ'*, *τοῖς* cett. — 11 *παρεκβ. Γ ι' μ' ξ'*, *παρεκβαντικώτερον Δ*, *παρεμβατ.* [φ'] edd., *παρεμφατικώτερον* coni. Beck. — 11. 12 *φράσαι δύναιτο ἤγουν ἐξειπεῖν τὰ χ. φ'*. — 12 *δύνατα Γ* ante corr. — *ἐξ εὐεργ. Δ*. — *ὅσας Γ*. — 13 *τοῖς* om. *ι'*. — *ἄλλοις ΓΔ*, *καλοῖς* cett. — *ἀνθρώποις* omm. edd. — *ἔθηκεν Δ ι' ξ'*, om. *Γ*, *ἔδωκεν* cett. — 14 *ἤγουν ι'*. — *δυνατή* codd. mixti et edd. — 15 *ἀριθμεῖσθαι* Ro., *ἀριθμῆσαι* Br. Steph. Ox. — 17 Lemma *ἀλλ' αἶνον ἔβα κόρος* est in *ι' ξ' φ'* et in edd. ante Beck. — *σύνταξις ι' μ' φ'* in marg., Boeckh in textu. — 17. 1 *ἀλλὰ* — *Θήρωνος* om. *z*.

ἐπαίνων ἀξίων καλῶν τοῦ Θήρωνος ἐκινήθη κόρος, ἀντὶ τοῦ ὕβρις, ἀπ' ἀγανακτήσεως, οὐ σὺν τῷ δικαίῳ συναντῶν, τουτέστι συμβαίνων, ἀλλ' ὑπ' ἀνδρῶν μάργων (175), ἤγουν μανικῶν, φθονερῶν, θέλων διὰ τὸ θορυβῆσαι κρύφον ποιῆσαι, ἀντὶ τοῦ κρύφιον, τουτέστι κεκρυμμένον, ἄδοξον τὸν ἀγαθὸν διὰ τῶν κακῶν ἔργων. ἐπεὶ ἡ ψάμμος (178) ἀριθμὸν περιπέφευγεν, ἀντὶ τοῦ διαπέφευγεν, ἐκεῖνος, ἤγουν ὁ Θήρων, ὅσα χάρματα, τουτέστιν ἡδέα, τερπνά, χάριν ἄλλων ἐποίησε, τίς ἂν δύναιτο φράσαι, ἤγουν εἰπεῖν, διηγήσασθαι;

1 ἐπαίνων aq ι' μ' φ', ἐπαίνου cett. — 2 In q post ὕβρις ἀπ' ἀγανακτήσεως: — scholium Mosch. ad. v. 177 insertum legitur. — In α post δικαίῳ scholia Mosch. ad vv. 152 et 155 inserta leguntur. — 3. 4 μαν. καὶ φθον. ι''. — 5 τὸν ἀγαθόν αε, τῶν ἀγαθῶν cett. — διὰ] τουτέστι διὰ q et edd. ante Heynium, qui probante Boeckhio τουτέστι delevit; Beck ante τουτέστι inseruit κακοῖς ἔργοις. — 6 ἐπεὶ ἡ ψάμμος ἀριθμόν omm. edd. inde a Beckio, qui a verbo περιπέφευγεν novum scholium incipiunt. — 6. 7 ἀντὶ τοῦ διαπ. omm. ει' ξ'. — 7 διαπέφευγεν] διὰ πέφευγεν μ', πέφευγεν q. — ὅσα ἐκεῖνος ἤγ. ὁ Θ. χάρμ. ι'' μ' ξ' φ' edd. — 8. 9 φράσαι δύναιτο φράσαι μ' φ'. — φρᾶσαι ξ'. — φράσαι ἤγουν om. ι''. — 9 διηγήσασθαι om. ι''.

Ἐπίνικοι Ὀλυμπιονίκαις.

Θήρωνι Ἀκραγαντίνῳ εἰς Θεοξένια Ὠιδὴ γ'.

[Δημητρίου Τρικλινίου]

περὶ τῶν κώλων τῶν τε στροφῶν καὶ ἀντιστροφῶν τοῦ γ' εἴδους. Ἔστι δὲ τὸ ᾆσμα στροφῶν τριῶν.

Παλαιόν.

Τοῦ γ' εἴδους αἱ στροφαὶ καὶ ἀντιστροφαὶ κώλων ἑκάστη θ'. Τὸ α' ἐγκωμιολογικὸν τρίμετρον καταληκτικόν. ἐγκωμιολογικὸν δέ ἐστι τὸ διπενθημιμερὲς λεγόμενον· πενθημιμερῆ γάρ εἰσι β', ἰαμβικὸν καὶ δακτυλικόν, καὶ ἔστιν ὅτε ἑνὶ στίχῳ μίγνυνται· ἀλλ' ἐὰν μὲν προτεθῇ τὸ ἰαμβικόν, ἰαμβέλεγος καλεῖται ἀπὸ τῆς ποιότητος· εἰ δὲ τὸ δακτυλικόν, διπενθημιμερὲς ἀπὸ τῆς ποσότητος, τὸ αὐτὸ δὲ καὶ ἐγκωμιολογικόν· σύγκειται γὰρ ἐγκώμια ἐκ τοῦ τοιούτου μέτρου. ἰαμβέλεγος δὲ καλεῖται, ὅτι τὸ ἐλεγεῖον μέτρον ἐκ β' πενθημιμερῶν δακτυλικῶν σύγκειται, ἀλλὰ τὸ μὲν α' δέχεται

Scholium metricum Bœckh ex Vrat. A, Mosc. B et codice Trichæ *ἐκ παλαιοῦ βιβλίου* edidit, ego Vrat. A, in quo post alterum scholii veteris ad inscriptionem carminis comma legitur, ι'' μ' ξ' contuli, in ceteris meis codicibus nullum extat scholium metricum. — **4** *περὶ τῶν στροφῶν καὶ ἀντιστροφῶν τοῦ τρίτου εἴδους* est inscriptio in ξ'. — *τε* ego addidi. — **5** *δὲ* ex ι'' ξ' addidi. — **6** *παλαιόν* est in marg. ι'' ξ', omm. cett. — **7** *ἑκάστη* omm. ι'' ξ' et cod. Trichæ. — ιθ' μ'. — **9** *ἐστι* om. Vrat. — *διπενθημιμερές* ι'' et cod. Trichæ, *πενθημιμερὲς* ξ', *δακτυλικὸν* cett. — *λεγόμενον* om. Vrat. — **9. 10** *πενθ.* — *δακτυλ.* om. Vrat.

καὶ σπονδείους, τὸ β' δὲ μόνον δακτύλους. ἐπεὶ γοῦν καὶ τοῦτο ἐκ β' πενθημιμερῶν σύγκειται, τοῦ α' δακτυλικοῦ, τοῦ β' δὲ ἰαμβικοῦ, διὰ τοῦτο διπενθημιμερὲς καλεῖται. ἔστι δὲ ἀσυνάρτητον, διότι μὴ πεφυκὸς ἡνώθη. τὸ δὲ ἐν κώλοις ἀσυνάρτητον τοῦτο ἀντιπαθές, ἐναντίοις ποσὶν ἡνωμένον. Τὸ β' προσοδιακὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον. λέγεται δὲ προσοδιακόν, διότι ἐν ἑορταῖς τοιούτοις μᾶλλον ἐχρῶντο μέτροις, ὡς καὶ νῦν Πίνδαρος εἰς τὴν τῶν Θεοξενίων ἑορτήν. ἐν γὰρ ταῖς ἑορταῖς πρόσοδοι ἐγίνοντο καὶ εἰσφοραὶ πλείους. σύγκειται δὲ τὸ προσοδιακὸν ἐξ Ἰωνικοῦ ἀπὸ μείζονος καὶ χοριάμβου. πολλάκις δὲ τρέπεται ὁ Ἰωνικὸς κατὰ τὴν ἀρχὴν εἰς τὸν συγγενῆ τροχαῖον, ὡς γίνεσθαι παίων β'. Τὸ γ' προσοδιακὸν τρίμετρον· κατὰ μονοποδίαν γὰρ μετρεῖται μέχρι τοῦ πενταμέτρου. πεντάμετρος γὰρ γενόμενος τριακοντάσημός ἐστιν ἤτοι τριακοντάχρονος· πέρα δὲ τοῦ τριακοντασήμου οὐ προβαίνει στίχος καθ' Ἡφαιστίωνα, διὸ καὶ μέχρι πενταμέτρου χωρεῖ τὸ προσοδιακόν. Τὸ δ' δίμετρον ὑπερκατάληκτον προσοδιακὸν ἀπὸ Ἰωνικοῦ ἀπὸ μείζονος καὶ χοριάμβου. τοῦτο καὶ ἀναπαιστικόν ἐστιν ἐφθημιμερές. Τὸ ε' προσοδιακὸν τρίμετρον καταληκτικὸν ἐκ τροχαϊκοῦ καὶ χοριάμβου καὶ Ἰωνικοῦ ἀπ' ἐλάσσονος, ὅσπερ δὴ τραπεὶς εἰς τροχαῖον ποιεῖ ἐπίτριτον β'. γίνεται δὲ προσοδιακὸν καὶ ἀπ' ἐλασσόνων. Τὸ ς'

---

3 *ἔστι δὲ καὶ ἀσ.* ι''. — 3. 4 *τοῦτο*, quod apud Boeckhium post *ἀσυν.* legitur, omm. codd. a me collati et cod. Trichæ. — 5 *ἐν ἐναντ.* ι'' et cod. Trichæ Saibantianus. — *ἡνωμένοις* codd. mei omnes et cod. Trichæ. — 6 *λέγει* ξ'. — 8 *ταῖς* om. ι''. — *ἀρεταῖς προσόδοι* ξ'. — 9 *ἐγίνονται* ι''. — 14 *ἤτοι*] *ἢ* ι''. — 15 *ἡφαιστίονα* Vrat. ξ' et μ' ante corr., *ἡφαιστιόνα* μ' post. corr. — 16 *προσωδιακόν* (sic fere semper) ξ'. — *τὸ* om. Vrat. — 17 *ἀπὸ Ἰωνικοῦ* omm. codd. mei omnes et cod. Trichæ, in quo *ἀπὸ μ. ἰωνικοῦ κ. χ.* legitur. — 20 *ὥσπερ* ξ'. — 21 *ἐπίτρ.*] *μὲν τριτον* Vrat. — *ἐλασσόνων* ξ'.

ἰαμβικὸν πενθημιμερές. Τὸ ζ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ η' ὅμοιον τῷ α' τῆς στροφῆς. Τὸ θ' Στησιχόρειον ἐξ ἐπιτρίτων Στησιχόρου εὑρόντος αὐτό· δεύτεροι δὲ οἱ ἐπίτριτοι. ἑξῆς δὲ ἐπὶ τῷ τέλει παράγραφος.

Περὶ τῶν κώλων τῶν ἐπῳδῶν.

Αἱ ἐπῳδοὶ κώλων θ'. Τὸ α' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ β' δακτυλικὸν πενθημιμερές. Τὸ γ' προσοδιακὸν ἀπ' ἐλάσσονος τρίμετρον καταληκτικόν. ὁ α' πούς ἀπὸ τροχαίου, ὡς γίνεσθαι ἐπίτριτον β'. Τὸ δ' Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον. Τὸ ε' προσοδιακὸν δίμετρον ἐκ χοριάμβου καὶ Ἰωνικοῦ ἀπ' ἐλάσσονος. Τὸ ς' ὅμοιον τῷ α' τῆς στροφῆς. Τὸ ζ' ἐγκωμιολογικὸν ἐκ δακτυλικοῦ πενθημιμεροῦς καὶ ἰαμβικοῦ ὁμοίου, ὃ καὶ διπενθημιμερὲς καλεῖται, ὡς εἴρηται. Τὸ η' δακτυλικὸν πενθημιμερὲς ὅμοιον τῷ β'. Τὸ θ' Στησιχόρειον τρίμετρον ὑπερκατάληκτον ἐξ ἐπιτρίτων δευτέρων. Ἐπὶ τῷ τέλει ἑκάστης ἐπῳδοῦ κορωνὶς καὶ παράγραφος, ἐπὶ δὲ τῷ τέλει τοῦ ᾄσματος ἀστερίσκος.

Th. Οἱ Διόσκουροι κατὰ τὴν ἐντολὴν Ἡρακλέους διατιθέμενοι τὸν Ὀλυμπιακὸν ἀγῶνα, ὡς ἐνομοθέτησεν ἐκεῖνος· τούτοις γὰρ εἰς θεοὺς ἀναχωρῶν ἀνέθετο· ἐπενόησαν ἀφ' ἑαυτῶν καὶ ἑτέραν ἑορτὴν ὀνομάσαντες ταύτην Θεοξένια παρὰ τὸ δοκεῖν τότε ξενίζειν τοὺς θεούς. θύοντι οὖν τῷ Θήρωνι εἰς Θεοξένια ἐπὶ τῆς νίκης, ἣν προηγωνίσατο, ἀνηγγέλθη αὐτῷ καὶ ἑτέρων

1. 2 ἀκατάληκτον — τὸ θ' Στησι om. Vrat. — 2 Post ἐπιτρίτων Bœckh ex codice Trichæ τρίμετρον ἀκατάληκτον addidit. — 5 Inscriptionem omm. ι' ξ'. — 6 Αἱ ἐπωδοὶ ι', ἑκάστη ἐπωδὸς cett. — 10 τὸ ε' προσ. δίμ. omm. Vrat. Mosc. μ' ξ', habet ι' et cod. Trichæ, ex quo Bœckh textui intulit. — ἀκατάληκτον ante ἐκ χορ. add. ι'. — 12. 13 ὃ καὶ πενθ. καλ. ι'. — 14 ὑπερκατάληκτον Bœckh tacite in ἀκατάληκτον mutavit, at est illud etiam in codd. vett. — 17 Ante scholia in ι' μ' φ' σχόλια τῶν αὐτῶν legitur. — Scholium Thomanum ad inscriptionem carminis Γ solus servavit. — 22 ἀνηγγέλει Γ.

αὐτοῦ ἵππων νίκῃ· δι' ἣν καὶ τὸ παρὸν γέγραπται ἐπινίκιον. διὸ καὶ Θεοξένια ἐπιγέγραπται.

1. M. Φιλοξένους λέγει αὐτοὺς διὰ τὸ συστῆσαι τὴν ἑορτὴν τὰ Θεοξένια, εἰς ἣν πολλοὶ ξένοι συνέῤῥεον καὶ φιλοφρονήσεως ἠξιοῦντο.

gl. 1. τοῖς υἱοῖς τοῦ Τυνδάρεω, Κάστορι καὶ Πολυδεύκει. — τοῖς φιλοῦσι τοὺς ξένους καὶ ἐφόροις αὐτῶν. — ἀρέσκειν. — * * Τὸ προοίμιον εὐκτικόν. — 2. καλλίτριχι. — τῇ αὐτῶν ἀδελφῇ. — 3. τὴν πόλιν τοῦ Θήρωνος. — τιμῶν. — * διὰ τῶν τοῦ Θήρωνος ἐγκωμίων. — 4. τὸν ἐκ τῆς ἐν Ὀλυμπίᾳ νίκης αὐτῷ καταστάντα. — 5. ἐγείρας, ἀνυψώσας· — † διὰ τοῦ ὀρθῶσαι ἤγουν ἀνεγεῖραι. — τῶν ἀκαμάντους καὶ ταχεῖς πόδας ἐχόντων. — 6. ἀπάνθισμα, καρπόν· τῆς γὰρ αὐτῶν νίκης ὁ ὕμνος καρπός.

1—6. Tr. Ἀναχωρῶν εἰς θεοὺς Ἡρακλῆς τοῖς Διοσκούροις τὸν Ὀλυμπιακὸν ἀγῶνα ἐπέτρεψε τελεῖν. οὗτοι δὲ πρὸς τούτῳ καὶ ἑτέραν ἑορτὴν ἐξεῦρον, ἣν διὰ τὸ πρὸς πάντας τοὺς θεοὺς γίνεσθαι Θεοξένια ἐκάλουν, οἱονεὶ ξενίαν καὶ τράπεζαν τῶν θεῶν. θύοντι οὖν Θήρωνι καὶ ἑορτάζοντι τὰ Θεοξένια ἠγγέλθη, ὡς ἐν Ὀλυμπίᾳ οἱ αὐτοῦ ἵπποι ἐνίκησαν. διὰ τοῦτο οὖν ὁ ποιητὴς εὔχεται τοῖς Διοσκούροις καὶ τῇ αὐτῶν ἀδελφῇ Ἑλένῃ ὡς

---

3 Scholium Mosch. ad v. 1 in ε ξ' paraphrasi Moschopuleæ versuum 1—18 insertum est, et quidem in ε post ἐν τοῖς δρόμοις (p. 152, 1), in ξ' post Ὀλυμπιονίκας ὑμνοῦντα (p. 151, 25) legitur; in cett. codd. mixtis et edd. paraphrasi Triclinianæ vv. 1—6 subnexum est. — **3. 4** συστ. ἑορτὴν τὴν θεοξενίαν ε. — **4** ἣν om. q. — **6** Ad v. 1 in α glossa τοῖς Διοσκούροις extat. — **11. 12** Glossa Mosch. ad v. 5 etiam in α legitur. — **15** Schol. Tricl. om. ε. — ἵνα χωρῶν (ἵ a miniatore est) μ' φ'. — **16** τῶν ὀλ. ξ'. — ἐπέτρεψεν ι'. — **17** τοὺς om. ι'. — **19** θύοντα ξ'. — ἑορτάζοντα ξ'. — **20** Ad διὰ τοῦτο in marg. μ' σύνταξις legitur. — **21** ἀδελφὴ ξ'. — ἑλένη ξ', ἑλλένη μ'.

καταστῆσαι πρώτοις τὴν τῶν Θεοξενίων ἑορτήν. λέγει οὖν· γεραίρων καὶ τιμῶν τὴν κλεινὴν Ἀκράγαντα, ὀρθώσας καὶ ἐγείρας καὶ ἀνυφώσας ὕμνον τοῦ Θήρωνος Ὀλυμπιονίκην καὶ ἐκ τῆς Ὀλυμπίας αὐτῷ καταστάντα, ἄωτον καὶ ἀπάνθισμα καὶ καρπὸν τῶν ἵππων αὐτοῦ τῶν ἀκαμαντοπόδων, εὔχομαι ἁδεῖν καὶ ἀρέσκειν τοῖς υἱοῖς τοῦ Τυνδάρεω Διοσκούροις, τοῖς φιλοξένοις καὶ τοῖς φιλοῦσι τοὺς ξένους, καὶ τῇ αὐτῶν ἀδελφῇ τῇ καλλιπλοκάμῳ Ἑλένῃ.

gl. 7. *ἡ ποιητικὴ γνῶσις. — τὸ οὕτω διὰ τὸ ἁρμόσαι λέγει. — *† ἐπῆλθε. — 8. * ξένον καὶ παράδοξον· ἐπειδὴ τοιοῦτον καὶ τὸ εἰς Θήρωνα νῦν συμβάν, θύοντα Θεοξένια ἐν Ὀλυμπίᾳ διὰ τῶν ἵππων νικῆσαι.*

9. Pal. *Τρεῖς ἁρμονίαι· Δωρία, Φρυγία, Λυδία.*

Tr. *Δωρίῳ πεδίλῳ] ὥσπερ ὁ ποὺς τῷ πεδίλῳ ἁρμόζεται, οὕτω φησὶ καὶ τὸν ὕμνον τοῦ Θήρωνος ἁρμόσαι Δωρικῇ ἁρμονίᾳ. τρεῖς δὲ ἁρμονίαι· Δώριος, Λύδιος, Φρύγιος· ποικιλωτέρα δὲ τῶν δύο ἡ Δώριος.*

gl. 9. *Δωρικῇ. — τὸν ὕμνον τὸν πρὸς αὐτόν. — συνθεῖναι. — ἁρμονίᾳ.* — 10. *καλλίστην καὶ ἡδυτάτην.*

7—10. *Germ. Οὕτω δὲ λογισθήσεται ἐμοί, ὅτι παρέστη ἡ Μοῦσα, ἐὰν τοῖς Τυνδαρίδαις ἀρέσω, εὑρόντι τρόπον νεοσίγαλον καὶ νεοποίκιλον, ὥστε ἐναρμόσαι φωνὴν ἀγλαόκωμον ἐν πεδίλῳ Δωρίῳ. τοῦτό ἐστιν ἡ σύνταξις.*

---

2 *τιμῶν* ξ' in marg., *ὑμνῶν* in textu. — 4 *αὐτῶν* ι' ξ'. — *καὶ* ante *ἀπ.* omm. edd. — *καὶ καρπόν* ι' ξ', *τῶν καρπῶν* cett. — 5 *ἀδεῖν* μ' ξ' φ'. — 6 *φιλοξείνοις* ξ'. — 6—8 *καὶ — Ἑλένῃ* om. ι'. — 7. 8 *πολυπλοκάμῳ* ξ'. — 8 *ἑλλένῃ* μ' ante corr., *ἔλενα* post. corr. — 9 Glossa *ἤγουν ἐπίνοια ἐγκωμίων* legitur in a ad v. 7. — 14 Scholium Tricl. om. s. — 15 *δωρικὴ* ξ'. — 16 *ποικιλοτέρα* ι' ξ'. — 17 · om. ξ'. — 20 Delevi *ἡ* ante *οὕτω*. — 20. 21 *ἡ Μοῦσα* excidit apud Mommsenum. — 22 *ὥστ'* Mommseni ed.

gl. 10. *ταῖς ἐν τοῖς ὤμοις θριξὶ τῶν ἵππων αὐτοῦ.* — 11. *ἐπιτεθέντες.* — *τοῦτο τὸ ἐπὶ πρὸς τὸ χαίταις συναπτέον.*

12. *Germ. Ἐπεὶ οἱ στέφανοι οἱ ζευχθέντες μὲν καὶ πεσόντες ἐπὶ ταῖς τῶν ἵππων θριξὶν ἀπαιτοῦσιν ἐμὲ τοῦτο τὸ χρέος τὸ θεόδμητον.*

Germ. θεόδματον] τουτέστι τὸ θεόκτιστον.

gl. 12. *ἀπαιτοῦσι.* — *ἄνωθεν ἐκ θεῶν νενομισμένον ὥσπερ ὀφειλὴν ἀποδίδοσθαι τοῖς νικῶσιν.* — 13. *κιθάραν.* — *ποικίλα μέλη ἔχουσαν.* — 14. *μέλος.* — *ποιητικὴν συνθήκην καὶ ῥυθμόν.* — 15. ** *οὗτος πατὴρ ἦν Θήρωνος ὁ Αἰνησίδαμος.* — 16. *τῷ Θήρωνι.* — *προσαγαγεῖν.* — *ἁρμοδίως.*

12—16. *Germ. Ὁ νοῦς· ὥστε συμμῖξαι τῷ παιδὶ τοῦ Αἰνεσιδάμου πρεπόντως τὴν φόρμιγγά τε τὴν ποικιλόγαρυν καὶ τὴν βοὴν τῶν αὐλῶν τὴν θέσιν τε τῶν ἐπέων, ἤγουν συμβαλεῖν αὐτῷ τῷ Θήρωνι τοῖς ὕμνοις. τὸ δὲ πράσσοντι ἀντὶ τοῦ ἀπαιτοῦντι· πράσσω γὰρ σημαίνει καὶ τὸ ἀπαιτῶ, ἐξ οὗ καὶ πράκτωρ· ἢ εἰσπράσσουσι, καὶ δι' ἐμοῦ ἀντιπτωτικῶς.*

gl. 17. *ὁ Ὀλυμπιακὸς ἀγὼν πράσσει ἀπὸ κοινοῦ.* — * *ὑμνεῖν.* — *τῆς Πίσης.* — 18. ** *θεόμοροι] συνίζησις.* — *ἐκ θεῶν μεμοιρασμένοι.* — *ἐπέρχονται.* — *εὐφημίαι· ἐκεῖ γὰρ νικῶντες ἄνθρωποι κτῶνται αὐτάς.*

1—18. M. *Τυνδαρίδαις τε] τοῖς Διοσκούροις τε εὔχομαι ἀρέσκειν τοῖς φιλοξένοις καὶ τῇ Ἑλένῃ τῇ καλλιπλοκάμῳ τιμῶν* (3) *τὴν ἔνδοξον Ἀκράγαντα διὰ τοῦ ἀνεγεῖραι ὕμνον Ὀλυμπιονίκας ὑμνοῦντα, ἄωτον λέγω, ἤγουν κόσμον ἐξαίρετον τῶν ἵππων*

---

4 *ἐπὶ τοῖς* Mommseni ed. — **6** Lemma ego addidi. — **12** Post Ὁ delevi *δὲ.* — *συμμῖξαι* Mommseni ed. — **13** *Αἰνησιδάμου* tacite Mommsen, minus necessario. — **16** *καὶ* excidit apud Mommsenum. — **22** *σύνταξις* margo *μ' φ'.* — *τὲ* post *Τυνδ.* *q ξ' φ'*, omm. edd. — **23** *ἑλλένη μ'.* — *τιμᾶν q.* — **24** *τὴν ἤδοξον a.* — *ὕμνον Ὀλ.* om. *q.* — **25** *ὑμνοῦντας q.* — In *ξ'* inter *ὑμνοῦντα* et *ἄωτων* (sic) scholium Mosch. ad v. 1 insertum legitur, idem schol. in *s* ante *ἐπίνοια* (p. 152, 2), a qua voce *ι'* novum comma incipit, extat.

τοῦ Θήρωνος τῶν μὴ καμνόντων τοὺς πόδας ἐν τοῖς δρόμοις. ἐπίνοια δὲ (7) ἐγκωμίων μοι παρέστη, ἤγουν ἐπῆλθε τοῦτον τὸν τρόπον ἐξευρόντι, τουτέστιν ἐπινοήσαντι τρόπον νεοσίγαλον, ἤγουν καινοτέραν ἀγλαΐαν ἔχοντα, ᾆσμα λαμπρὰν συνιστῶν χορείαν ἐναρμόσαι Δωρίῳ ῥυθμῷ· ἐπεὶ (10) εἰσπράττονται μὲν ἐμέ, ἤγουν ἀπαιτοῦσιν οἱ στέφανοι οἱ ἐπὶ ταῖς χαίταις τῶν ἵππων ζευχθέντες, τουτέστι συνδεδεμένοι τεθέντες, τοῦτο τὸ χρέος τὸ θεόδμητον, ἤγουν τὸ ὑπὸ τῶν Μουσῶν κατασκευαζόμενον, λέγω φόρμιγγά τε ποικιλόφωνον καὶ (14) βοὴν αὐλῶν καὶ συνθήκην ἐπῶν συμμῖξαι πρεπόντως, ἤγουν συναρμόσαι, συμβαλεῖν ταῦτα ἀλλήλοις, χάριν τοῦ παιδὸς τοῦ Αἰνησιδάμου τοῦ Θήρωνος. καὶ ἡ Πίσα (17) δὲ εἰσπράττεταί με γεγωνεῖν, ἀντὶ τοῦ ὑμνεῖν, αὐτὴν δηλονότι, ἧς ἄπο, ἤγουν ἀφ' ἧς, θεοδώρητοι, ὑπὸ θεῶν κεκληρωμένοι ἔρχονται πρὸς ἀνθρώπους ὕμνοι ἐπινίκιοι. θεοδώρητοι δέ, ὅτι οἱ θεοὶ τὰς νίκας δωροῦνται, δι' ἃς οἱ ὕμνοι.

19. M. Ὧιτινι κραίνων] πληθυντικοῦ δύναμιν ἔχει τὸ ᾧτινι· διὸ πρὸς πληθυντικὸν ἀποδίδοται· καὶ πάντα ὅσα ἀορίστως λέγεται, οὐκ ἀνοικείως ἔχει πρὸς πληθυντικὰ ἀποδίδοσθαι· πάντα γὰρ πληθυντικῶν ἔχει δύναμιν.

gl. 19. τελειῶν. — * † ἐντολάς. — 20. παλαιάς. — 21.

---

3 τουτ. ἐπιν. om. η. — **5** εἰσπράττοντι edd., fort. recte. — **6** χαίταις om. α. — **7** «Vulgo comma post συνδεδεμένοι. Tum debebat mox scribi δεθέντες· sed comma potius delevi.» *Beck*. — **8** κατεσκευαζόμενον q, κατεσκευασμένον glossa Moschop. — **9** ποικιλλόφ. μ'. — **9. 10** συνθήκη ξ'. — **10** πρέποντος μ', πρεπόντος ξ'. — **11** ταῦτα om. α. — τοῦ ποδὸς τ. ξ'. — **12** πίσσα q. — εἰσπράττει z, εἰσπράτται μ', εἰσπράττέ ξ'. — γεγονεῖν ξ'. — **13** αὐτὸν [q!] edd. — θεοδώρηται z. — ἤγουν post θεοδ. add. codd. mixti et edd. — **13—15** ὑπὸ — ὅτι om. ξ'. — **15** ἤτοι οἱ θ. ξ'. — **16** Hoc scholium om. α. — Lemma omm. edd. inde a Beckio. — κραίνων om. ξ'. — **16. 17** πληθ. — πληθ.] πλοῦτον z. — **17** καὶ post διὸ add. edd. — ἀποδέδοται z. — **18** ἂν οἰκείως z ξ'. — πληθυντικά] πλοῦτον z. — **18. 19** ἀποδιδόσθαι z. — **19** πληθυντικὴν z.

ἀληθής, ἀπροσωπόληπτος. — τῶν ἐκεῖσε ἀγωνιζομένων Ἑλλήνων κριτής.

22. *Th.* *Ὄξυλός τις ἀνήρ, εἷς τῶν Αἰτωλῶν, ἡνίκα ἐπὶ τὴν Πελοπόννησον οἱ Ἡρακλεῖδαι ἠπείγοντο, καθηγήσατο αὐτοῖς τῆς ὁδοῦ, ἀντιδόσεως δὲ τρόπῳ τινὶ τὴν Ἠλείων ἡγεμονίαν παρ' αὐτῶν λαμβάνει, παρ' οὗ οἱ Ἠλεῖοι Αἰτωλοὶ ὠνομάσθησαν. διὰ τοῦτο οὖν Αἰτωλὸς ἀνὴρ ἤτοι Ἠλεῖος. ἀγνοοῦντες δέ τινες τὸ ἀνὴρ ἀντὶ τοῦ ὁ Ὄξυλος νοοῦσιν, ὅπερ ἄτοπον. οὗτος γὰρ ἦν ἐ καταρχὰς τιθεμένου τοῦ ἀγῶνος Ἑλλανοδίκης ὑφ' Ἡρακλέους καταστάς· ὕστερον δὲ κατὰ διαδοχήν, ὃς ἂν ἐδόκει προὔχειν ἀληθείᾳ καὶ γνώμῃ δικαιοτάτῃ, εἰς τὴν ὑπηρεσίαν ταύτην ἐχειροτονεῖτο παρὰ τοῦ δήμου.*

gl. 22. *Ἠλεῖος. — 23. περὶ ταῖς θριξὶ τῆς κεφαλῆς, αἵ ὑπεράνω τῶν βλεφάρων εἰσίν. — ** περιθήσοι. — 24. ἐλαίαν.*

19—24. *Germ.* *Ὥιτινι ὁ Αἰτωλὸς ἀνήρ, Ἑλλανοδίκας ἀτρεκής, κραίνων καὶ τελειῶν τὰς ἐφετμὰς καὶ τὰς ἐντολὰς τὰς προτέρας τοῦ Ἡρακλέους, περιβάλλῃ τὸν κόσμον τῆς ἐλαίας, τὸν γλαυκόχροα, ἀμφὶ ταῖς κόμαισιν, ὑφόθεν τῶν βλεφάρων.*

Th. *Πρῶτον ἀνθρώπους πληθυντικῶς εἰπὼν εἰς ἑνικὸν*

---

3 *Αἰτωλὸς ἀνὴρ* est lemma in codd. mixtis et edd. In edd. ante Bœckhium *Ἱστορία* præcedit (sequitur in ed. Beck et Heyn.), in marg. *ι'* et in textu *μ' φ'* Bœckh. *ἱστορία (ἱστορίαι μ') ὅθεν Αἰτωλοὶ οἱ Ἠλεῖοι* præcedit; — totum scholium, quod in codd. et edd. post paraphrasin Thomanam vv. 19—24 legitur, deest in *ε*. — *Ὄξυλος τις* Bœckh edidit. — *τὴν* om. *Δ*. — 4 *πελοπόνησον ΓΔ μ' ξ' φ'*. — *αὐτῆς ξ'*. — 5 *τινὶ* ex *ΓΔ* addidi. — 6 *παρ' οὗ ΓΔ*, *ἐξ οὗ* cett. — *λοιπὸν* ante *οἱ* add. *Δ*. — *ὀνομ. Γ*. — 7 *ἀνὴρ εἶπεν ἀντὶ τοῦ Ἠλεῖος* codd. mixti et edd. — *ἀγν. δέ τινες* om. *Γ*. — 8 *Ὀξύλος* edd. inde a Beckio. — 9. 10 *καταστὰς ἐφ' ἡρ.* codd. et edd. *ΓΔι''* exceptis. — 10. 11 *παρέχειν Δ*, *προέχειν ξ'*. — 11 *τῇ ἀλ. ι''*. — *δικαιοτάτης μ'*. — 15 Delevi *ἢ οὕτως* ante *Ὥιτινι*. — 19 Scholium Thom. om. *ε*. —

ἀπέδωκε τὸ ᾧτινι· ᾧτινι ἀνθρώπῳ κραίνων καὶ τελειῶν τὰς προτέρας καὶ παλαιὰς ἐφετμὰς καὶ ἐντολὰς τοῦ Ἡρακλέους ἀνὴρ Αἰτωλὸς καὶ Ἠλεῖος, Ἑλλανοδίκης καὶ τῶν ἐκεῖσε ἀγωνιζομένων Ἑλλήνων κριτὴς ἀτρεκὴς καὶ ἀληθὴς καὶ ἀπροσωπόληπτος, βάλῃ καὶ τίθησι περὶ ταῖς κόμαις ὑψόθεν τῶν βλεφάρων κόσμον γλαυκόχροα ἐλαίας, ἤτοι στέφανον ἐξ ἐλαίας λευκῆς εἰς κόσμον καὶ τιμήν. δέον δὲ εἰπεῖν *γλαυκόχροος* πρὸς τὸ *ἐλαίας*, ἤτοι τῆς γλαυκὸν εἶδος ἐχούσης, *γλαυκόχροα* εἶπε πρὸς τὸ *κόσμον*.

M. *Ὥιτινι κραίνων*] οὗτινος ἂν ὑψόθεν, ἀντὶ τοῦ ὕψου, ἀνωτέρω τῶν βλεφάρων, ἐπὶ ταῖς κόμαις βάλῃ στέφανον ἀπὸ ἐλαίας ὑπόλευκον τὴν χρόαν, ἀπροσωπόληπτος Ἑλλανοδίκης, ἀνὴρ Αἰτωλός, ἀντὶ τοῦ Ἠλεῖος, πληρῶν τὰς ἐντολὰς τοῦ Ἡρακλέος τὰς προτέρας, ἀντὶ τοῦ τὰς ἀρχαίας, τουτέστιν ἃς τὴν ἀρχὴν ἐκεῖνος ἐνετείλατο.

gl. 25. * οὗτος γὰρ ὁ ποταμὸς ἐν Ὑπερβορέοις ἔχει τὴν

Lemma *ᾧτινι κραίνων* est in codd. mixtis et edd. ante Beckium; præterea *σύνταξις* est in μ'. — *πληθυντικὸν* φ'.

1 τὸ] τὰ Λ. — Alterum *ᾧτινι* om. ξ'. — 2 *καὶ ἐντολὰς* om. ι''. — 3 *καὶ* ante Ἠλ. omm. edd. — *ἐκεῖσε* ΓΛ, *ἐκεῖ* cett. — 5 *ἀμφιβάλλῃ* (*-βάλλει* ξ' et edd. ante Beckium, *-βάλῃ* edd. inde a Beckio) *ἂν καὶ θήσει* (*θήσῃ* edd.) codd. mixti et edd. — *φλεβάρων* μ'. — 6 *γλαυκόχροα* ξ'. — *ἤγουν* ι''. — *ἤτοι στ. ἐξ ἐλ.* om. Γ. — *λευκῆς* ΓΛ, *γλαυκῆς* cett. — 7 *γλαυκόχροος* Λ. — *ἤγουν* ι''. — 8 *τῆς* ex ΓΛ addidi. — *γλαυκόχροα* ι''. — 10 *σύνταξις* margo ι'' μ' φ'. — 11 *φλεβάρων* μ'. — 12 *ἑλλενοδίκης* z, *ἑλανοδ.* φ'. — 13. 14 *ἡρακλέος* aq, *ἡρακλέους* cett. — 14 *τουτέστιν* om. z. — 15 *ἀνετείλατο* qz, *ἠνετείλατο* ι''. — 16 Glossæ Thomanæ in μ' ξ' φ' et edd. in hunc modum conflatæ in scholiorum ordinem receptæ sunt: *Ἴστρου ἀπὸ σκιαρᾶν* (*ἴστρου ἀποσκιαρῶν* ξ', *σκιαρῶν* etiam φ')· *οὗτος ὁ π. ἐν ὑπερβ. ἔχει τοῦ ῥεύματος τὴν ἀρχήν. σκιαρῶν δὲ πηγῶν τ. ὑ. ἐλ. κ. ἄ. δ. σκιαζομένων.*

τοῦ ῥεύματος ἀρχήν. — * *τῶν ὑπὸ ἐλαιῶν καὶ ἄλλων δένδρων σκιαζομένων.* — *ἐκόμισεν.*

26. *M. Κατὰ πλεονασμὸν τοῦ ᾱ γίνεται 'Αμφιτρυωνιάδας διὰ τὸ μέτρον. τὸ γὰρ ἀκόλουθον 'Αμφιτρυωνίδας ἐστίν.*

gl. 26. * † *ὁ υἱὸς τοῦ 'Αμφιτρύωνος 'Ηρακλῆς.* — 27. *ἐνθύμησιν καὶ μαρτύριον.* — 28. * *τοὺς ἐκεῖσε ἄνδρας·* — † *ἤγουν τοὺς ἐκεῖ ἄνδρας.* — * *πείσας] ἐνταῦθα συναπτέον τὸ λόγῳ.* — 29. *ἐκεῖ γὰρ 'Απόλλων ἐτιμᾶτο διὰ τὸ τοξικὸν εἶναι τὸ ἔθνος, ὥσπερ οὗτος.*

30. *Germ.* *"Ετει] ἢ τῷ ἔτει καὶ ἐν τῷ τότε χρόνῳ, ἢ τῷ ἔτει καὶ τῷ ἐνδιαιτήματι καὶ τῷ κατοικητηρίῳ.*

gl. 30. *φιλικά.* — *τῷ δήμῳ·* — * *ἐνδιαιτήματι.* — *πάντας Ἕλληνας δεχομένῳ.*

31. *Tr.* *"Ισθι ὅτι πᾶν χωρίον τοῖς θεοῖς ἀφιερωμένον, κἂν ψιλὸν φυτῶν ᾖ, ἄλσος καλεῖται, ὡς Ὅμηρος* (Il. *B* 506)·

'Ογχηστόν θ' ἱερόν, Ποσιδήιον ἀγλαὸν ἄλσος.

οὐ γὰρ 'Ογχηστὸς δένδρεσι κομᾷ, ἀλλ' ἱερός ἐστιν.

gl. 31. *ἱερῷ τεμένει.* — *σκιὰν ἀποτελοῦν τοῖς ἀγωνιζομένοις.* — 32. * † *κοινόν.*

24—32. *Th.* *Τὰν καὶ ἥντινα ἐλαίαν ὁ 'Αμφιτρυωνίδης καὶ*

---

3 Schol. Mosch., quod omm. *qε ι' ξ*, in *α* extra scholiorum ordinem ad. v. 26 in marg. adscriptum est. Lemma *'Αμφιτρυωνιάδας* addunt edd. — *τοῦ* om. *α*. — *ἀμφιτρυωνιάδος α*. — 4 *ἀμφιτριωνίδας α*, *ἀμφιτρυωνίδης* cett. — 10 *τότε*, et in v. 11 *τῷ* ante *ἐνδ.* excidit apud Mommsenum. — 14 Schol. Tricl. om. *ε*. — 15 *ψυλὸν μ'*, *ψιλῶν φ'*. — *φυτὸν ξ'*. — 16 *ποσιδεήιον μ'* ante corr. *ξ'*, *ποσεδεήιον μ'* post corr. *φ'*. — 17 *ὀγχιστὸς ξ'*, *οὐγχηστὸς φ'*. — *δένδρων ξ'*. — 20 In *ι'* paraphrasis versuum 24—32 e paraphrasi Thomana et Moschopulea consarcinata est: priorem partem paraphrasis Moschopuleæ «*ἥντινα* quam olivam hercules tulit e fontibus istri *τῶν σκιερῶν ἤγουν τῶν ὑπὸ δένδρων σκιαζομένων ἢ τῶν βαθειῶν μνημόσυνον κάλλιστον ἐσομένην δηλονότι* agonum in olympia. tulit autem eam *πείσας τὸν δῆμον*

ὁ υἱὸς τοῦ Ἀμφιτρύωνος Ἡρακλῆς πείσας ἐν λόγῳ τὸν δῆμον τῶν Ὑπερβορέων τὸν θεράποντα τοῦ Ἀπόλλωνος, ἤτοι τοὺς ἐκεῖ ὄντας ἄνδρας καὶ τὸν Ἀπόλλωνα τιμῶντας, πιστὰ φρονέων αὐτοῖς, ἤτοι φίλος ὢν αὐτοῖς καὶ οὐ διὰ μάχης ἰών, ταύτην τὴν ἐλαίαν ἔνεικε καὶ ἐκόμισεν ἀπὸ τῶν σκιερῶν πηγῶν τοῦ Ἴστρου, κάλλιστον (27) μνῆμα καὶ ἐνθύμησιν καὶ μαρτύριον τῶν ἐν Ὀλυμπίᾳ ἀγώνων· ἐκ γὰρ τοῦ κοτίνου ὁ Ὀλυμπιονίκης δηλοῦται· καὶ φύτευμα σκιαρὸν τῷ πανδόκῳ καὶ πάντας δεχομένῳ τοὺς Ἕλληνας αἴτει καὶ ἐνδιαιτήματι, τῷ ἄλσει (31) τοῦ Διὸς ἤτοι τῷ τῷ Διῒ ἀφιερωμένῳ, λέγω δὴ τῷ ἐν Ὀλυμπίᾳ τόπῳ, καὶ ξυνὸν καὶ κοινὸν στέφανον ἀρετῶν τοῖς ἀνθρώποις, ἤγουν δι' οὗ πάντες οἱ νικῶντες στεφανοῦνται. ἄλσος δὲ οὐ μόνον ὁ κατάφυτος

τῶν ὑπερβορέων» altera pars paraphrasis Thomanæ inde ab: «hic i.d est hercules πιστὰ φρονέων αὐτοῖς ἤγουν amicus eus eis καὶ οὐ διὰ μάχης ἰὼν petiit hanc olivam καὶ φύτευμα σκιερὸν» etc. sequitur. — In ceteris codd. mixtis excepto ε, in quo totum scholium deest, et in edd. paraphrasis Thomana e sententia Triclinii hoc modo immutata est: Τὰν καὶ — Ἀπόλλωνα τιμῶντας — ἔνεικε, καὶ ἐκόμισεν (ἐκόσμησεν ξ') ἀπὸ τῶν σκιαρῶν πηγῶν (πεδρῶν ξ) τοῦ ποταμοῦ τοῦ Ἴστρου κάλλιστον μνῆμα καὶ ἐνθύμησιν καὶ μαρτύριον (κ. μ. om. μ') τῶν ἐν ὀλυμπίᾳ (ὀλυπίᾳ φ') ἀγώνων. ἐκ γὰρ τοῦ κοτίνου Ὀλυμπιονίκης (— νίκας μ' ξ') δηλοῦται (δουλοῦται ξ', δηουλοῦται μ'). οὗτος, ἤγουν ὁ Ἡρακλῆς, πιστὰ φρονέων αὐτοῖς, ἤτοι φίλος ὢν αὐτοῖς καὶ οὐ διὰ μάχης (μάχην ξ') ἰών, ἤτησε (ἔκτησε ξ') ταύτην, δηλονότι τὴν ἐλαίαν καὶ φύτευμα σκιερὸν (σκιαρὸν μ' φ') τῷ πανδόκῳ καὶ πάντας δεχομένῳ Ἕλληνας (καὶ add. ξ') ἄλσει τοῦ Διός, ἤτοι etc. — σύνταξις μ' in marg., φ' et Bœckh in textu. — Τάν ποτε est lemma in μ' φ' ξ'. — τάν — Ἡρακλῆς] ἥντινα ἐλαίαν ὁ ἀμφιτρύωνος ἡρακλῆς Δ. — Post τὰν in Γ supra lineam ποτε additum est.

1 ὁ Ἡρακλῆς edd. — ἐν λόγῳ ex ΓΔ addidi. — 3 καὶ τὸν ΓΔ τοὺς τὸν cett. — 5 τοῦ οἴστρου Δ. — 7 τοῦ om. Γ. — 8 τοὺς om. Γ. — 9 αἴτοι καὶ Γ, αἴτει δὲ καὶ Δ. — ἤγουν Γ. — 10 τεμένει post ἀφιερ. delevi cum ΓΔ. — 11 ἀρετῶν ΓΔ, ἀρετῆς cett. — 12 κατάφυγος μ'.

τόπος, ἀλλὰ καὶ ὁ τοῖς θεοῖς ἀνακείμενος καταχρηστικῶς· ἐπειδὴ καὶ πάντες οἱ κατάφυτοι χῶροι τοῖς θεοῖς ἀνετίθεντο.

M. *Ἥντινα, ἤγουν τὴν ἐλαίαν, ὁ Ἡρακλῆς ὁ υἱὸς τοῦ Ἀμφιτρύωνος ἤνεγκέ ποτε ἀπὸ τῶν πηγῶν τοῦ Ἴστρου τοῦ ποταμοῦ τῶν σκιερῶν, ἤγουν τῶν ὑπὸ δένδρων σκιαζομένων, ἤγουν τῶν βαθειῶν, μνημόσυνον (27) κάλλιστον ἐσομένην δηλονότι τῶν ἀγώνων τῶν ἐν Ὀλυμπίᾳ. ἤνεγκε δὲ αὐτὴν πείσας τὸν δῆμον τῶν Ὑπερβορέων, τουτέστι τὸν ἐν τοῖς Ὑπερβορέοις, ἔνθα ἦσαν αἱ ἐλαῖαι, τὸν θεράποντα τοῦ Ἀπόλλωνος. ὅστις, ἤγουν ὁ Ἡρακλῆς, πιστά, τουτέστι φιλικὰ φρονῶν αὐτοῖς, ᾔτησε χάριν τοῦ ἄλσους (31) τοῦ Διός, ἤγουν τοῦ ἀνατεθειμένου τόπου τῷ Διῒ τοῦ παντοδαποὺς ἀνθρώπους ὑποδεχομένου, φύτευμά τε σκιᾶς ποιητικὸν κοινὸν τοῖς ἀνθρώποις καὶ στέφανον τῆς ἀρετῆς τῶν νικώντων ἐν τῷ ἀγῶνι. φύτευμα δὲ λέγει καὶ στέφανον τὴν ἐλαίαν ὡς φυτευθησομένην καὶ εἰς στεφάνους συντελέσουσαν, ταὐτὸ λέγων ὥσπερ εἰ ἔλεγεν· ᾔτησε τὴν ἐλαίαν χάριν τοῦ ἄλσους τοῦ Διός, ἵνα ποιήσῃ αὐτοῖς ἐν αὐτῷ φυτείαν σκιᾶς ποιητικὴν κοινὴν τοῖς ἀνθρώποις, καὶ χρήσηται αὐτῇ καὶ εἰς στεφάνους τῆς ἀρετῆς τῶν νικώντων ἐν τῷ ἀγῶνι.*

---

1 *καὶ* omm. edd. — 2 *ἀνετίθετο* ξ'. — 3 *ἤγουν*] *καὶ* z. — 3. 4 *τρύωνος* z. — 4 *πηγῶν* om. z. — *τοῦ* ante *Ἴστρου* om. φ'. — 5 *σκιαρῶν* ξ'. — *τῶν* om. ξ'. — *ὑπὸ τῶν δ.* ξ'. — *σκιαζομένην* z. — *ἢ* ι' ξ' φ'. — 7 *ὀλυμπίοις* z. — *πείσας* om. q in spatio. — 8. 9 *τουτέστι* — *Ἀπόλλωνος* om. ι'. — 8 *τὸν ἐν τοῖς*] *τῶν* ξ'. — 9 Ante *ὅστις* lemma *ὅγε πιστὰ φρονέων* est in ι' μ' ξ' φ'; — *σύνταξις* φ' in marg., Boeckh in textu. — 10 *ὁ* om. φ'. — *πιστὰ* — *αὐτοῖς* om. ι'. — 11 *ἤγουν*] *ἢ* z, om. ξ'. — *ἀνατιθεμένου* ξ'. — 12 *δεχομένου* φ'. — *φύτευμά τε* om. z. — 13 *στέφανοι* z. — 15 *συντελοῦσαν* ξ'. — 16 *ταυτὸ* codd. et edd. — *ὥσπερεὶ* ξ'. — *εἰ* om. z. — 17 *ποιήσει* ξ'. — *ἐν αὐτῷ αὐτοῖς* ι'. — *αὐτοῖς*] *αὐτῆς* a z. — *σκειᾶς* ξ'. — 18 *χρήσεται* ι' μ' φ' et edd. ante Boeckhium. — *αὐτὴ* ξ'. — 19 *στ. τε τῆς* z.

33. *Th.* Τὸ αὐτῷ μὴ μόνον πρὸς τὸ ἁγισθέντων, ἀλλὰ καὶ πρὸς τὸ πατρὶ συναπτέον, ἵν' ᾖ τῷ πατρὶ αὐτῷ καὶ αὐτοῦ.

gl. 33. τότε. — τῷ Ἡρακλεῖ. — 34. αὐτοῦ, τῷ Διί. — τελεσθέντων, θυσιασθέντων καὶ ἐναγίσματα λαβόντων. — 35. ποταπή; πανσέληνος· — † ἡ πανσέληνος· ἐν γὰρ τῇ ἑκκαιδεκάτῃ ὁ Ὀλυμπιακὸς τελεῖται. — χρυσὸν ἅρμα ἔχουσα. — 36. ἤτοι τὸ ἑαυτῆς φῶς. — ἀντέλαμψε. — σελήνη.

33—36. *Th.* Ἡρακλῆς πρὸ τοῦ τὴν ἐλαίαν ἐξ Ὑπερβορέων ἐνηνοχέναι μίαν Ὀλυμπιάδα τετέλεκεν· ἐτελεῖτο δὲ ἡ Ὀλυμπιακὴ πανήγυρις ἐν πανσελήνῳ. τόδε γάρ ἐστι λύσις τοῦ ἀντικειμένου. εἶπε γὰρ ἄν τις αὐτῷ· τίνος χάριν τὴν ἐλαίαν ἐκόμισεν; ἤδη γὰρ καὶ τότε τῶν βωμῶν τῷ πατρί, ἤτοι τῷ Διί, ἁγισθέντων καὶ τελεσθέντων καὶ ἐναγίσματα λαβόντων, αὐτῷ καὶ ὑπ' αὐτοῦ τοῦ Ἡρακλέους ἡ χρυσάρματος μήνη καὶ σελήνη ἀντέφλεξε καὶ ἀντέλαμψεν ὅλον ὀφθαλμὸν τῆς ἑσπέρας, ποταπή; διχόμηνις καὶ πανσέληνος. ὅτε δέ ἐστιν ἡ σελήνη πανσέληνος, δίχα κόπτει τὸν μῆνα· ἐν γὰρ τῇ τεσσαρεσκαιδεκάτῃ τοῦ μηνὸς τοῦτο γίνεται. ὥσπερ δέ φαμεν, ἡ λαμπὰς ἐν νυκτὶ φῶς ἀστράπτει, οὕτω καὶ τό· ἀντέφλεξεν ὅλον ὀφθαλμὸν τῆς ἑσπέ-

---

1 Notula Thomana in *Γ* extra scholiorum ordinem in margine legitur, in *Δ* et *ξ'* (in quo a miniatore scripta est) inter glossas, in codd. mixtis inter scholia recepta est, in *z* omnino deest. — Lemma *αὐτῷ* extat in *ι''* et edd. — *τοῦτο δὲ τὸ αὐτῷ Δ.* — *τῷ αὐτῷ ξ'.* — *ἁγιασθέντων Γ ι'' ξ'.* — **1** et **2** *αὐτοῦ* est in *ΓΔ ι''.* — **2** *πρὸς τῷ π. ι'' ξ'* et *φ'* ante corr. — *καὶ* om. *Δ.* — **8** Hoc scholium om. *z.* — *Ἡρακλῆς* — *Ὑπερβ.* om. *ι''.* — **10** *ὀλυμπία καὶ ἡ πανήγ. ξ'.* — *τὸ δὲ Γ ι'' ξ'.* — **11** *ἀντικειμένου ΓΔ*, *ἀντιπίπτοντος* cett. — **12** *ἐκόμισε; φησὶ γοῦν (φησὶν οὖν ξ')· ἤδη* codd. et edd. *ΓΔ* exceptis. — *ἤγουν ι''.* — *ἤτοι τῷ Διί* om. *ξ'.* — **13** *ἁγιασθ. Γ.* — **14** *καὶ ἡ σελήνη Γ*, om. *ι''.* — **15** *ἀνέλαμψεν ξ'.* — **16** *διχόμηνη ξ'.* — **17** *τεσσαρασκαιδ. μ' φ'.* — **18** *ὥσπερ δὲ φαμὲν ΓΔ ι''*, *δὲ* omm. cett. — **19** *τὸν* post *ὅλον* add. edd. — **19** — p. 159, **2** *τῆς ἑσπέρας* — *ὀφθαλμόν* om. *Γ.*

ρας, τουτέστι διαφανῆ τὴν ἑσπέραν τῷ οἰκείῳ φωτὶ ἐποίησε. τὸ δὲ ὀφθαλμὸν λέγει, ἐπειδὴ τὸ τῆς σελήνης φῶς τοὺς ἐν νυκτὶ πορευομένους βλέπειν ποιεῖ καὶ ἀπροσκόπτως τὴν πορείαν ἐργάζεσθαι. μὴ λάβῃς δὲ πρὸς τὸ διχόμηνις τὸ οὖσα ἔξωθεν. δέον γὰρ διχομήνως εἰπεῖν, διχόμηνις εἶπε πρὸς τὸ μήνη. λέγεται δὲ μήνη, διότι τοὺς μῆνας αὕτη ἐργάζεται.

gl. 37. *ἀληθῆ καὶ ἀπροσωπόληπτον.* — 38. *ἤγουν τὸ κατὰ πέντε χρόνους γίνεσθαι.* — *ὁμοῦ.*

39. *Germ. Ζαθέοις] τοῖς ἄγαν θείοις.*

gl. 39. *ἔταξεν ὁ Ἡρακλῆς.* — *τοῖς θείοις ἢ τοῖς θαυμαστοῖς διὰ τοὺς ἀγῶνας.* — * † *Ἀλφειοῦ γὰρ κρημνοὶ ὁ τῶν Ὀλυμπίων τόπος.*

33—39. *M. Ἤδη γὰρ αὐτῷ] ἤδη γὰρ ὑπ' αὐτοῦ, ἤγουν τοῦ Ἡρακλέος, τοῦ βωμοῦ μὲν τοῦ πατρὸς αὐτοῦ τοῦ Διὸς ἁγισθέντος, τουτέστι δι' ἐναγισμάτων σεβασθέντος, ἡ πανσέληνος σελήνη ἡ χρυσάρματος ὁλόκληρον τὸν ἑαυτῆς ὀφθαλμὸν ἀντέφλεξεν ἐπὶ τῆς ἑσπέρας, ἀντὶ τοῦ δεδυκότος τοῦ ἡλίου αὐτὴ τὸν ἑαυτῆς ὀφθαλμὸν λαμπρῶς ἀντέθηκε. λέγεται δὲ ὁ λόγος*

---

1 *τὴν ἑσπ. τ. οἰκ. φωτὶ* ex *Λι''* addidi. — 2 *σελήνης ΓΛι''* *νυκτὸς* cett. — 3 *ἀπροκόπτως ξ' φ'.* — *τὴν τρίαν ξ'.* — 4 *δὲ* ex *ΓΛι''* addidi. — *εἰς τὸ δ. Γ.* — 5 *διχομήνως ΓΛι'' μ' φ'*, *διχόμηνης ξ'*, *διχόμηνος* edd. — 6 *μήνη* om. *Γ.* — *αὕτη ΓΛι''*, *αὐτὸν μ' ξ'*, *αὐτὸν φ'*, *αὐτὴ* edd. — Post *ἐργ.* in codd. mixtis et edd. *μειουμένη καὶ πάλιν νεουμένη* additur. — 9 Delevi *δὲ* post *ζαθέοις.* — 13 Lemma omm. edd. — *σύνταξις φ'* in marg., *μ'* in textu. — *ὑπ'* om. *μ'.* — 14 *Ἡρακλέος* pro *Ἡρακλέους* ex *a* est. — *ἡρ. αὐτοῦ τοῦ β. μ'.* — *βωμοῦ μὲν] βωμὲν q, θωμοῦ $\overset{ου}{μεν}$ z.* — *τοῦ* post *αὐτοῦ* om. *q.* — *τοῦ Διός* om. *ξ'.* — 14. 15 *ἁγισθ. qz, ἁγιασθ. ξ'.* — 15 *διεναγισμ. q, διὰ ἐναγισμ. ι''.* — *σεβ. ἐπανσέλ. q.* — 16 *λαμπρῶς* post *ὀφθ.* add. edd. — 16—18 *ἀντέφλ.* — *ὀφθ.* omm. *μ' ξ' φ'.* — 17 *τοῦ* ante *ἡλ.* om. *a.* — *αὐτή] αὐτοῦ z.* — 18 *δὲ* om. *q.*

ἀντιστρόφως ἀντὶ τοῦ, ἤδη γὰρ τῆς πανσελήνου σελήνης τῆς χρυσαρμάτου ὁλόκληρον τὸν ἑαυτῆς ὀφθαλμὸν ἀντιφλεξάσης ἐπὶ τῆς ἑσπέρας, ὁ βωμὸς μὲν τοῦ πατρὸς αὐτοῦ, τουτέστι τοῦ Ἡρακλέος, δι᾽ ἐναγισμάτων ὑπ᾽ αὐτοῦ ἐτιμήθη· μετὰ γὰρ τὴν πανσέληνον αἱ θυσίαι ἐπὶ τῷ βωμῷ, φασίν, ἐτελοῦντο. καὶ μεγάλων ἀγώνων ἁγνὴν κρίσιν, ἤγουν ὑδωροδόκητον ἀπροσωπόληπτον, καὶ πενταετηρίδα ἅμα κατέστησεν, αὐτὸς δηλονότι ὁ Ἡρακλῆς, ἐπὶ τοῖς κρημνοῖς τοῦ Ἀλφειοῦ ποταμοῦ τοῖς ἄγαν θείοις.

gl. 40. *τοῦτο τὸ ἀλλὰ πρὸς τὸ μὲν ἔχει τὴν δύναμιν. — θάλλοντα εἶχε.* — 41. ** *ὁ τόπος. — δρόμοις. — τοῦ πλησίον τοῦ Κρονίου λόφου κειμένου.* — 42. * † *τῶν δένδρων.*

43. *Th. Ἀπορήσειεν ἄν τις ἐνταῦθα, πῶς τὸ κῆπος λέγει μὴ ὄντων δένδρων· καί φαμεν, ὥσπερ ἄνω εἰρήκει τὸν αὐτὸν τοῦτον τόπον ἄλσος, οὕτω καὶ τοῦτο· ἢ τοῦτον λέγει Πίνδαρος ὡς πρὸς τὸν καιρὸν αὐτοῦ. ἢ ἐπειδὴ κᾶπος καὶ τὸ πνεῦμα καὶ ἡ φάτνη λέγεται· ἔτρεχον δὲ ἐν τούτῳ τῷ τόπῳ οἱ ἵπποι κᾶπος ἀποτελοῦντες ἐκ τῶν μυκτήρων· λόγον ἂν ἔχοι λέγειν καὶ τὸν τόπον κᾶπος ἀπὸ τοῦ ἐν αὐτῷ συμβαίνοντος. κρεῖττον δέ ἐστι τὸ πρῶτον.*

gl. 43. * *ταχείαις·* — † *ταχείαις, σφοδραῖς.* — 44. *ὑπο-*

---

1 *ἀντὶ τοῦ* omm. *μ' ξ' φ'*. — 4 *Ἡρακλέος* ex *a* est pro *Ἡρακλέους*. — 5 *ἐπὶ*] *ὑπὸ q*, om. *ξ'*. — 6 *ἀγών z*, om. *a*. — *ἀγνήν q*. — 7 *ὁ* om. *ι''*. — 8 *τοῦ* om. *z*. — *τοῦ ποταμοῦ a μ' φ'*, om. *ι''*. — 13 Scholium Thomanum om. *z*. — *ἀπορήσειε δ' ἂν ξ'*. — 14 *φ. ὅτι ὥσπερ ξ'*. — 15 *τόπον* om. *Γ*. — *ἢ τοῦτο ι''*, *ἢ τοῦτο· ἢ τοῦτο φ'*. — *κῆπον* post *τοῦτον* add. edd. — 16 *αυτοῦ* (sic) *ι''*, *αὐτοῦ ΓΑ μ' ξ' φ'*, et edd. ante Beckium. — *καὶ τὸ πνεῦμα* ex *ΓΑ* addidi. — 17 *τούτῳ* om. *Γ*. — *κάπος ξ'* et Bœckh. — 18—20 *λόγον — πρῶτον* omm. edd. ante Bœckhium. — 18 *λόγων Α*. — *ἔχει ι''*. — Ante *τὸν* delevi *αὐτὸν* cum *ΓΑ*. — *τὸν* om. *φ'*. — 19 *κάπος ξ'*. — *δὲ ἔστι μ'*.

κεῖσθαι καὶ δουλεύειν ὡς καὶ βλάβην ἐντεῦθεν τοῖς τῶν ἀγωνιζομένων ἐγγίνεσθαι σώμασιν.

42—44. *Germ.* Ἔδοξεν αὐτῷ ὁ κῆπος τούτων ὑπάρχων γυμνὸς ὑπακουέμεν καὶ ὑποτάσσεσθαι καὶ καταλάμπεσθαι ταῖς ὀξείαις αὐγαῖς τοῦ ἡλίου.

gl. 45. οὖν. — ** γῆν. — ἔρχεσθαι. — ἐκίνει. — 46. τὴν ἐν τῷ Ἴστρῳ. — ** Ἰστριανὴν γράφε διὰ τὸ μέτρον, ἵν' οἰκεῖον ᾖ τὸ κῶλον τῷ τῶν ἑτέρων ἐπῳδῶν. — * τὸν Ἡρακλέα. — ἐν τῷ Ἴστρῳ ἤτοι ἐν Ὑπερβορέοις. — 47. ἡ ἱππικὴ Ἄρτεμις. * ἐνταῦθα γὰρ ναὸς αὐτῆς, οὗ καὶ Ἰφιγένεια ὑπ' αὐτῆς ἁρπαγεῖσα κεκόμισται. — 48. ** ἐδεξιώσατο αὐτόν. — ἐξοχῶν καὶ κρημνῶν. — 49. πολυστρόφων καὶ κοίλων. * οἰκείως δὲ ἔχει τὸ μυχῶν πρὸς τὸ δειρῶν· ἔνθα γὰρ ὄρη, καὶ φάραγγες καὶ κρημνοί.

50. *Th.* Εἰκότως εἶπε τὸ ἀγγελίαις· διὰ γὰρ μηνύματος ἐπέταττεν αὐτῷ τοὺς ἄθλους τελεῖν· ἐδεδίει γὰρ αὐτὸν αὐτοπροσώπως θεᾶσθαι.

gl. 50. * † ὁπηνίκα. — * † αὐτὸν τὸν Ἡρακλέα. — ἐν μηνύμασι· ** δι' ἀγγέλων γὰρ αὐτῷ προσέταττεν.

51. *Th.* Ὅτε Ἀλκμήνη τοῦτον ἐνεκυμόνει καὶ ἡ Εὐρυσθέως

---

3 Ante *Ἔδοξεν* delevi *ἢ οὕτως*. — **10** Glossa Thomana inde ab *ἐνταῦθα ναὸς* (om. *γὰρ*) præmisso lemmate *ἔνθα Λατοῦς* in codd. mixtis (excepto *z*) et edd. scholiorum corpori inserta est. — *αὐτῆς* om. *μ'*. — *ὑπ' αὐτοῦ μ' ξ' φ'*, *ὑπ' αὐτῷ* edd. ante Beckium. — *ἁρπασθεῖσα Γ*. — **12** Glossa Thomana in *ι'' μ' ξ' φ'* et edd. (om. *δέ*) inter scholia legitur. — **13** *ἐκεῖ* post *φάραγγες* add. *Δ*. — **14** Scholium ad v. 50 om. *z*, in *ξ'* a miniatore in marg. additum est. — *εἰκ. δὲ εἶπε Δ*. — *εἶπεν* (om. *τὸ — μηνύμ.*) *ι''*. — *γὰρ* om. *Γ*. — *μηνύματος Γ Δ*, *μηνυμάτων* cett. — **15** *ἀέθλους ι''*. — **16** *θεάσασθαι ξ'*. — **19** *ἱστορία περὶ τῆς γεννήσεως Ἡρακλέους καὶ Εὐρυσθέως (καὶ εὐρ.* om. *z) z ι'' μ'* in marg., *φ'* Bœckh in textu, *ἱστορία* cett. edd. in textu. — Lemma *Ἀνάγκα πατρόθεν (πρόσθεν z* et edd. ante Heynium) est in codd. mixtis et edd. — **19** *ἡ* post *ὅτε* add. *Δ μ'*. — *τοῦτον Γ Δ*, *τὸν Ἡρακλέα* cett. — *ἐνεγκυμόνει Γ*, *ἐκυοφόρει* edd. — **19. 1** *καὶ — Εὐρυσθέα* omm. edd.

ἥτηρ τὸν Εὐρυσθέα, φασὶ τὴν Ἥραν φθονοῦσαν Ἀλκμήνῃ διὰ τὰς τοῦ Διὸς σποράς, ἐλθοῦσαν πρὸς Δία αἰτῆσαι αὐτὸν παρασκευάσαι τὸν πρῶτον τεχθήσεσθαι μέλλοντα κύριον ἔσεσθαι τοῦ ὕστερον. κατανεύσαντος οὖν τοῦ Διὸς Ἥραν ἐν τάχει ποιῆσαι τὴν Εὐρυσθέως γονήν. λέγει οὖν τὴν τοῦ Διὸς πρὸς Ἥραν κατάνευσιν ἀνάγκην. ὕστερον δὲ Ἡρακλῆς ὑπὸ Ἥρας μανεὶς ἐλθὼν εἰς Ἀπόλλωνα καὶ χρώμενος αὐτῷ περὶ τῆς νόσου, ἤκουσε παρ' αὐτοῦ μὴ ἂν πεπαῦσθαι τῆς νόσου, εἰ μὴ προσελθόντα τῷ Εὐρυσθεῖ ποιεῖν, ὅσα ἂν ἐκεῖνος κελεύῃ. Ταϋγέτα δὲ ἡ Ἄτλαντος θυγάτηρ ὑπὸ Διὸς ἐρασθεῖσα μετεβλήθη εἰς ἔλαφον ὑπ' Ἀρτέμιδος καὶ οὕτω τὸν γάμον ἐξέφυγεν, ὕστερον δὲ ὑπ' αὐτῆς πάλιν ἐπανῆλθεν εἰς ἄνθρωπον. τούτων οὖν ἀμειβομένη τῇ Ἀρτέμιδι ἔλαφον ἀνατίθησιν αὐτῇ χρυσῷ κεκοσμημένην τὰ κέρατα, ἐν οἷς ἐπέγραψε· Ταϋγέτα ταύτην ἀφιεροῖ Ἀρτέμιδι· ἣν ἀγαγεῖν ὑπ' Εὐρυσθέως Ἡρακλῆς ἐπετάχθη· ὅθεν

---

1 τότε ante φασὶ est in codd. mixtis et edd. — φασὶν (om. τὴν) ξ'. — ἀλκμήνην ε ξ' φ'. — 2 ἐλθοῦσα ε μ' φ'. — πρ. τὸν δία codd. mixti et edd. — 2. 3 παρασκευᾶσαι Δ. — 3 πρώτως Γ. — 4 τεχθησομένου post ὕστερον add. codd. mixti et edd. — 5 τὴν (τὸν Δ) εὐρυσθέως (-σθέος Δ) γονὴν ΓΔ, τὸν εὐρυσθέα γεννηθῆναι cett. — 7 ἀπόλλω εφ'. — 8 πεπαύσεσθαι ed. Bœckh. — 9 Inde a voce Ταϋγέτα novum scholium incipiunt codd. mixti et edd. — Ἱστορία, ὡς ἀνετέθη in ε, ἱστορία, ὅπως ἀνετέθη (ἐτέθη Bœckh) ἡ χρυσόκερως ἔλαφος τῇ Ἀρτέμιδι in μ' φ' ed. Bœckh. ἱστορία in edd. ante Bœckhium huic scholio præmissum est. — Lemma Ἄν (ἣν ξ', ἂν ε) ποτε ταϋγέτα est in codd. mixtis et edd. ante Beckium. — Ταϋγέτα ΓΛ, Ταϋγέτη cett. — 10 δὲ ex ΓΛ addidi. — ἡ τοῦ ἄτλ. ε φ'. — 12 ἐπανῆλθεν om. Γ. — 13 αὐτὴ ξ'. — 13. 14 κεκοσμημένη ξ'. — 14 ἐπέγραψεν ι'' ξ'. — ἀϋγέτη ξ', ταϋγέτη cett. codd. mixti et edd. — 15 εὐρυσθέος μ'. — ὑπετάχθη ξ'.

διώκων αὐτὴν μέχρις Ὑπερβορέων ἀφῖκτο, ἀφ' οὗ τὴν ἐλαίαν εἰς Ὀλυμπίαν ἤγαγε. τὸ δὲ ἀντιθεῖσα (54) ἢ ἀνατιθεῖσα κατὰ συγκοπήν, ἢ ἀνθ' ἑαυτῆς θεῖσα.

gl. 51. ** -ρυσθέος] διὰ τὸ μέτρον τὸ κοινὸν ἐτέθη. — ηὐτρέπιζεν. — ἡ ἀπὸ τοῦ Διός. — 52. ** χρυσᾶ κέρατα ἔχουσαν. — ** κομίσοντα. — 53. ἔλαφον. — ἡ θυγάτηρ Ἄτλαντος.

54. Tr. Ὀρθωσία ἡ Ἄρτεμις παρὰ τὸ Ὀρθώσιον, ὅπερ ἐστὶν ὄρος Ἀρκαδικόν. ἔστι δὲ καὶ Ὄρθιον ὄρος Ἀρκαδίας, ἀφ' οὗ καὶ ἡ θεὸς Ὀρθὶς καὶ Ὀρθωσία καλεῖται. ἢ ἡ ὀρθοῦσα τὰς γυναῖκας καὶ εἰς σωτηρίαν ἐκ τῶν τοκετῶν ἄγουσα.

gl. 54. * τῇ ἐν Ὀρθωσίῳ ὄρει Ἀρκαδίας τιμωμένῃ Ἀρτέμιδι· ἢ τῇ ὀρθούσῃ τὰς γυναῖκας ἐν τῷ τοκετῷ· ἔφορος γὰρ λοχείας· — ** τῇ Ἀρτέμιδι δηλονότι. — ** αὐτὴν δηλονότι.

42—54. M. Τούτων, ἤγουν τῶν δένδρων, γυμνὸς ὢν ὁ κῆπος, τουτέστιν ὁ μετέωρος τόπος καὶ ὑπὸ τῶν ἀνέμων καταπνεόμενος, ἔδοξεν αὐτῷ, τῷ Ἡρακλεῖ δηλονότι, ὑπακούειν ταῖς ὀξείαις αὐγαῖς τοῦ ἡλίου, ἀντὶ τοῦ εἰς πεῖραν ἔρχεσθαι τῶν σφοδρῶν ἀκτίνων τοῦ ἡλίου. τότε δὴ (45) ἐφρόντιζεν ἡ ψυχὴ αὐτοῦ, περιφραστικῶς ἀντὶ τοῦ αὐτός, πορεύεσθαι εἰς τὴν γῆν τὴν περὶ τὸν Ἴστρον τὸν ποταμόν. ἔνθα (46) ἡ θυγάτηρ τῆς

---

1 ἀφῖκται ι''. — ἀφ' ὧν ι''. — 2 ἢ] ἤγουν edd. — 3 ἢ] ἤγουν edd. — τιθεῖσα edd. — 7—10 om. *z*; in ι'' pro eis: »est autem et orthios mons Arcadiæ a quo Diana orthosia et orthis vocatur« glossæ Thomanæ de eadem voce subnexum est. — 7 Ὀρθωσία est lemma in ξ'. — 9 ὀρθῖς μ'. — ἢ] ἤγουν edd. — ἡ om. ξ'. — 11 Glossa Thomana in ι'' μ' ξ' φ' edd. scholiorum corpori inserta et scholio Tricliniano ad v 54 præmissa est. — 13 λοχίας ξ', λογχείας μ' φ'. — 16 ἔδοξαν *z*. — 17 τοῦ om. ι''. — 17. 18 ἀντὶ — ἡλίου omm. *z* μ' ξ' φ'. — 18. 19 ἐφρόντιζες καὶ ἡ ψ. ἐκείνου *z*. — 19 αὐτός] ἐκεῖνος *z*. — τὴν om. μ'. — 20 τὸν ante ποτ. ex *aq* addidi. — Ante ἔνθα lemma ἔνθα Λατοῦς est in codd. mixtis et edd. — σύνταξις margo μ'.

Λητοῦς ἡ Ἄρτεμις ἡ ἱπποσόα, τουτέστιν ἡ τοὺς ἵππους σοβοῦσα, ἤγουν διεγείρουσα εἰς δρόμον, ἤτοι ἡ ἱππική, ἐδεξιώσατο (48) αὐτὸν ἐλθόντα ἀπὸ τῶν ἐξοχῶν καὶ τῶν μυχῶν, ἤγουν τῶν καταδύσεων τῶν πολυστρόφων τῆς Ἀρκαδίας, ὁπηνίκα (50) ἀνάγκη ἀπὸ τοῦ πατρὸς αὐτοῦ τοῦ Διὸς παρεσκεύαζεν αὐτὸν διὰ τῶν προσταγμάτων τοῦ Εὐρυσθέως τῶν δι' ἀγγέλων αὐτῷ προσταττομένων· δι' ἀγγέλων γάρ, φασί, προσέταττεν αὐτῷ ὁ Εὐρυσθεύς, ἃ προσέταττε· τὴν ἔλαφον (52) τὴν θήλειαν, τὴν χρυσόκερων ἄξοντα, ἣν ἡ Ταϋγέτη ἡ τοῦ Ἄτλαντος θυγάτηρ ἀνατιθεῖσα Ἀρτέμιδι τῇ Ὀρθωσίᾳ ἐπέγραψεν ἱεράν, αὐτῆς δηλονότι.

gl. 55. τὴν ἔλαφον. — ζητῶν· ** διώκων. — ** ἴδε] διὰ τὸ μέτρον. — τὴν ἐν Ὑπερβορέοις. — 56. ** πνοαῖς. — ἀνωτάτω. — 57. * ψυχροῦ] σύναπτε τοῦτο πρὸς τὸ πνοαῖς. — τότε. — τὰς ἐκεῖ ἐλαίας. — * † ἐθαύμαζε. — ἐκεῖ. — 58. τῶν δένδρων. — * † αὐτόν. — ἐπιθυμία.

59. Tr. Δωδεκάγναμπτον] τὸ ιβ' γναμπτοὺς ἔχον, ἐπειδὴ καὶ ιβ' δρόμους ἐποίει τὸ τέλειον ἅρμα τῶν ἵππων, τὸ δὲ πωλικὸν η'.

gl. 59. * τὸ ιβ' καμπτοὺς ἔχον· ἐπειδὴ καὶ ιβ' δρόμους ἐποίει τὸ τέλειον ἅρμα. — 61. τὴν τῶν Θεοξενίων. — 62. * † εὐμενής. — * † ἰσοθέοις. — * † ἔρχεται. — 63. βαθυ-

---

2 ἤτοι] ἤγουν ι''. — 3 ἐλθόντα αὐτὸν edd. — καὶ τῶν μυχῶν om. q. — 4 πολυστέρων a. — 4. 5 ἡ ἀνάγκη ἡ ἀπὸ codd. et edd. exceptis aq ξ'. — 5 αὐτῶν Δ. q. — τοῦ om. ι''. — 6 πραγμάτων z ξ'. — εὐρυσθέος z μ' φ'. — αὐτοῦ q, omm. z ξ'. — προσταττ. om. ξ'. — 7 ἀγγέλλων q. — γάρ φησι ξ'. — ἐπέταττεν z. — αὐτοῦ q, αὐτῶν ξ'. — ὁ ex a ι'' μ' φ' est. — 9 ἀνατεθεῖσα z μ', ἀντεθεῖσα ξ'. — 10 τῇ ἀρτ. q z ξ' φ'. — ὀρθοσία q ξ' φ'. — ἀπέγρ. q. — αὐτοῖς φ'. — 16 Scholium Tricl. om. z; in codd. et edd. (in edd. ante Boeckhium vocula ἢ præmissa) paraphrasi Moschopuleæ vv. 55—67 post verba τεθρίπποις περιήρχοντο (p. 165, 12) insertum est. — δωδεκάγναπτον ξ'. — καμπτούς ι'', γναπτούς ξ'. — 19 γαμπτούς Γ.

κόλπου. — *διπλοῖς.* — *Κάστορι καὶ Πολυδεύκει.* — 64. *τούτοις.* — *ἰὼν]* * *εἰς·* — *ἀπερχόμενος· ἡ δὲ ἱστορία ἐν ἀρχῇ τοῦ ἐπινικίου ἐρρέθη·* — † *ἀπερχόμενος εἰς Ὄλυμπον.* — 65. * † *θαυμαστόν.* — *τὸν Ὀλυμπιακόν.* — *διεξάγειν.* — 66. *ταχείας.* — 67. *ἁρμάτων δρόμου.*

55—67. *M.* *Ταύτην διώκων εἶδε καὶ ἐκείνην τὴν γῆν τὴν τὰς ἐλαίας ἔχουσαν, ὄπισθεν τῶν πνοῶν* (56) *τοῦ Βορέου τοῦ ψυχροῦ, ἤγουν κατὰ τὰ Ὑπερβόρεα μέρη· ὅπου σταθεὶς ἐθαύμαζε τὰ δένδρα, ὧν γλυκὺς ἔρως ἔλαβεν αὐτόν, ὥστε φυτεῦσαι ἀπ' αὐτῶν δηλονότι, περὶ τὸ τέρμα τοῦ δρόμου τῶν ἵππων τὸ δωδεκάγναμπτον* (59), *ἤγουν ὃ δωδεκάκις οἱ ἀγωνιζόμενοι τεθρίπποις περιήρχοντο. καὶ δὴ* (61) *εἰς ταύτην τὴν ἑορτήν, ἤγουν εἰς τὰ Θεοξένια, εὐμενὴς ἔρχεται ὁ Ἡρακλῆς σὺν τοῖς δυσὶ παισὶ τῆς Λήδας τῆς βαθυζώνου, ἤγουν τῆς πολυτελεῖ ζώνῃ ποτὲ χρωμένης, ἤγουν τῆς πλουσίας· καθὸ λέγεται καὶ βαθὺς πλοῦτος ὁ πολὺς ἀπὸ μεταφορᾶς τῆς βαθείας ὕλης ἤτοι δασείας· τοῖς ἀντιθέοις* (62), *ἤγουν τοῖς ἰσοθέοις, τουτέστι τοῖς Διοσκούροις. τούτοις γὰρ ἐπέτραπεν, ἤγουν ἐπὶ τῇ ἐξουσίᾳ γὰρ τούτων ἔδωκεν εἰς τὸν οὐρανὸν αὐτὸς ἀπερχόμενος, νέμειν, ἤγουν διοικεῖν τὸν θαυμαστὸν ἀγῶνα, περί τε τῆς ἀρετῆς, ἤγουν*

---

6 *σύνταξις μ′* in marg., Bœckh in textu. — Lemma *τὰν μεθέπων* est in codd. mixtis et edd., Beckiana et Heyniana exceptis. — 7 *τῶν πνοῶν* om. *z*, *πνοῶν τοῦ* om. *φ′*. — 8 *ὑπερβόρεια* [*q*] edd. — 9 *τὰ* om. *ι′′*. — *δένδρη ξ′*. — *ἔρως aqι′′* et glossa Mosch., *ἵμερος zμ′ ξ′ φ′*, *ἵμερος καὶ ἔρως* edd. — 10 *ἀπ' αὐτὸν ξ′*. — 11 *δωδεκάγναπτον qzμ′*. — 12 *τεθρίπποι ξ′*. — Post *περιήρχοντο* lemma *καί νυν (καὶ νῦν z) ἐς ταύταν (ταύτην z) (ἑορτὰν* add. Bœckh) est in codd. mixtis et ed Bœckh. — 13 *εἰς* om. *ξ′*. — *ὁ* om. *ξ′*. — 14 *ἤγουν* om. *ξ′*. — 15 *ἤγουν] τουτέστι q*. — *καθά* [*ξ′*] edd. — 16 *ἤτοι δασ. aqι′′*, *τουτέστι τῆς δασ.* cett. — 17 *τοῖς ἀντ.* — *Διοσκούροις* om. *ι′′*. — 18 *γὰρ* om. *ξ′*. — *ἐπέτρεπεν zξ′*, *ἐπέτραπεν μ′*. — *γὰρ* omm. *ι′′ ξ′ φ′*.

τῆς δυνάμεως, τῆς ἐμπειρίας τῶν ἀνδρῶν, καὶ τῆς διφρηλασίας, ἤγουν τῆς σπουδαίας κινήσεως τῶν δίφρων, τῆς ῥιμφαρμάτου, τουτέστι δι' ἧς ἡ ταχυτὴς τῶν ἁρμάτων δείκνυται.

gl. 67. *οὖν.* — * *που.*

68. *Th.* *Ἐμμενίδαι φατρία Θήρωνος ἐν Σικελίᾳ. Τηλέμαχος γάρ τις καταλύσας τὴν Φαλάριδος τυραννίδα ἐν Ἀκράγαντι, τὴν βασιλείαν ἐκτήσατο· οὗ παῖς γίνεται Αἰνησίδαμος ὁ Θήρωνος πατήρ.*

gl. 68. *εἰς τοῦτο.* — *εἰπεῖν.* — *τοῖς προγόνοις τοῦ Θήρωνος.* — 69. * * *καί.* — 70. *δόξαν.* — *τῶν καλοὺς ἵππους ἐχόντων.* — 71. *Κάστορος καὶ Πολυδεύκους.* — *τῶν ἄλλων·* — † *πάνυ πλείοσι τῶν ἄλλων ἀνθρώπων.* — 72. * *φιλοφροσύναις·* — * * *φιλοφρονητικαῖς.* — *τοὺς Διοσκούρους.* — *ἔρχονται.* — *ἃς ἐν ταῖς πανηγύρεσιν αὐτῶν ποιοῦσιν.* — 73. *τηροῦντες.* — 74. * * *θεῶν.* — * † *ἑορτάς.*

71—74. *Th.* *Ὅτι ἐπ' αὐτοὺς τοὺς Διοσκούρους οἱ πρόγονοι τοῦ Θήρωνος καὶ αὐτὸς ὁ Θήρων οἴχονται καὶ πορεύονται ἐν πλείσταις ἀνθρώπων ξενίαις τραπέζαις, τουτέστιν ὡς οὐδένες ἀνθρώπων θυσίαις καὶ πανηγύρεσιν αὐτοὺς τιμῶσι, φυλάσσοντες καὶ τηροῦντες τὰς τελετὰς καὶ τὰς ἑορτὰς τῶν μακάρων ἐν εὐσεβεῖ γνώμᾳ, τουτέστιν εὐσεβεῖς ὄντες καὶ περὶ τὰς τῶν θεῶν τιμὰς ἀσχολούμενοι.*

---

1 *τῆς* ante *δυν.* om. *ι'*. — 3 *δεικνῦται μ'*, *δείκνυτε ξ'*. — 5 Scholium Thomanum om. *ε*. — 6 *κατακλείσας ξ'*. — 16 Lemma *Ὅτι πλείσταισι(ν)* est in codd. mixtis et edd. — Inter lemma et *ὅτι ἐπ' αὐτούς* in edd. *πάνυ πλείοσι τῶν ἄλλων ἀνθρώπων* legitur; confer glossam. — 18 *οὐδὲν ἐς ξ'*. — 18. 19 *ὡς οὐδεὶς τῶν ἀνθρ. ἐστὶ (ἐστι τῶν ἀνθρ. φ') θυσ. ε φ'*. — 19 *τιμῶν ε*. — *φυλάσσουσι Γ*. — 20 *καὶ τηρ.* om. *ι'*. — *τὰς ἑορτὰς καὶ τὰς τελετὰς τ. μ. Γ*. — *τὰς* post *καὶ* om. *ι'*. — *καὶ τὰς τῶν μακ. ἑορτὰς* ////// *ἐν μ'*. — 21 *γνώμα ΓΛ*, *γνώμῃ* cett. — 22 *ἐνασχολούμενοι Γ*.

67—74. M. Ἐμὲ δ' οὖν ἡ ψυχὴ διεγείρει εἰπεῖν, δόξαν ἐλθεῖν τοῖς Ἐμμενίδαις, ἤγουν τῇ φατρίᾳ τοῦ Θήρωνος, τουτέστι τοῖς Ἀκραγαντίνοις καὶ τῷ Θήρωνι, τῶν Τυνδαριδῶν, ἤγουν τῶν Διοσκούρων τῶν εὐίππων, τουτέστι τῶν ἐπὶ καλῶν ἵππων ὀχουμένων, διδόντων αὐτὴν δηλονότι, διότι (71) αὐτοὺς ἐπέρχονται, ἤγουν δεξιοῦνται, διὰ τραπεζῶν ξενοδοχικῶν πάνυ πλειόνων τῶν ἄλλων ἀνθρώπων, ἀντὶ τοῦ τῶν τραπεζῶν, ἃς οἱ ἄλλοι ποιοῦσιν ἄνθρωποι. ἢ οὕτω· διότι αὐτοὺς δεξιοῦνται διὰ πλείστων τραπεζῶν πρὸς ἀνθρώπους ξενοδοχικῶν, κατὰ εὐσεβῆ προαίρεσιν φυλάσσοντες, ἤγουν τηροῦντες, τιμῶντες τὰς ἑορτὰς τῶν θεῶν.

gl. 75. κρεῖττον τῶν ἄλλων στοιχείων ἐστί. — τῶν ἄλλων κτημάτων. — 76. ἐντιμότατον.

77. Th. Τὸ δὲ οὐκ ἔστιν ἐνταῦθα ἀργόν, ἀλλ' Ἀττικόν· καὶ γὰρ καὶ ἐν ἀποδόσει τῶν παραβολῶν τιθέαμεν. λέγομεν γάρ· ὥσπερ ὁ δεῖνα κακός, οὕτω δὲ καὶ ὁ δεῖνα.

gl. 77. * πρὸς τὸ ἀκρότατον· — 78. ταῖς αὐτοῦ. — ἐρχόμενος.

79. Germ. Οἴκοθεν] ἀντὶ τοῦ τῶν ἐκπονημάτων οἰκείων, οὐ τῶν ἐκπάτροθεν καὶ προγονικῶν.

Th. Ἡρακλέος στηλᾶν] ἃς ἐν Γαδείροις ἔστησεν, ὅτε πρὸς ζήτησιν τῶν Γηρυόνου βοῶν ἀφῖκτο. ὅτι δὲ οὐκ

---

1 Paraphrasin Mosc. vv. 67—74 om. ι. — σύνταξις μ' in marg., φ' et Boeckh in textu. — Lemma ἐμὲ δ' ὦν est in ι', ἐμὲ δ' ὦν πα (πα) in μ' ξ' φ', ἐμὲ δ' ὦν πα θυμὸς in edd. ante Beckium, qui primus omisit lemma. — 2 ταῖς ἐμμ. q. — 3 τῷ om. ι'. — 4 τουτέστι omm. μ' ξ' φ'. — 6 ἤγουν om. α. — διὰ τῶν τραπ. q, διατραπαιζῶν ξ'. — 6. 7 ξενοδοχ. — τραπ om. ξ'. — 7 τῶν post τοῦ ex α q addidi. — 7. 8 ἄλλοι οὐ π. [μ'] edd. — 8 οὕτως α q ι' φ'. — 10 ἀναίρεσιν q. — 14—16 ex ΓΔ edidi. — 15 καὶ om. Δ. — ἀποδώσει Γ. — γάρ] δὲ Δ. — 19 Ante οὐκ. delevi ἢ. — 21 Lemma om. ΓΔ. — ἡρακλέους ι'. — στηλῶν ι', στηλὰν ξ'. — ἔστησαν ξ'.

ἔστι τούτων ἐπέκεινα ἐλθεῖν, ἡ παροιμία δηλοῖ· τὸ πέρα Γαδείρων οὐ περατόν.

gl. 79. *ἀφ' ἑτέρου καὶ οὐκ ἀπὸ τύχης πατέρων, ὡς ἕτεροι.* — * *τὸ ἐπέκεινα τῶν στηλῶν.* — 80. *ἤτοι ἄγνωστον καὶ ἀκατάληπτον.*

81. *Germ. Κεινὸς εἴην] γράφεται καὶ κεῖνος ἀντὶ τοῦ ἐκεῖνος εἴην διώκων ὁ τῶν δυνατῶν ἐφιέμενος καὶ μὴ ἀδυνάτων.*

gl. 81. * *αὐτὸ τὸ ἐπέκεινα.* — * † *μάταιος, εἰ τοῦτο ζητοίην.* — ** *ἄν.*

77—81. *Th.* *Ὃ λέγει τοιοῦτόν ἐστιν, ὅτι ὥσπερ τῶν Ἡρακλείων στηλῶν οὐκ ἔστιν ἐπέκεινά τι, οὕτω καὶ Θήρων εἰς τὸ ἀκρότατον τοῦ θαύματος ἰὼν οὐκ ἂν ἔχοι πορρωτέρω ἐλθεῖν· πάντες γὰρ καὶ σοφοὶ καὶ ἄσοφοι μὴ εἶναι ταύτης ἔτι μείζω εὐδαιμονίαν εἴποιεν, ὥστε καὶ αὐτός, εἰ πλέον τι ζητοίην πρὸς τὸν αὐτοῦ ἔπαινον, μάταιος ἂν εἴην.*

75—81. *M.* *Εἰ δὲ ἄριστον μέν ἐστι τὸ ὕδωρ τῶν ἄλλων δηλονότι στοιχείων, τῶν κτημάτων δὲ ὁ χρυσός ἐστιν αἰδοιέστα-*

---

1 *ἐστιν ἐπέκεινα τούτων* codd. et edd. *ΓΛι''* exceptis. — *παροιμία*, quod in *μ' φ'* in marg. legitur, in edd. post *δηλοῖ* insertum est. — 1. 2 *τὸ π. Γ. οὐ περατόν ΓΛ, τὰ π. Γ. οὐ περατά* cett. — 3 *ἀφ'* — *ἕτεροι* præfixo lemmate *ἄλλως* in edd. paraphrasi Moschopuleæ post *τῷ γένει αὐτοῦ* (p. 169, 5) inserta leguntur. — 11 Hoc scholium in codd. mixtis et edd. cum scholio Thom. ad v. 79 coniunctum est. — *ὅπερ Λ.* — *ὃ δὲ λ.* codd. mixti et edd. — *ὅτι* om. *Λ.* — 11. 12 *ἡρακλείον μ' ξ'.* — 13 *ἔχη ι'', ἔχει ξ'.* — 14 *ἄσαφοι ξ'.* — *ταύτας z.* — 15 *ζητήσει ξ', ζητείην ι''.* — 16 *μάταιον ξ'.* — *εἴη Γμ' ξ'* et edd. ante Beckium. — 17 Lemma *εἰ δ' ἀριστεύει μὲν ὕδωρ* est in *ξ'* et edd. ante Beckium, *εἰ δ' ἀρ.* in *ι''*, *εἰ δ' ἀρ. μέν* in cett. codd. mixtis et ed. Bœckh. (Beck et Heyne omm. lemma). — *σύνταξις ι''* in marg., *φ'* et Bœckh in textu ante lemma, *z* in textu post lemma. — *δ' ἀρ. z ξ' φ'.* — 18 *δηλ.* om. *z.* — *δὲ* om. *ι''.* — *αἰδοιαίστατον ι''.*

τον, κτῆμα δηλονότι, ἤγουν τιμιώτατον· τὸ γὰρ πλεῖστα αἰδοῦς ἄξιον τιμιώτατον πάντως· νῦν γε (77) ὁ Θήρων πρὸς τὴν ἐσχατιάν, ἤγουν τὸ ἀκρότατον καταλαμβάνων, ἅπτεται ταῖς οἴκοθεν ἀρεταῖς, (79) τουτέστι ταῖς γνησίαις, ταῖς οἰκείαις τῷ γένει αὐτοῦ, τῶν στηλῶν τοῦ Ἡρακλέος. τοῦτο δέ φησιν, ἐπειδὴ ἐνίκησε τὰ Ὀλύμπια, τὸν κράτιστον ἀγῶνα τῶν ἄλλων. τὸ πόρσω δέ, τουτέστι τὸ πόῤῥω, ἀντὶ τοῦ τὸ περαιτέρω, ἄβατόν ἐστι καὶ ὑπὸ τῶν σοφῶν καὶ ὑπὸ τῶν ἀσόφων. οὐ μὴν διώξω, ἤγουν ζητήσω, τουτέστιν ὅσον τὸ κατ' ἐμὲ οὐκ ἂν ἐδίωξα. κενός, ἤγουν μάταιος εἴην, εἰ ἐζήτησα, τοῦτο δηλονότι. § ἄβατον τὸ μὴ πρέπον πατηθῆναι, καὶ δι' οὗ διῆλθέ τις, καὶ ὃ οὐ δύναταί τις διελθεῖν, ἤγουν τὸ ἀδιεξίτητον· ἐνταῦθα κατὰ τὸ τρίτον λέγεται σημαινόμενον.

---

2 πάντων Beck, Heyne. — γε om. α. — 3 ἀκροτώτατον φ'. — 5 αὐτοῦ. Ἄλλως. Οἴκοθεν· ἀφ' ἑαυτοῦ καὶ οὐκ ἀπὸ τύχης πατέρων, ὡς ἕτεροι (conf. p. 168, 3). Ἡρακλέος στηλᾶν (lemma omm. Beck, Heyne), τῶν στηλῶν etc. edd. — ἡρακλέος α pro ἡρακλέους. — ἐπεὶ ε. — 7 τὸ π. ἤγουν ἀ. ε. — τὸ α ε et Beck, omm. ι' μ' ξ' φ' et Heyne, τὰ cett. — ἄβατον bis habet q. — 8 καὶ (om. ὑπὸ τῶν) ἀσ. ι'. — μάν ε. — 8. 9 ἤγ. οὐ ζ. [q] edd. — 9 τουτέστι (om. ὅσον) ε. — καινὸς ξ', κεινός [q] edd. — 10 μ. ἂν εἴην [q] edd. — Hæc inde ab ἄβατον om. ε. — 12 κατὰ τοῦ τρίτον α.

Ἐπίνικοι Ὀλυμπιονίκαις.

Ψαύμιδι Καμαριναίῳ ἀπήνῃ. Ὠιδὴ δ΄.

[Δημητρίου Τρικλινίου]

περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ δ΄ εἴδους. ἔστι δὲ τὸ ᾆσμα στροφῆς μιᾶς.

Παλαιόν.

Τοῦ δ΄ εἴδους ἡ στροφὴ καὶ ἀντιστροφὴ κώλων ἑκάστη ιε΄. Τὸ α΄ προσοδιακὸν ἀνακλώμενον δίμετρον ὑπερκατάληκτον. ἀνακλώμενον δὲ καλεῖται τὸ μέτρον, ὅτι πολλάκις ὁ λείπων χρόνος ἔν τινι βάσει ἀνακλᾶται εἰς ἄλλην βάσιν. παίων γάρ ἐστι γ΄ ὁ α΄. ποὺς ἀντὶ Ἰωνικοῦ τοῦ ἀπ᾽ ἐλάσσονος, καὶ ὁ λείπων χρόνος ἀνεκλάσθη εἰς τελευταίαν τοῦ κώλου συλλαβήν. Τὸ β΄ ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. Τὸ γ΄ ἰθυφαλλικόν, ἤτοι τροχαϊκὸν δίμετρον βραχυκατάληκτον. τοῦτο δὲ καὶ ἡμιόλιον λέγεται, ὡς ἔχον τὴν συζυγίαν τῶν ποδῶν καὶ τὸ ἥμισυ ταύτης. ἡ τελευταία ἀδιάφορος. Τὸ δ΄ Ἰωνικὸν τρίμετρον βρα-

---

Scholium metricum Bœckh ex Vrat. A, Mosc. B. edidit; ego cum ι΄΄ μ΄ ξ΄ (in quo errore ante primum Olympiorum carmen legitur) et Vrat. A contuli. — **4. 5** *περὶ τῶν τε στροφῶν καὶ ἀντιστροφῶν τοῦ τετάρτου εἴδους* est inscriptio in ξ΄. — **5** *τὸ ᾆσμα* om. ι΄΄. — **6** *Παλαιόν* ex μ΄ et marg. ι΄΄ addidi. — **7. 8** *ἑκάστη* om. ι΄΄. — **11** *ἀντὶ τοῦ ἰ. τοῦ* ξ΄. — *ἀπελ.* μ΄. — **13** *ἰθυφαλικόν* codd. — **14** *ἤτοι*] *ἢ* ι΄΄. — *δὲ* om. ι΄΄. — **15** *ἔχων* ξ΄. — **16** *ἡ τελευταίαν* ξ΄.

χυκατάληκτον ἀπὸ μείζονος, ἡ α' δὲ μακρὰ τοῦ Ἰωνικοῦ διαλύεται εἰς β' βραχείας, καὶ γίνεται ὁ ποὺς πεντασύλλαβος. τοῦτο καὶ ἀναπαιστικόν ἐστιν, ὡς ἐμοὶ δοκεῖ, δίμετρον ἀκατάληκτον. Τὸ ε' Ἰωνικὸν δίμετρον ἀκατάληκτον, τῶν ἀρχουσῶν οὐσῶν ἀδιαφόρων, ὡς ἐν τῷ α' Ἰωνικῷ ἀρχομένου ἰάμβου καὶ γενομένου β' παίωνος, ὃ καὶ Ἡφαιστίων παρατηρεῖ· πολλάκις γάρ, φησίν, ἀπὸ βραχείας ὁ μείζων Ἰωνικὸς ἄρχεται τοῖς μετρικοῖς, ὁ δὲ β' ἀπὸ τροχαίου, ὃς οἰκεῖός ἐστι τοῖς Ἰωνικοῖς. τοῦτο καὶ ἰαμβικόν ἐστιν ἐφθημιμερὲς ἐκ β' ἀναπαίστου. Τὸ ς' Ἰωνικὸν ἀπὸ μείζονος τρίμετρον βραχυκατάληκτον. Τὸ ζ' λογαοιδικόν. ἐξ ἀναπαίστων δὲ ἢ δακτύλων σύγκειται τοῦτο τὸ μέτρον, ἐνταῦθα δὲ ἐκ σπονδείων, πλὴν τῆς τελευταίας· οἰκεῖοι δὲ καὶ οἱ σπονδεῖοι ἀναπαίστοις. Τὸ η' Φερεκράτειον ἀντισπαστικόν. ἔστι δ' ὅτε ἐκ σπονδείου ἄρχεται ὁ α' ἀντίσπαστος. πολλάκις δὲ καὶ διτρόχαιος γίνεται. ἐνδέει δὲ συλλαβῆς πρὸς τὸ τέλειον Φερεκράτειον εἶναι· δίμετρον γάρ ἐστι βραχυκατάληκτον καὶ ἡμιόλιον. Τὸ θ' ἰαμβικὸν ἐφθημιμερές. Τὸ ι' ἐπιωνικὸν τρίμετρον βραχυκατάληκτον· τῆς γὰρ α' συζυγίας οὔσης ἰαμβικῆς ἡ β' ἐστὶ τροχαϊκή. διὰ τοῦτο ἐπιωνικὸν ὀνομάζεται. Τὸ ια' τροχαϊκὸν δίμετρον ἀκατάληκτον, τοῦ β' ποδὸς δακτύλου, τοῦ δ' δὲ χορείου. διελύθη γὰρ ὁ τροχαῖος εἰς τρίβραχυν. Τὸ ιβ' Ἰωνικὸν ἐξ ἐλάσσονος καὶ μείζονος ἢ διτροχαίου δίμετρον ὑπερκατάληκτον. Τὸ ιγ' Ἰωνικὸν ἀπὸ μείζονος ἡμιόλιον, ἤτοι δίμετρον βραχυκατάληκτον. τοῦτο καὶ ἀναπαιστικόν ἐστι πενθημιμερές. Τὸ ιδ' Ἰωνικὸν

2 πεντασυλλ. μ'. — 8 δὲ ex ι' μ' ξ' addidi. — ἀπὸ τροχαϊκοῦ Vrat. — 9 τοῦτο δὲ καὶ μ'. — ἐστιν om. Vrat. — 11 ἀναπαίστου μ'. — 12 πλὴν τῆς] ἢ ι'. — 14 σπονδείων ξ'. — 15 διτροχαῖος ξ'. — ἐνδέει mei codd., ἐνδεῖ ed. — 17 τὸ θ' ἰωνικὸν ξ'. — 18 ἐπαϊωνικὸν ξ'. — 19 οὔσης om. μ'. — 20 ἐπαϊωνικόν ξ'. — 22 δίβραχυν Vrat. μ'. — 24 ἤγουν ι''.

ἐκ παίωνος β'. ἡ καταχλεὶς τροχαῖος. Τὸ ιε' ἰαμβικὸν πενθημιμερές· ἑξῆς δὲ ἐπὶ τῷ τέλει τῶν στροφῶν καὶ ἀντιστροφῶν παράγραφος.

Περὶ τῶν κώλων τῶν ἐπῳδῶν.

Ἡ ἐπῳδὸς κώλων ιβ'. Τὸ α' Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον. Τὸ β' χοριαμβικὸν δίμετρον καταληκτικόν· ἡ καταχλεὶς ἴαμβος, ὡς συγγενής. Τὸ γ' ἰαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ δ' προσοδιακὸν ἐξ Ἰωνικοῦ ἀπὸ μείζονος καὶ χοριάμβου καὶ συλλαβῆς, ἤτοι δίμετρον ὑπερκατάληκτον. Τὸ ε' ἐπιχοριαμβικὸν δίμετρον ὑπερκατάληκτον ἀπὸ τροχαίων ἀρχόμενον. ὁ α' δὲ τροχαῖός ἐστι τρίβραχυς. Τὸ ς' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον· ὁ β' τρίβραχυς. Τὸ ζ' δακτυλικὸν τρίμετρον καταληκτικόν· κατὰ μονοποδίαν γὰρ μετρεῖται τὰ τοιαῦτα. μετρεῖται δὲ ὡς προσοδιακόν, τοῦ α' χοριάμβου. Τὸ η' περιοδικόν, διπλοῦς ἴαμβος καὶ διπλοῦς τροχαῖος, ὡς ἐν τῷ α' κώλῳ εἴρηται τῆς στροφῆς τοῦ β' εἴδους. Τὸ θ' τροχαϊκὸν δίμετρον καταληκτικόν, ἤτοι ἑφθημιμερὲς ἰάμβου ἀρχομένου. δέχεται δὲ καὶ ἴαμβον τὸ τοιοῦτον μέτρον. οἱ δὲ λέγοντες τοῦτο περιοδικὸν οὐ καλῶς λέγουσι. Τὸ ι' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον, τοῦ γ' ποδὸς ἀναπαίστου. Τὸ ια' τροχαϊκὸν δίμετρον ἀκατάληκτον, λυομένου τοῦ α' ποδός, τοῦ δὲ δ' ἰάμβου· ὡς δὲ ἐμοὶ δοκεῖ, προσοδιακόν ἐστι δίμετρον ἀκατάληκτον, ἐκ διτροχαίου διαλελυμένου ἢ μᾶλλον ἐπιτρίτου δ' καὶ χοριάμβου. ἰστέον δέ, ὅτι οἱ δ' τροχαῖοι ἐπίτριτον μέτρον καλοῦνται, ὥσπερ καὶ οἱ γ' ἡμιό-

---

1 *ἐκ*] *ἀπὸ* ξ'. — *ἐκ παίωνος — ἰαμβικὸν* om. Vrat. — 2 *τῶν στρ.* μ'. — *τῆς στροφῆς καὶ ἀντιστροφῆς* ι'. — 4 Inscriptionem om. ξ'. — *τῆς ἐπωδοῦ* ι'. — 5 *ἡ*] *ἑκάστη* ξ'. — 6 *δίμ. εὐκαταληκτικόν* ξ'. — 9 *ἤγουν* ι'. — 9. 10 *Τὸ ε' — ὑπερκ.* om. ξ'. — 15 *διπλοῦς* (bis) ξ'. — 17 *ἤγουν* ι'. — *δέ* om. ι'. — 18 *τοιοῦτο* ι'. — 19 *λέγουσι* pro *λέγουσιν* ι'' ξ'. — 24 *τροχ. ἐπιτριμέτρου καλ.* Vrat.

λιον. Τὸ ιβ' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. ἑξῆς δὲ ἐπὶ τῷ τέλει τῆς ἐπῳδοῦ κορωνὶς καὶ παράγραφος.

---

1. *Th.* Ἐπειδὴ ἡ τοῦ Ψαύμιος νίκη ἐν Ὀλυμπίᾳ ἐγένετο, τὰ δὲ Ὀλύμπια πρὸς τὸν Δία ἐστίν, εἰκότως νῦν τοῦτον ἐπιβοᾶται. εἰπὼν δέ· ἐλατὴρ ὑπέρτατε βροντᾶς, καὶ πολλὰ διὰ μέσου θεὶς πάλιν ἐπαναλαμβάνει τὸν αὐτοῦ λόγον καί φησιν· ἀλλὰ Κρόνου παῖ. ἐκ δὲ τοῦ εἰπεῖν· ἐλατὴρ τῆς βροντῆς, διοικητὴν αὐτὸν τῶν οὐρανίων πάντων φησίν.

M. Ἐλατὴρ ὑπέρτατε βροντᾶς] ὡς ἐπὶ ἵππου χρῆται τῷ λόγῳ· ἴσως δὲ οὐχ ἅρμα τοῦ Διὸς βούλεται τὴν βροντὴν ὑποτιθέναι, ἀλλὰ μεταφορικῶς τίθησι τὰ ὀνόματα, ἵν' ᾖ ὁ λόγος οὕτως· ὦ Ζεῦ ὑψηλότατε, ἐλατὴρ τῆς βροντῆς τῆς ἀκαμαντόποδος, ἀντὶ τοῦ ὃς κινεῖς τὴν βροντὴν τὴν ἐπὶ πλεῖστον διικνουμένην χωρὶς ἀτονίας.

gl. 1. ** Τὸ προοίμιον εὐκτικόν. — διοικητά. — ὕψιστε. — 2. τῆς ταχέως γινομένης.

3. *M.* Τεαὶ γὰρ ὧραι] διὰ μέσου ταῦτα τίθησι κατασκευαστικὰ τῆς ἐπενεχθησομένης ἀξιώσεως· ἃ ἐπεὶ εἶδεν ἐπὶ πολὺ παραταθέντα, ἐπαναλαμβάνει τὸν πρὸς τὸν Δία λόγον,

---

3 σχόλια τῶν αὐτῶν est inscriptio in Vrat. ε ι'' μ' φ'. — Lemma ἐλατὴρ ὑπέρτατε βροντᾶς est in edd. Beckiana et Heyniana exceptis. — Ψαύμιος ex Γ est pro Ψαύμιδος. — 4 πρὸς τὸν Δία ἐστίν ΓΔ, τῷ Διὶ ἀνάκειται cett. — 5 διαμέσου Γ. — 6 θείς ΓΔ ε ι'' μ', τιθείς cett. — ἐπ' ἀναλ. φ'. — αὐτοῦ ΓΔ Vrat. μ' ξ' φ' et edd. ante Beckium, αὐτὸν ε ι''. — 6. 7 ἀλλὰ κρ. π. Δ, ἀλλ' ὦ Κρ. π. cett. e Triclinii sententia. — 8 αὐτὸν] αὐτῶν Γ, om. ξ'. — πάντων τῶν οὐρ. Γ. — 9 σύνταξις margo μ'. — Ἄλλως pro lemmate edd. — βροντᾶν ξ'. — 10 ἴσος ξ'. — οὐχ' ἅρματα ε. — βούλεται τοῦ διός ε φ'. — 11 ὁ om. ξ'. — 12 τῆς βρ. ἐλ. ι''. — 13 ἐπὶ πλεῖστον Vrat. ξ' φ', ἐπὶ τὸ πλεῖστον q, ἐπιπλεῖστον cett. — διοικν. ξ'. — 17 τεαί] περὶ ε. — 17. 18 κατασκευαστικόν Vrat. ε μ' ξ' φ'. — 18. 19 ἐπὶ πολὺ Vrat. μ' ξ' φ', ἐπιπολὺ cett. — 19 παρατιθέντα q. — τὸν πρ. τὸν διάλογον q.

εἶτα ἀποδίδωσι τὴν ἀξίωσιν. αἱ σαὶ γὰρ ὧραι, ἤγουν αἱ περίοδοι τῶν Ὀλυμπιάδων αἱ σοὶ ἀνατεθειμέναι, ἑλισσόμεναι, ἤγουν ἐπανακυκλούμεναι, ἔπεμψάν με μετ' ᾠδῆς ποικίλων μελῶν φόρμιγγος, μάρτυρα, ἤγουν ἀγγελέα, ὑμνητὴν ὑψηλοτάτων ἀγώνων. φίλων γὰρ εὖ πρασσόντων, ἀντὶ τοῦ εὐτυχησάντων, νικησάντων, ἔσαναν, ἀντὶ τοῦ ἐτέρφθησαν, πρὸς τὴν ἀγγελίαν τὴν γλυκεῖαν οἱ ἀγαθοί.

gl. 3. * * *ὠ. — ὁ τῶν σῶν Ὀλυμπίων καιρός.*

4. *Th. Οἱ τὸ* ὑπὸ ποικιλοφόρμιγγος *ἀντὶ τοῦ* μετὰ ποικιλοφόρμιγγος *λέγοντες καὶ τὴν ὑπό ἀντὶ τῆς* μετά *λαμβάνοντες καὶ πρὸς τὸ* ἔπεμψαν *συνάπτοντες, οὔ μοι δοκοῦσι καλῶς λέγειν. πρὸς γὰρ τὸ* μάρτυρα *ἔστιν ἡ συνάφεια οὕτω· μάρτυρα ἀέθλων ὑπὸ ποικιλοφόρμιγγος ἀοιδῆς, ἤγουν ὑπὸ τῆς ἐμῆς ποιήσεως δήλους τοὺς ἄθλους τοῖς ἑξῆς καταστήσοντα.*

gl. 4. *τῆς ποικιλλομένης ὑπὸ κιθάρας. — εὐφημίας. —* 5. *ἐπανιοῦσαι ἐκ περιόδου. — αὗται γὰρ αἴτιαι τοῦ ἐμοῦ ὕμνου. —* 6. *κρείττων γὰρ ὁ Ὀλυμπιακὸς τῶν ἄλλων ἀγώνων. —* * *μαρτυροῦσι γὰρ οἱ ὕμνοι τοῖς ἑξῆς ἀνθρώποις τὰ πάλαι γενόμενα. πρὸς οὖν τοῦτο καὶ τὸ* ὑπὸ ποικιλοφόρμιγγος *σύναπτε.*

1—6. *Germ. Ἡ σύνταξις αὕτη· ὦ Ζεῦ ὑπέρτατε ἐλατὴρ τῆς βροντῆς τῆς ἀκαμαντόποδος, αἱ τεαὶ γὰρ ὧραι ἑλισσόμεναι*

---

2 *ἑλισσόμενα* ξ'. — *ἤγουν*] *καὶ* ε (post corr.?). — 3 *ἐπανακυκλούμενα* ξ'. — 3. 4 *φόρμιγγες* α. — 6 *ἔσαν* α φ'. — *ἐτρέφθησαν* q. — *πρ. τ. ἀγγ. τ. γλυκ.* om. ι'. — 9 Scholium ad v. 4 omm. ε ξ'. — 11 *καὶ πρὸ* μ'. — *ἔπεμψα* ΓΔ Vrat. — 11. 12 *δοκεῖ νοῦν ἔχειν* Δ. — 12 *τὸ — συνάφεια* om. μ'. — *ἐστὶν* Δι'', *ἔστιν* cett. (num omnes?). — *σάφεια* Δ. — 13 *ἀοιδῆς* ΓΔ Vrat., *ἀοιδᾶς* cett. — *ἀπὸ* ξ'. — 14 *καταστήσαντα* ι'', *καταστήσονται* Vrat. Post *καταστ.* in [Γ] et cett. sequitur glossa ad v. 6 *μαρτυροῦσι — σύναπτε*, quæ tantum in ΓΔ inter glossas legitur. — 18 *γενόμενα* Δι''. — 20 Post *ἡ* delevi *δέ* voculam. — 21 *αἶτε γὰρ ὧραι ἑλλισσ.* U, tacite corr. Mommsen.

ἔπεμψαν ἐμὲ μάρτυρα τῶν ὑψηλοτάτων ἀέθλων μετὰ τῆς ἀοιδῆς τῆς ποικιλοφόρμιγγος.

7. *Germ.* *Ξείνων δ' εὖ πρασσόντων]* *καλῶς εἶπεν εὖ πρασσόντων, ὅτι τὸ πράσσω λαμβάνεται καὶ ἐπὶ καλῷ καὶ κακῷ, ἤγουν πράσσω τὸ εὐτυχῶ, καὶ πράσσω τὸ δυστυχῶ. διὸ καὶ εἶπεν εὖ πρασσόντων ἔσαναν, ἀντὶ τοῦ ἐχάρησαν· ἀντὶ τοῦ αἰτίου τὸ αἰτιατόν· ἀπὸ τῶν σαινόντων ζώων. αἴτιον γὰρ ἡ χαρὰ τοῦ σαίνειν τὰ ζῶα τὰς οὐράς.*

gl. 7. *τῶν φίλων.* — *εὐτυχούντων.* — *ἐχάρησαν.* — 8. ** *εὐθύς.* — *τῆς εὐτυχίας.* — 9. *πρός.* — *φίλοι.* — 10. ** *ἤγουν Ζεῦ.* — *τὸ ὄρος τῆς Σικελίας.* — *κατοικεῖς·* — ** *οἰκεῖς.* — 11. *βλάβην, κόλασιν.* — *ὑψηλήν.* — * † *ἑκατὸν κεφαλὰς ἔχοντος.*

12. *Th.* *Ὁ Τυφὼς ἐν Σικελίᾳ ἐκεραυνώθη ὑπὸ τοῦ Διὸς ὑποκείμενος τῷ ὄρει τῇ Αἴτνῃ, ἔνθεν πῦρ ἔξω ῥεῖ. φασὶ δὲ ὡς ἐκεῖ καθήμενος Ἥφαιστος μυδροκτυπεῖ. λέγει οὖν τὴν Αἴτνην τοῦ Τυφῶνος ἶπον, τουτέστι τιμωρίαν καὶ κόλασιν· ἴπω γὰρ καὶ ἴπτω τὸ βλάπτω, ἐξ οὗ καὶ ἴψ, εἶδος σκώληκος.*

gl. 12. * *ἰσχυροτάτου·* — ** *ἰσχυροῦ.* — 13. *τὸν ἐμὸν ὕμνον, ὃν ἐν Ὀλυμπίᾳ νικήσαντι Ψαύμιϊ ποιῶ.*

14. *Th.* *Τοῦ Χαρίτων θ' ἕκατι τό τε πρὸς τὸ κῶμον συναπτέον, ἵν' ᾖ τὸ Ὀλυμπιονίκαν καὶ τὸ κῶμον ταὐτόν, οὕτω· δέξαι εὐμενῶς τὸν Ὀλυμπιονίκαν καὶ τὸν κῶμον, χρονιώτατον*

---

13 *ἱστορία περὶ τοῦ τυφῶνος* Vrat. *ι' μ'* in marg., *φ'* et Boeckh in textu, *περὶ τοῦ τυφῶνος* in textu, *ἱστορία* in marg. *ε*, nullum est lemma in cett. codd. et edd. — 14 *ὑποκειμένου* Vrat. *ε μ' φ'* et edd. ante Beckium, qui Oxonienses secutus correxit, *ὑπὸ κειμένου ξ'*. — *ἔνθεν* om. *ξ'*. — 15 *Ἥφαιστος* om. *Γ*. — 15. 16 *λ. τ. αἴτνην οὖν τὴν τοῦ τυφ.* *ε*. — 16 *ἵππον ι'*. — *τουτέστι* om. *Γ*. — *καὶ* post *τιμ.* om. *Δ*. — 17 *ἵπτω φ'*. — *τὸ βλάπτω* om. *ξ'*. — *σκόλικος Δ, σκόληκος ξ'*. — 20—22 *Τοῦ — κῶμον*] *Τὸ κῶμον πρὸς τὸ Ὀλυμπιονίκαν συναπτέον οὕτω· δέχου εὐμενῶς τὸν Ὀλυμπιονίκαν* (*-ονίκης ξ' φ'*, *νίκην*[ης]

καὶ διηνεκὲς φάος καὶ ἀπόδειξιν τῶν εὐρυσθενέων καὶ ἐκ μεγάλης ἰσχύος γινομένων ἀρετῶν τοῦ νικητοῦ, ἕκατι καὶ χάριν τῶν χαρίτων τῶν ἐκ ποιητικῆς, τουτέστι τὴν εὐφημίαν τοῦ Ψαύμιος, ἥτις ἐκ τοῦ ποιητικῶς λέγεσθαι καὶ συντίθεσθαι ἀπόδειξις εἰς τὸν λοιπὸν χρόνον ἔσται τῆς τῶν πεποιηκότων ἀρετῆς.

gl. 14. * εὐμενῶς. — * τῶν ἐκ ποιητικῆς. — χάριν. — 15. ὕμνον.

10—15. *Germ.* Ἀλλὰ Κρόνου παῖ] ἀλλ' ὦ Ζεῦ, ὅστις τὴν Αἴτην κατέχεις, τὴν ἀνεμόεσσαν, τὴν οὖσαν ἶπον καὶ πίεσμα καὶ βάρος τοῦ ἑκατοντακεφάλου Τυφῶνος τοῦ ὀμβρίμου, δέξαι τόνδε τὸν κῶμον τὸν Ὀλυμπιονίκην, ἕκατι τῶν Χαρίτων τοῦ Τυφῶνος.

gl. 16. διηνεκές. — δεῖξιν καὶ φανέρωσιν· — † φῶς ὄντα, ἤγουν ἐξαγγελέα, μηνυτὴν καὶ γνωριμοποιόν. — 17. τῶν ἐκ μεγάλης ἰσχύος γινομένων. — 18. τοῦ. — ὁ κῶμος. — * * ἔρχεται.

19. *Th.* Μὴ λάβῃς εἰς τὸ ὀχέων ἔξωθεν τὸ ἀπό, ἀλλ' ἔστιν ἡ τοιαύτη γενικὴ πρὸς τὸ ἵκει, οὕτως· ὁ κῶμος ἵκει καὶ ἦλθε τῶν ὀχέων τοῦ Ψαύμιος. ἐπειδὴ γὰρ ταῦτά ἐστι τοῦ ὕμνου αἴτια, καλῶς ἂν ἔχοι λέγειν, ὅτι τῶν ὀχέων ἦλθε.

gl. 19. * ἁρμάτων· τούτοις γὰρ ἐνίκησε. — 20. τῇ ἐν

μ') κῶμον codd. et edd. *Α* solo excepto, e Triclinii sententia, qui Moschopulum secutus in textu *δέκευ* pro *δέξαι* scripsit et *θ'* post *Χαρίτων* delevit. In *z* totum scholium deest. — **21** *ταυτόν* *Α*. — **22** *δόξαι* *Α*.

2 *τοῦ νικητοῦ* om. *Α*. — *τῶν* om. *Α*. — **3** *ψαύμιος* *ΓΑ*, *ψαύμιδος* cett. — **4** *ποιητικοῦ* *Γ*. — **5** *χρόνων* *Γ*. — **9** *Αἴτναν* Mommsen edidit. — **11** *κῶμον* scripsi pro *κόμπον*. — **12** Post *Τυφῶνος* delevi verba *ἢ οὕτως. ὅστις τὴν Αἴτην κατέχεις*, quæ cum initio scholii veteris ad v. 11 coniungenda esse videntur. — **17** Hoc scholium ex *ΓΑ* edidi. — *εἰς* om. *Α*. — **18** *οὕτω* *Α*. — **19** *ταῦτα ἐστὶ* *ΓΑ*. — *ὕμνον* *Α*, *ψαύμιος* *Γ*. — **20** *ἔχῃ* *Γ*.

Ὀλυμπίᾳ διδομένῃ τοῖς νικηταῖς. — δόξαν. — ἐμβαλεῖν. — 21. τῇ αὐτοῦ ἐν Σικελίᾳ πόλει.

10—21. M. Ἀλλ' ὦ Ζεῦ, παῖ τοῦ Κρόνου, ὃς οἰκεῖς τὴν Αἴτνην, τὸν πιεσμὸν τὸν ἐπὶ πολὺ τοῦ ἀέρος ἐπηρμένον καὶ ὑπὸ τῶν ἀνέμων καταπνεόμενον τοῦ Τυφῶνος, τοῦ ἰσχυροῦ, τοῦ ἑκατὸν κεφαλὰς ἔχοντος, δέχου (14) τοῦτον τὸν μετὰ χορείας ἔπαινον τὸν ἐπὶ τῷ Ὀλυμπιονίκῃ τελούμενον, ἕνεκα τῶν χαρίτων, τοῦ νενικηκότος δηλονότι, φῶς ὄντα χρονιώτατον, τουτέστιν ἐπὶ πλεῖστον χρόνον διαμένον, ἀρετῶν μεγάλων τὴν δύναμιν. ἕνεκα (18) γὰρ τῶν ἁρμάτων τοῦ Ψαύμιδος ἥκει, ἐφ' ὧν δηλονότι πολλὴ ἐδείχθη ἰσχύς. ὅστις, ἤγουν ὁ Ψαῦμις, στεφάνῳ ἀπὸ ἐλαίας Πισάτιδος, ἤγουν Ὀλυμπιακῆς, στεφανωθείς, τουτέστι νικήσας τὸν ἀγῶνα τῶν Ὀλυμπίων, δόξαν σπεύδει ὄρσαι, ἀντὶ τοῦ ἐπιθεῖναι, τῇ Καμαρίνᾳ τῇ ἑαυτοῦ πατρίδι.

gl. 21. εὐμενὴς καὶ ἐπήκοος. — 22. * ταῖς εἰς τὸ ἑξῆς· — † ἤγουν εἰς τὸ ἑξῆς. — * † αὐτοῦ. — αὐτὸν τὸν Ψαῦμιν. — 23. ἐπαινῶ· — ** ἐπεὶ ἐπαινῶ αὐτὸν ὡς μάλα μέν, καὶ τὰ ἑξῆς· οὐδὲ γὰρ καλὸν λέγειν τὸ αἰνῶ ἀντὶ τοῦ οἶδα· — † ἀντὶ τοῦ οἶδα. — λίαν. — 24. πρόχειρον. — 25. ξένων πάντων ὑποδοχαῖς.

26. Germ. Ἡ σύνταξις αὕτη· καὶ φιλόπολιν τετραμμένον καὶ βλέποντα πρὸς ἡσυχίαν καὶ εἰρήνην ἐν καθαρᾷ γνώμῃ.

---

3 σύνταξις φ' in marg., z μ' Boeckh in textu. — Lemma ἀλλ' ὦ κρόνου (κρόνιε [z] edd.) παῖ est in codd. mixtis et edd. — 4 ἔτνην a, αἴτναν z. — ἐπὶ πολὺ Vrat. μ' ξ' φ', ἐπιπολὺ cett. — 5 καταπνεομένου q. — τυφῶντος ξ'. — 6 τοῦτο τὸν i'. — 7 τοὺς ἐπὶ q. — τῇ ξ'. — ὀλυμπιονίκει q. — 8. 9 ἐπιπλ. Vrat. — 9 διάμενον] δυνάμενον ξ'. — 10 ἐφ' ὧν δηλ. bis est in z. — 11 ψαύμις a. — 12 ὀλυμπικῆς a, ὀλυμπιονίκης z μ' ξ', ὀλυμπιονικῆς Vrat. φ'. — 13 ὦρσαι z. — 14 ἐπιθῆναι z ξ'. — 22 πρὸ U.

Th. Τὸ ἡσυχίαν καὶ τὸ φιλόπολιν λέγει ἀντὶ τοῦ φιλοῦντα τὴν ἑαυτοῦ πόλιν καὶ οὐ στάσεσι χαίροντα. τινὲς γὰρ ἐν τῷ δοκεῖν φιλοπόλιδες εἶναι τοὺς συμπολιτευομένους αὐτοῖς ἐξελαύνουσιν, ἵνα μόνοι τὴν πόλιν οἰκοῖεν· οὗτος δὲ πρὸς τὸ φιλόπολις εἶναι καὶ ἡσυχίᾳ σύνεστι. μὴ λάβῃς δὲ πρὸς τὸ φιλόπολιν ἔξωθεν τὸ ὄντα, ὥς τινές φασιν, ἀλλ' οὕτω λέγε· καὶ τετραμμένον ἐν καθαρᾷ καὶ ἀνυποκρίτῳ γνώμῃ πρὸς ἡσυχίαν φιλόπολιν. τὸ δὲ καθαρᾷ εἶπεν, ἐπειδή τινες ἐν ὑποκρίσει καὶ οὐκ ἐν ἀληθείᾳ ἡσυχάζουσιν.

gl. 27. ἀνυποκρίτῳ. — ὡρμημένον. — 28. μαλάξω. — 29. ὃν περὶ αὐτοῦ εἴπω. — δοκιμή.

28—29. *Germ.* Οὐχὶ τέγξω καὶ βρέξω τὸν λόγον μου ἐν ψεύδει. ἢ οὐχὶ τέγξω καὶ ἀσθενοποιήσω τὸν λόγον μου ἐν ψεύδει, ἀπὸ μεταφορᾶς τῶν ἀρτιγεννῶν· ἐκεῖνα γὰρ διὰ τὸ ὑπερβάλλον τῆς ὑγρότητος ἀσθενῆ εἰσιν.

Th. Εἰκότως εἶπε τὸ τέγξω, ἤγουν οὐ φαύλων ὄντων τῶν περὶ αὐτοῦ πραγμάτων εἶτ' αὐτὸς λέγειν ἐπιχειρήσας περὶ αὐτῶν οὔτ' ἀληθῆ εἴπω ἀλλὰ ψεύδει χρήσομαι καὶ διὰ τοῦτο τὸ σκληρὸν τῆς φαυλότητος μαλθάξω καὶ μετενέγκω πρὸς τοὐναντίον.

gl. 30. ὑπάρχει. — * * σαφὴς ἀπόδειξις.

---

1 Hoc scholium, quod deest in Vrat., Bœckh primus edidit e cod. Mosc. *B.* — Φιλόπολιν est lemma in ed. — 2 στάσει ed. — 3. 4 ἐλελαύνουσιν *Γ*, ἐλαύνωσιν *z*. — 4 πρὸς τῷ φ. *Γ*'. — 5. 6 φιλόπολις *Γ*. — 6 τὸ ἔξ. τὸ ξ'. — 6. 7 καὶ τὸ τετρ. ξ'. — 7 ἐν om. [φ'] ed. — γνώμῃ μ' φ' ed. — 8 καθαρὰν ξ'. — 12 Delevi lemma ἢ οὕτως. — 14 ἀρτιγενῶν Mommsen edidit, fort. recte. — 16 Hoc scholium, quod deest in Vrat., Bœckh primus edidit e cod. Mosc. *B.* — τῶν om. ed. — 17 αὐτῶν ξ'. — 18 ἀλλ' ἀψευδία *z*. — τούτου *Δ*. — τὸ om. ξ'. — 18. 19. τ. τῶν σκληρῶν *Γ*. — 19. 20 τὸ ἐναντίον *z*.

31. *Th.* Κλυμένου παῖς Ἐργῖνος εἰς ἦν τῶν Ἀργοναυτῶν. ὅτε οὖν εἰς Κόλχους διὰ τὸ χρυσόμαλλον δέρας ἡ Ἀργὼ ἐπέπλεεν, ἐξῆλθεν ἐν παρόδῳ οὗτος ὁ Ἐργῖνος μετὰ τῶν ἄλλων Ἀργοναυτῶν ἐν τῇ Λήμνῳ. Ὑψιπυλείας δὲ τῆς θυγατρὸς Θόαντος βασιλέως Λημνίων ἐπιτάφιον ἀγῶνα τοῦ πατρὸς προθείσης Θόαντος Ἐργῖνος οὖν, νέος μὲν ὢν τῇ ἡλικίᾳ, προπόλιος δέ, παρῆλθεν ἀγωνισόμενος καὶ ἐγελᾶτο ὑπὸ τῶν Λημνιάδων γυναικῶν διὰ τὰς πολιάς. κάλλιστα οὖν τὸν ἀγῶνα διενεγκὼν καὶ τοὺς συνάθλους νικήσας Βορεάδας Ζῆθον καὶ Κάλαϊν εἰς ὑπερβολὴν ἐθαυμάσθη.

gl. 31. ἡ πεῖρα. — τὸν Ἐργῖνον. – 32. τῶν ἐν τῇ Λήμνῳ. — 33. ἣν αὐτὸν ἠτίμαζον ὡς γηραιὸν καὶ παρ' ὥραν εἰς τοὺς ἄθλους ἐλθόντα. — 34. ὅπλοις· ἔνοπλος γὰρ ἔθεεν.

35. *M.* Ὑψιπύλεια] ἡ Ὑψιπύλη, ὡς Πηνελόπεια παρ' Ὁμήρῳ ἡ Πηνελόπη.

gl. 35. * * εἶπεν. — τῇ θυγατρὶ Θόαντος. — 36. εἰς. — ἐλθὼν πρὸς αὐτόν. — 37. τοιοῦτος. — ποδῶν ὠκύτητι.

38. *M.* Χεῖρες δὲ καὶ ἦτορ ἴσον] τὸ τοιοῦτο καὶ παρὰ

---

1 Lemma *ἱστορία περὶ τοῦ Κλυμένου ι'' μ'* in marg., *ε φ'* et Boeckh, qui primus hoc scholium e cod. Mosc. *B* et Ciz. edidit, in textu. Deest hoc scholium in Vrat. — Ὁ *Κλ Λ ι''*. — Ἐργῖνος om. *ξ*. — 2 *κόλχιν ε*. — *χρυσόμαλον ΓΛ ε μ' φ'*. — *ἀργὼ μ'*. — 2. 3 *ἔπλεεν Γ*, *ἐπέπλεεν Λ*, *ἐπέπλει* cett. — 5 *βασιλέως* supra lineam est in *ι''*, qui om. *Λημνίων*. — 5. 6 *προύθηκε ΓΛ*, *προθήση ξ*. — 6 Punctum post *Θόαντος* est in *ΓΛ*, ex quibus *οὖν* addidi. — *μὲν νέος ὢν ι''*. — *μὲν*] *τὲ Γ*. — 7 *ἀγωνισάμενος ε*. — *καὶ ἐγελᾶτο* om. *Γ*. — *λιμνίδων ξ*. — 8 *κάλιστα μ' ξ'*, *καλῶς* ed. — *γοῦν Γ*, *δὲ ι''*. — *μετενεγκὼν ξ*. — 9 *ζῆνον ε μ' ξ*. — 14 Scholia Moschopulea ad v. 35 et 38, quæ desunt in Vrat., in codd. post paraphrasin versuum 21—42 leguntur. — *πηνελοπία ξ'*. — 18 *ἦτορ ξ*. — *ἶσον q ε μ'*.

τοῖς κοινοῖς δύναται εἶναι ἐν χρήσει· οἷον, σὺ καὶ ὁ πατὴρ ὁ σὸς ὅμοιος. ἔχει δὲ ὁμοίως τῷ· Δαμοίτας καὶ Δάφνις ὁ βουκόλος (Theocr. VI, 1), πλὴν ὅτι ἐκεῖ μὲν τὸ βουκόλος ἀπὸ κοινοῦ λεγόμενον ἀρκοῦν ἦν ἐντελῆ ποιῆσαι τὸν λόγον, ἐνταῦθα δὲ λέγεται μὲν ἀναγκαίως τὸ ἴσον ἀπὸ κοινοῦ κατὰ ἀναλογίαν τοῦ προῤῥηθέντος, μένει δὲ ἔτι ἀτελὴς ὁ λόγος. τὸ γὰρ ἴσον ἀεὶ πρὸς ἕτερον λεγόμενον ἀπαιτεῖ τὴν ἑαυτοῦ σχέσιν καὶ ἐλλιπῶς ἔχει ἕως ἂν ᾖ μόνον· ἀποδεδομένης δὲ αὐτῆς ἐντελὴς ὁ λόγος γίνεται ἔχων οὕτως· αἱ χεῖρες δὲ ἴσαι τῇ προθυμίᾳ καὶ ἡ προθυμία ἴση ταῖς χερσίν. ἐξ ἀνάγκης γὰρ ἡ ἰσότης ἑκατέρων περὶ ἑκάτερα αὐτὰ ταῦτα χωρεῖ μὴ κειμένου ἑτέρου, ἐφ' ὃ ἂν αὐτῆς ἡ ἀπόδοσις γένοιτο.

gl. 38. ψυχῇ. — ἤγουν καὶ προθυμίᾳ καὶ ἰσχύι ὅμοιός εἰμι. — 40. λευκαὶ τρίχες. — 41. συνεχῶς καὶ πολλάκις καὶ οὐχ ἅπαξ. — ἐκτὸς τοῦ. — 42. ἁρμόδιον.

21—42. M. Ὁ θεὸς εἴθε εὐμενὴς εἴη ταῖς εὐχαῖς αὐτοῦ ταῖς ἐπὶ τοῖς ἔμπροσθεν. ἐπεὶ ἐπαινῶ αὐτόν, ἀντὶ τοῦ οἶδα,

---

1. 2 καὶ ὁ σὸς πατὴρ ὅμ. [q] edd. — 2 τῷ] τὸ ξ' et edd. ante Beckium. — δαμήτας edd. ante Beckium. — δάφνης q z ξ'. — βωκόλος Bœckh ex Ciz., idem habent codd. mixti. — 3 πλὴν om. ξ', in quo ὅτι ἐκεῖ μὲν τὸ βωκόλος a miniatore in marg. addita sunt. — τὸ βωκόλος z μ' ξ' φ'. — 5 ἴσον q z μ'. — κατ' ἀναλ. a ι''. — 6 προσρηθέντος codd. — ἴσον q z et μ' ante corr. — ᾐεί ι'', ἂν a. — 7 πρὸς τὸ ἕτ. ξ', πρ. ἑκάτερον a. — ἐλιπῶς ξ', ἐλλειπῶς edd. — 8 ἕως ἂν] ἐὰν z μ' ξ'. — 9 γράφεται edd. — οὗτος ξ'. — ἴσαι q μ'. — 9. 10 καὶ ἡ προθυμία omm. [q?] edd. — 10 ἴσῃ edd. inde a Beckio. — ἐξαν. a q ξ' et edd. ante Beckium. — 10. 11 περὶ ἑκάτερα om. a. — 11 ἑταίρου q. — 12 ἀπόδωσις ξ'. — 16 σύνταξις μ' φ' in marg., z Bœckh in textu. — Lemma θεὸς εὔφρων εἴη omisi cum a q; in ι'' scholium sic incipit: θεὸς εὔφρων ἤγουν εὐμενὴς εἴη ταῖς etc. — εἴθε om. ξ'. — 17 ἐπὶ τὸ ἔμπρ. ι''. — αὐτὴν a.

μάλα μὲν ἕτοιμον (24), τουτέστι πρόθυμον πρὸς τρυφὰς ἵππων, χαίροντά τε, ἤγουν προσκείμενον ξενοδοχίαις πανδόκοις, ἤγουν πάντας ὑποδεχομέναις, οὐδένα ἀποστρεφομέναις, καὶ πρὸς ἡσυχίαν προφιλῆ τῶν πόλεων (26) ἀποβλέποντα σὺν ἀδόλῳ γνώμῃ. οὐ διὰ ψεύδους μολυνῶ τὸν λόγον, τουτέστιν οὐκ ἀποκρύψομαι τὴν ἀλήθειαν. ἡ πεῖρά ἐστιν ἡ φανεροῦσα τοὺς ἀνθρώπους, ὑφ᾽ ἧς καὶ οὗτος δηλονότι δειχθήσεται, ἥτις (31) ἔλυσεν ἐκ τοῦ γέλωτος τῶν γυναικῶν τῶν ἐν τῇ Λήμνῳ τὸν παῖδα τοῦ Κλυμένου τὸν Ἐργῖνον. ἐν ὅπλοις γὰρ χαλκοῖς, ἤγουν σιδηροῖς, νικῶν δρόμον εἶπε τῇ Ὑψιπύλῃ ἐπὶ τὸν στέφανον ἐρχόμενος· οὗτος (37) ἐγώ· ἐκεῖνος δηλονότι, ὃν ἀπηξιοῦτε. αἱ χεῖρες δὲ καὶ τὸ ἦτορ, ἀντὶ τοῦ αἱ πράξεις καὶ ἡ προθυμία, ἐν ἴσῃ ἀκμῇ κατὰ ταχυτῆτα· φύονται δὲ καὶ ἐν ἀνδράσι νέοις λευκαὶ τρίχες θαμά (41), ἀντὶ τοῦ πολλάκις, καὶ ἔξω τοῦ χρόνου τῆς ἡλικίας τοῦ πρέποντος ταῖς πολιαῖς δηλονότι.

1 ἕτοιμον] πρόθυμον Vrat. ε ι' μ' ξ' φ'. — πρ. τὰς τρ. ι' ξ'. — τῶν ἵππων ξ'. — 3 οὐδὲ ἀπὸ στρεφ. q. — 4 ἀδήλῳ q. — 5 διὰ ψεύδος α. — 7 ὅστις ξ'. — 8 ἕλκυσεν μ'. — τῇ λίμνῃ ξ'. — 9 κλυμίου ε. — 11 ἀνερχόμενος α. — Reliqua inde ab εἶπε τῇ om. Vrat. — ἀποξιοῦτε α. — 12 Ante αἱ lemma χεῖρες δὲ καὶ ἦτορ ἴσον add. et edd. — ἦτορ ξ', ἧττον ε. — ἴσον ante ἀντὶ τοῦ add. ε μ' ξ' φ'. — 13 ἀκμῇ (ἀκμὴ ξ') καὶ ταχυτῆτι ε ι' ξ' φ'. — καὶ ἐνδράσι q. — 14 θαμαὶ φ'.

Ἐπίνικοι Ὀλυμπιονίκαις.

Ψαύμιδι Καμαριναίῳ ἀπήνῃ. Ὠιδὴ ε'.

[Δημητρίου Τρικλινίου]

περὶ τῶν κώλων τῶν στροφῶν καὶ ἀντιστροφῶν τοῦ ε' εἴδους. ἔστι δὲ τὸ ᾆσμα στροφῶν γ'.

Τὸ ε' εἶδος οὐκ ἐπῳδικὸν εἶναί φασιν, ἀλλ' ἁπλαῖ περίοδοι γ' ἑαυταῖς συμφωνοῦσαι, καὶ ιθ' κώλων ἑκάστην περίοδον λέγουσιν. οὐκ ἔστι δὲ τοιοῦτον, ἀλλ' ἐπῳδικόν ἐστι καὶ τοῦτο, ὡς τῷ σοφωτάτῳ Μοσχοπούλῳ ἐπενοήθη, τὸ ᾆσμα, καὶ γ' στροφῶν, ὡς ὁρᾷς. εἰσὶ γοῦν αἱ στροφαὶ καὶ ἀντιστροφαὶ ἑκάστη κώλων ζ'. Τὸ α' δακτυλικὸν τρίμετρον καταληκτικὸν εἰς δισυλλαβίαν. Τὸ β' Ἰωνικὸν ἀπ' ἐλάσσονος, τῆς α' συζυγίας παίωνα γ' ἐπιδεξαμένης, ὅπερ γίνεται ἐπὶ τοῦ Ἰωνικοῦ· τῆς δὲ β' Ἰωνικὸν ἀπὸ μείζονος. Τὸ γ' ἰθυφαλλικὸν παρὰ μίαν συλλαβήν· ἐμοὶ δὲ δοκεῖ ἀντισπαστικὸν εἶναι πενθημιμερὲς ἐξ ἐπιτρίτου δ' καὶ συλλαβῆς. Τὸ δ' δακτυλικὸν πενθημιμερές. Τὸ ε' ἰθυφαλλικόν. γ' γάρ εἰσι τροχαῖοι, καὶ ἔστι δίμετρον βραχυκατάληκτον, ὃ καὶ ἡμιόλιον λέγεται. Τὸ ϛ' ἀναπαιστικὸν λογαοιδικὸν καλούμενον καὶ Ἀρχεβούλειον. σύγκειται δὲ ἐκ β' ἀναπαίστων καὶ β' βακ-

---

Scholium metricum Triclinianum, quod ex meis codicibus *ε ι'' μ' ξ'* habent, Bœckh primus edidit e cod. Mosc. *B*. — **4** *στροφῶ καὶ ἀντιστροφῶ ξ'*. — **5** *ἔστι — τριῶν* omm. *ε ξ'*. — *τὸ ᾆσμα* om. *ι''*. — **6** *ἁπλαὶ ξ', ἁπλῶς ε*. — **9** *ἐπενθήθη* ξ'. — **10** *ἑκάστη* om. *ι''*. — **11** *δισύλλαβον* ed., *δυσιλλα ... μ'*, *δυσιλλαβίαν ε*, *β υ ᾳ δισυλλαβίαν ι''*. — **12** *π. τρίτα ι''*. — **13** *ἐπιδεξάμενος μ'*. — **14** *ἰθυφαλικὸν* hic et infra codd. — **15. 16** *ἐπ. τετάρτης* (om. *καὶ*) *συλλαβῆς ι''*. — **19** *σ. δὲ καὶ ἐκ ξ'*.

χείων, τοῦ β' καταληκτικοῦ· πάσχει δὲ τοῦτο τὰ τοιαῦτα ἀναπαιστικά· πλὴν οὐ καλῶς ἔχει κείμενον τὸν βακχεῖον. τὸν τελευταῖον γὰρ πόδα τοῦ κώλου χρὴ βακχεῖον, ὥς φασιν, εἶναι. Τὸ ζ' ἰθυφαλλικόν· γ' γάρ εἰσι τροχαῖοι. εἰ δέ που καὶ σπονδεῖος ἐν τῷ τέλει εὕρηται, οὐκ ἔξω λόγου. ὅ τε γὰρ ποὺς οἰκεῖος τῷ μέτρῳ, καὶ τὴν τελευταίαν φασὶν ἀδιάφορον εἶναι τῶν κώλων. ἑξῆς ἐφ' ἑκάστῃ στροφῇ καὶ ἀντιστροφῇ παράγραφος.

Περὶ τῶν κώλων τῶν ἐπῳδῶν.

Αἱ ἐπωδοὶ κώλων ε'. Τὸ α' δίμοιρον ἔπους, ἤτοι δακτυλικὸν τετράμετρον ἀκατάληκτον. δ' γάρ εἰσι δάκτυλοι· τὰ δ' δὲ δῆλον ὡς τῶν ς' δίμοιρον. Τὸ β' ἰθυφαλλικόν, ἤτοι γ' τροχαῖοι. Τὸ γ' ὅμοιον τῷ α', ἤτοι δίμοιρον ἔπους. Τὸ δ' χοριαμβικόν, ὡς ἐμοὶ δοκεῖ, τρίμετρον βραχυκατάληκτον, οὐκ ἐγκωμιολογικόν, ὥς φασιν· οὐ γάρ ἐστι διπενθημιμερές· ἐλλιπὲς γάρ ἐστι μιᾷ συλλαβῇ τὸ ἰαμβικόν. ἐπεὶ δὲ πολλὰ τῶν τοιούτων ἐλλιπῆ εὑρίσκεται πρὸς τοὺς παρὰ τοῦ τεχνικοῦ παραδεδομένους κανόνας, ἔστω καὶ τοῦτο ἐγκωμιολογικόν. Τὸ ε' ἰθυφαλλικόν, γ' δηλονότι τροχαῖοι. ἐπὶ τῷ τέλει τὰ συνήθη σημεῖα.

Th. Γέπραπται ὁ ἐπινίκιος τῷ αὐτῷ Ψαύμει νικήσαντι κέλητι, ἀπήνῃ, τετρώρῳ τὴν πβ' Ὀλυμπιάδα. ἐπεὶ δὲ οὗτος ὁ

---

2 βραχείων ι'', — 2. 3 πλὴν — εἶναι om. s. — 3 τὸ βακχ. ι''. — εἶναι, ὥς φασιν ι''. — 7 στροφὴ κ. ἀντιστροφὴ μ', στροφῶν κ. ἀντιστροφῶν ι'' ξ'. — 9 αἱ ἐπωδοὶ ι'', ἑκάστη ἐπῳδὸς cett. — ἤγουν ι''. — 11 ἤγουν ι'', om. ξ'. — 11. 12 τρεῖς δηλονότι τροχ. ξ'. — 12 ἤγουν ι''. — 12. 13 χορ. — οὐκ om. ξ'. — 14 πενθημιμερὲς ι'' ξ'. — 18 ἐπὶ — σημεῖα ex ι'' ξ' addidi. — 19 σχόλια τῶν αὐτῶν est inscriptio in Vrat. μ' ξ'. — Γέγρ. ὁ ἐπιν. om. ξ', in quo verba τῷ — νικήσαντι add. miniator in marg. — Ψαύμιϊ ΓΔ, Ψαύμιδι cett. — 20 κέλλητι codd. omnes. — ἀπ.] καὶ τετρώῳ (τετρέρω Vrat.) codd. mixti et edd., nisi quod om. ξ'. — οὗτος] ονητος (sic) Vrat.

Ψαῦμις ἐκ Σικελίας, ἐν ταύτῃ δὲ πόλις Καμαρίνα καὶ λίμνη, διὰ τοῦτο πρὸς τὴν ἔφορον τῆς λίμνης νύμφην Καμαρίναν ποιεῖται τὸν λόγον, ἥντινα νύμφην παῖδα Ὠκεανοῦ καλεῖ διὰ τὸ πάντας ποταμοὺς καὶ πάσας πηγὰς ἐντεῦθεν τὴν ἀρχὴν ἐσχηκέναι. τὸ δὲ ἄωτον *καὶ εἰς τὸ* ἀρετῶν *καὶ εἰς τὸ* στεφάνων *καὶ εἰς τὸ* ἀπήνης *λέγε. ἔστι δὲ τὸ ἄωτον καὶ τὸ δᾶρα ταὐτόν.*

gl. 1. ** *τὸ προοίμιον εὐκτικόν.* — ** *μεγάλων.* — *τῶν τοῦ Ψαύμιος.* — 2. * *καρπόν· καρπὸς γὰρ τῶν ἀρετῶν καὶ τῶν στεφάνων ὁ ὕμνος, ὃς τοῖς δεχομένοις αὐτὸν γλυκύς ἐστιν.* — 3. ** *ἐν.*

4. M. *Ὠκεανοῦ θύγατερ] τὴν Καμαρίναν λέγει τὴν λίμνην, ἀφ' ἧς ἡ πόλις ἡ Καμαρίνα ὠνομάσθη, ἡ πατρὶς τοῦ Ψαύμιδος.*

gl. 4. *Καμαρίνα νύμφη.* — 5. *ἐν.* — *χαριεστάτῃ.* — 6. *τοῦ ταχυτάτου δίφρου.* — ** *τοῦ ἐξ ἡμιόνων ἅρματος.* — * † *δέχου.* — 7. *τὸν ὕμνον, ὃς διὰ τὴν νίκην αὐτῷ δεδώρηται ἐξ ἐμοῦ.*

1—7. *Germ. Τὸ ἑξῆς τῆς συντάξεως· ὦ θύγατερ Ὠκεανοῦ Καμαρίνα, τὸν γλυκὺν ἄωτον καὶ ὕμνον τῶν ὑψηλῶν ἀρετῶν καὶ τῶν στεφάνων τῶν ἐν Ὀλυμπίᾳ τῆς ἀπήνης τε τῆς ἀκαμαντόποδος τά δῶρά τε τοῦ Ψαύμιος δέχευ καὶ δέχου καὶ δέξαι ἐν καρ-*

---

1 *ἦν* post *Σικ.* add. ξ'. — *ἐν τ.*] *ἐνταῦθα* edd. — *δέ* om. z. — *Καμάρινα* Bœckh ubique edidit *προπαροξυτόνως*. — 1. 2 *διατοῦτο* i' φ'. — 2 *εἴφορον* ξ'. — 5 *ἀρετᾶν* edd. inde a Beckio. — 6 *ἀπήνην* ξ'. — Post *ταὐτὸν* (*ταυτὸν* ΓΔ, alii) in codd. mixtis et edd. *ἄωτον δέ, ἤτοι* (*ἤγουν* i') *καρπόν* (*καρπῶ* z)· *καρπὸς γάρ* — *δεχομένοις αὐτὸν* (*αὐτῶν* ξ') *γλυκύς ἐστιν* sequitur, quæ glossa Thomana est ad v. 2 edita. — 11 *σύνταξις* μ' in marg., φ' et Bœckh in textu. — Lemma, cui in edd. ante Beckium *ἄλλως* præfigitur, omm. codd. mixti. — *Ὠκεανοῦ θυγατέρα* ante *τὴν Καμ.* additum est in codd. mixtis et edd. — 17 Delevi *δέ* post *τό*. — 19 *τὲ* U. — 20 *δῶρα τὲ* U. — 20—2 Melius *ἐν καρδίᾳ γελανεῖ καὶ γαληνίῳ καὶ λαμπρᾷ καὶ φαιδρᾷ, τουτέστιν ἐν φαιδρῷ προσώπῳ* scripsisset.

δίᾳ τουτέστιν ἐν φαιδρῷ προσώπῳ καὶ λαμπρᾷ καὶ φαιδρᾷ, γελανεῖ καὶ γαληνίῳ.

M. *Ὦ θύγατερ τοῦ Ὠκεανοῦ Καμαρίνα, δέχου σὺν καρδίᾳ γελανεῖ, ἤγουν εἰρηναίᾳ, φαιδρᾷ, τῶν ὑψηλᾶν ἀρετᾶν καὶ τῶν στεφάνων τῶν ἐν Ὀλυμπίᾳ καὶ τοῦ ἐξ ἡμιόνων ἅρματος τοῦ μὴ κάμνοντος τοὺς πόδας ἐν τοῖς δρόμοις τὸν ἄωτον, ἤγουν τὸν ἐξαίρετον κόσμον, τουτέστι τὸν ὕμνον τὸν γλυκὺν καὶ τὰ δῶρα τοῦ Ψαύμιδος, τουτέστι καὶ τὸ δῶρον, ὅ σοι δωρεῖται ὁ Ψαῦμις. ἄωτον δὲ λέγει τὸν ὕμνον, ὃν δῶρόν φησι τοῦ Ψαύμιδος πρὸς αὐτήν, ἐπεὶ τῆς πατρίδος αὐτοῦ ἐστιν αὐτὴ καὶ συναπολαύει τοῦ εἰς αὐτὸν ἐπαίνου.*

8. *Germ.* *Ὃς τὰν σὰν πόλιν αὔξων] πρὸς τὴν ἡρωίδα, ἀφ' ἧς ἡ πόλις· ἀπὸ γὰρ τῆς κρήνης καὶ ἡ πόλις. τὴν σὴν οὖν, τὴν ἀπὸ σοῦ προσαγορευομένην καὶ χρηματίζουσαν, ὦ Καμαρίνα.*

gl. 8. ** *Ψαῦμις. — δοξάζων καὶ ὑψῶν.* — 9. *ἐν ᾗ ἄνθρωποι τρέφονται.* — 10. *ἐν ἑνὶ γὰρ ἑκάστῳ δύο θεοὶ ἐτιμῶντο.* — 11. *† *ἐτίμησεν. — ἤτοι τῇ Ὀλυμπίᾳ.* — 12. *τῶν δώδεκα, ὧν εἰσιν οἱ βωμοί.*

13. M. *Πεμπταμέροις] ποιητικὸν τοὔνομα διά τε τὸ ἀμετάβλητα ἔχειν τὰ ψιλὰ δασέος ἐπαγομένου· ὁ τρόπος δὲ*

---

3 *τοῦ* om. *ι'*. — 4 *φαιδρὰ ξ'*. — *τῶν* ante *στεφ.* omm. *α ι'*. — 6 *τὸν* post *ἤγουν* om. *φ'*. — 7 *κόσμον] δρόμον ξ'*. — 8 *ψαύμιος aq.* — *ὁ* om. Vrat. — 9 *ἄωτον* Beck pro *αὐτόν*. — *φασί z.* — *τοῦ* om. *ι'*. — 10 *τῆς* om. *ι'*. — *αὐτοῦ* om. Vrat. in spatio. — *αὕτη ξ'*, *αὐτῇ q.* — *συναπολάβῃ z.* — 12 Delevi *ἢ οὕτως* ante lemma. — 13 *κρήτης U.* — 20 *τὸ δὲ πεμπτ.* edd., in quibus hoc scholium Calliergi scholio infra p. 186, 9 a nobis edito, quod præfixo lemmata *ἄλλως* post paraphrasin Moschopuleam versum 8—16 legitur, subnexum est. — Totum scholium om. *z.* — *πεμπτημέροις ξ'*. — *ποιητόν φ'*. — *τοὔνομα (τὸ ὄνομα* Vrat.) omm. edd. ante Bœckhium. — *τε* omm. [*a* ?] edd. — 21 *ἀμετάβλητον ξ'*.

οὗτος τῶν Ἰώνων ἐστί· διά τε τὸ ἀπὸ τοῦ πέμπτου συγκεῖσθαι ἄλλως ὑπὸ τῶν κοινῶν τῶν τοιούτων συντιθεμένων. οὗτοι γὰρ πενθήμερον λέγουσιν ἀπὸ τοῦ πεντάς, καὶ τριήμερον ἀπὸ τοῦ τριάς, καὶ ἑπταήμερον ἀπὸ τοῦ ἑπτάς. ὅτι δὲ ἀπὸ τοῦ τριὰς καὶ πεντὰς καὶ ἑπτὰς ταῦτα, ἀλλ' οὐκ ἀπὸ τοῦ τρία καὶ πέντε καὶ ἑπτά, δῆλον ἀπὸ τοῦ τετραημέρου καὶ ἑξαημέρου καὶ ὀκταημέρου, ἐφ' οἷς ἡ συνθήκη ἐξ ἀνάγκης ἀπὸ τοῦ τετρὰς καὶ ἑξὰς καὶ ὀκτὰς δείκνυται.

Call. Ἄλλως. Ἐπειδὴ ἐπὶ πέντε ἡμέρας ἐγένετο τὰ Ὀλύμπια, ἀπὸ ιαʹ μέχρι ιςʹ, ἡνίκα γοῦν ἐτελεῖτο τὰ ἆθλα τῶν πενθημέρων ἀγώνων, ἐγέραιρε τοὺς βωμοὺς νικήσας.

gl. 13. μεγάλαις θυσίαις ἢ ταῖς ἐκ βοῶν. — ἀγώνων. — 14. πέντε γὰρ ἡμέρας τὰ Ὀλύμπια ἐγίνετο. — ἀγωνίσμασιν.

15. *M.* Ἄμπυξ κυρίως κόσμος τις χρυσῷ καὶ λίθοις πεποικιλμένος, ὃν περὶ τὰς κεφαλὰς αἱ γυναῖκες φοροῦσιν, ἀφ' οὗ κατὰ μεταφορὰν καὶ οἱ διάχρυσοι χαλινοὶ ἄμπυκες λέγονται.

gl. 15. ἤτοι ἐν τετρ ὀρῳ. — ἤτοι ἐν ἀπήνῃ. — ἤτοι μονοχαλίνῳ κέλητι· ἄμπυξ γὰρ ὁ χαλινός.

8—15. *Th.* Ὅστις Ψαῦμις ἐν ταῖς μεγίσταις ἑορταῖς τῶν θεῶν καὶ ἐν ταῖς τῶν ἄθλων ἁμίλλαις ταῖς πεμπταμέροις, ἤγουν τοῖς διὰ πέντε ἡμερῶν γινομένοις Ὀλυμπίοις, αὔξων καὶ δοξά-

---

1 ἰωνῶν ξ. — τε omm. edd. — πέπτον a. — 2 ἄλλως] ἀλλ' οἰχ edd. — 3 πενθημίμερον Vrat. μ' ξ φ'. — τοῦ om. ι''. — πεντᾶς ξ'. — τριήμερος ξ'. — 4 τριᾶς ξ'. — ἑπτά a. — ὅτι] ἔστι μ' φ'. — 5 καὶ ἑπτὰς omm. Vrat. ι'' μ' φ'. — αὐτά φ'. — 7 ἐφ' ἧς ξ'. — ἑξαν. aq. — 9 Hoc scholium, de quo vide annotationem ad p. 185, 20, nullus meorum librorum habet. — 14 Hoc scholium deest in z. — 15 ὅνπερ τὰς ξ'. — φρονοῦσιν ξ'. — 19 Lemma Ὅς τὰν σάν (πόλιν αὔξων add. Vrat.) est in codd. mixtis et edd. — σύνταξις margo z. — ὅστις Ψ.] ὃς τὴν z. — ὅστις ὁ Ψ. edd. — 20 τῶν ἄλλων ἁμίλλαις ξ'. — πεμπτ. Δ ξ'. — ἤτοι Γ. — 21 πέντε] πάντων z. — γενομένης ξ', γενομένοις [Vrat.] edd. — δοξ.] σώζων Vrat.

ζων τὴν σὴν λαοτρόφον Καμαρίναν πόλιν, ὦ νύμφη, ἐν ἵπποις καὶ τετρώρῳ καὶ ἐν ἡμιόνοις καὶ ἀπήνῃ καὶ ἐν μοναμπυκίᾳ τε καὶ μονοχαλίνῳ κέλητι γέραρεν ὑπὸ βουθυσίαις τοὺς διδύμους καὶ τοὺς διπλοῦς ἓξ βωμοὺς τῶν δώδεκα θεῶν, Διὸς καὶ Ποσειδῶνος, Ἥρας καὶ Ἀθηνᾶς, Ἑρμοῦ καὶ Ἀπόλλωνος, Χαρίτων καὶ Διονύσου, Ἀρτέμιδος καὶ Ἀλφειοῦ, Κρόνου καὶ Ῥέας, ὧν δώδεκα μὲν ἀγάλματα Ἡρακλῆς, ὅτε τὸν Ὀλυμπιακὸν ἀγῶνα ἐτίθει, ἐποίησεν, ἓξ δὲ βωμούς, ἵνα ἐν ἑνὶ βωμῷ δύο θεοὶ τιμῶνται, εἰς οὓς ὁ νικήσας ἐν Ὀλυμπίᾳ θυσίας προσῆγε μετὰ τὴν νίκην, ὥσπερ χάριν ἀποδιδούς. τὸ δὲ μεγίσταις ἑορταῖς θεῶν (11), ἢ τῇ μεγίστῃ ἑορτῇ τοῦ Διὸς τῇ Ὀλυμπίᾳ νοητέον· οὐκ ἔστι γὰρ μείζων ταύτης οὐδεμία ἄλλη· ἢ διὰ τοὺς δώδεκα θεοὺς τοὺς ἐκεῖ ὄντας, ὡς εἴπομεν, τοῦτο λέγε· ἡ γὰρ τοῦ Διὸς πανήγυρις καὶ ἐκείνων ἦν, ἐπειδὴ καὶ πᾶσι τούτοις θυσία προσήγετο παρὰ τῶν νικώντων. ἤρχετο δὲ ἡ πανήγυρις κατὰ τὴν ἑνδεκάτην τοῦ μηνὸς μέχρι τῆς ἑκκαιδεκάτης, ἐν ᾗ τὰ ἆθλα ἐδίδοτο.

Μ. Ὅστις, ἤγουν ὁ Ψαῦμις, τὴν ἀπὸ σοῦ ὠνομασμένην

---

1 *λαότροφον* ξ'. — 2 *τετρώρη* Γ. — *καὶ* om. Vrat. — *καὶ ἡμ.* ε μ' φ'. — *ἢ ὄνοις* Vrat. — *καὶ* ante *ἀπ.* om. ι'. — *τε* ex ΓΔ addidi. — 3 *κέλλητι* codd. excepto μ'. — *ἐγέραρεν* Bœckh edidit, *γέρας ἐν* ξ'. — *βουθ. καὶ διδ.* ι'. — 4 *τὰς διπλαῦς* (α post λ ex corr.) Γ. — *διπλοὺς* ε. — *οἷον* post *θεῶν* add. [ξ'?] edd. — 5 *καὶ* post *Χαρ.* om. ι'. — 6 *ὧν*] *ὃν* Δ. — 7 *μ. τὰ ἀγ.* Γ. — 7. 8 *ἐτίθη. ἐποίησεν δὲ ἓξ β.* ξ'. — 8 *βωμῷ*] *ναῷ* ξ'. — 9 *οὓς* om. Γ. — 10 *μ. ἐν ἑορταῖς* Γ. — 12 *μεῖζον* Vrat. — *οὐδὲ μία* Γ Vrat. ι' μ' φ'. — 13 *λέγε* ΓΔ, *λέγει* cett. — 14. 15 *καὶ ἐκ.* — *πανήγ.* om. ξ'. — 15 *δεκάτην* edd. — 16 *μηνὸς καὶ ἐτελεῖτο μέχρι καὶ* (hoc *καὶ* om. ξ') *τῆς ἑκκαιδ.* (*ἑξκαιδ.* ι') codd. mixti et edd. — *ἄθλα* ε. — *ἐδίδοντο* Δ, *ἐδίδετο* μ' φ'. — 17 *σύνταξις* ι' μ' ξ' in marg., Bœckh in textu. — Lemma Ὅς *τὰν σὰν* est in codd. mixtis et edd.

πόλιν, ὦ Καμαρίνα, κατὰ μεταπλασμὸν ἀντὶ τοῦ τὴν Καμαρίναν, τὴν ἐπιτηδείαν εἰς τροφὴν λαῶν αὔξων, ἤγουν ὑψῶν, μεγαλύνων, τοὺς ἓξ βωμοὺς τοὺς ἐν τῇ Ἤλιδι, οὓς ὁ Ἡρακλῆς κατεσκεύασε, τοὺς διδύμους (10)· ἕκαστος γὰρ αὐτῶν δυσὶ θεοῖς ἦν ἀφιερωμένος· ἐτίμησε κατὰ τὰς ἑορτὰς τῶν θεῶν, ἤγουν κατὰ τὸν καιρὸν τῶν ἑορτῶν, διὰ βουθυσιῶν μεγίστων καὶ δι' ἀμιλλῶν (13) ἐπὶ πέντε ἡμέρας ἀμιλληθεισῶν, ἀγώνων· ἐπὶ τοσαύτας γὰρ ἡμέρας ἐτελεῖτο ὁ Ὀλυμπιακὸς ἀγών· ἵπποις, ἤγουν δὲ ἵππων γενομένων αὐτῷ τῶν ἀμιλλῶν, τουτέστι δι' ἅρματος ἱππικοῦ, καὶ δι' ἡμιόνων, ἤγουν καὶ δι' ἅρματος ἡμιόνων, καὶ διὰ μοναμπυκίας, τουτέστι καὶ δι' ἑνὸς χαλινοῦ, ἀντὶ τοῦ καὶ δι' ἑνὸς ἵππου τοῦ λεγομένου κέλητος.

gl. 16. ** καί. — σοί, ὦ νύμφη. — *† δόξαν τὴν ἐκ τῆς νίκης. — 17. πολύ, μέγα. — ἐν τῇ Ὀλυμπίᾳ. — ἤγουν σὲ τῆς νίκης αἰτίαν ἡγήσατο. — 18. τὸν ἴδιον. — οὕτω γὰρ ἐκαλεῖτο. — ἐδόξασε.

19. *Th.* Νέοικον ἕδραν λέγει τὴν Καμαρίναν, ἐπειδὴ ἐν

---

1 ὦ Καμάρινα (sic) Bœckh scripsit e coniectura, τὴν καμάρινα (hoc accentu) *a*, τὴν καμάριναν (hoc accentu) *q*. τὴν καμαρίναν cett. — κατὰ — Καμ. om. *z*. — πλεονασμὸν Vrat. μ' φ' et cod. Gotting., πλεονασμῷ ξ'. — 3 ὁ om. ξ'. — 3. 4 κατεσκεύαζε *q*. — 5 ἐτίμησαν ξ'. — 6 δι' ἅμιλλας (sic) *q*. — 7 πέντε] δῆτε Vrat. — ʼμ. καὶ ἀμιαληθεισᾶν ξ'. — 7. 8 ἐπὶ — ʼ ἀγὼν om. ι''. — 9 γενομ. *aq*, γινομ. cett. — αὐτῷ *aq* ξ' φ', αὐτῶν cett. — ἀμιλῶν *a*. — 10 καὶ ἡμ. ι''. — ἤγ. δι' ἅρμ. *q*. — ἤγουν] ἢ Vrat. — 11 καὶ post τουτέστι ex *aqi''* addidi. — 12 κέλλητος Vrat. ι'' μ' ξ' φ'. — In marg. inferiore *q* libri hæc leguntur a prima manu e scholio vet. excerpta: βωμοὺς ἕξ· ἡλιόδωρος φησὶ τὸν ἡρακλέα ἐν ὀλυμπίᾳ ἱδρύσασθαι δώδεκα θεῶν ἀγάλματα, σὺμ βωμοὺς (sic) δὲ αἰτοὺς ποιῆσαι ἓξ βωμοὺς κατασκευάσαντα, διὸς καὶ ποσειδᾶνος, καὶ ἥρας καὶ ἀθηνᾶς, ἑρμοῦ καὶ ἀπόλλωνος, χαρίτων καὶ διονύσου, ἀρτέμιδος καὶ ἀλφειοῦ, κρόνου καὶ ῥέας.

τῇ με΄ Ὀλυμπιάδι καταρχὰς κτισθεῖσα ἐν τῇ νζ΄ ὑπὸ Συρακουσίων ἐπικρατησάντων τοὺς αὐτὴν ἔχοντας κατέστραπτο· εἶτα ἐν τῇ πβ΄ Ὀλυμπιάδι, μεταξὺ τοῦ χρόνου, καθ᾽ ἣν Ψαῦμις ἐνίκησεν, ἀνεκτίσθη.

gl. 19. ἤγουν τὴν νεωστὶ οἰκισθεῖσαν Καμαρίναν. — 20. ** ἐλθών γράφε διὰ τὸ μέτρον καὶ μὴ ἱκών. — * ἐλθὼν ἐν τῇ Καμαρίνῃ. — ** εἰς τὴν Καμαρίναν. — ἐνταῦθα γὰρ οὗτος ἡμιλλᾶτο πρὸς τοὺς μνηστῆρας. — 21. * ἐνταῦθα γὰρ οὗτος Οἰνόμαον ἐνίκησε καὶ ὕστερον ἐτάφη. — ἀπό. — * καὶ ἐνταῦθα γὰρ ἐπιθυμοῦσι πάντες νικῆσαι, διὸ καὶ πᾶσι καλὴν ἐπιθυμίαν ἐμβάλλουσιν. — 22. τῶν ἐν τῇ Ὀλυμπίᾳ τόπων. — ἡ τὴν πόλιν Καμαρίναν φυλάσσουσα διὰ τὸ ἐν ταύτῃ τὸν ναὸν ἱδρῦσθαι. — 23. ** Ἀθηνᾶ. — κοσμεῖ διὰ τοῦ εἰς αὐτὸν ὕμνου, ἐπειδὴ ὁ αὐτοῦ ὕμνος καὶ τῆς πόλεως ὕμνος. — 24. τὸν σὸν ναόν, ἤτοι τὴν ἀφιερωμένην σοι πόλιν. — 25. *† τὸ σόν. — ἐν Σικελίᾳ ὄντα. — ** Ὤαννον] διὰ τὸ μέτρον. — 26. τὴν ἐνταῦθα οὖσαν Καμαρίναν. — 27. τιμίους. — ῥεύματα. — * ποταμός· — † ποταμὸς τῆς λίμνης τῆς Καμαρίνης. — 28. πιαίνει καὶ ὠφελεῖ. — ἤτοι τοὺς μαχιμωτάτους Καμαριναίους. — 29. ἐπιφέρει, προστίθησιν. — ἑδραίων. — 30. * οἴκων. — 31. ἤγουν ἀπὸ γῆς εἰς ὕψος. — ἤτοι ξύλα.

---

1 με΄ om. ξ΄. — κατ᾽ ἀρχάς z. — συῤῥακ. ΓΑ. — 2 κατέστραπτε ξ΄. — 3 καθ᾽ ἣν ΓΑ, καθ᾽ ὃν cett. — 4 ἀνακτήσθει ξ΄. — 5 Ad v. 19 glossa ἐκήρυξεν ἀπὸ κοινοῦ, ἤγουν ἀνακηρυχθῆναι (adde ἐποίησεν) legitur in α. — 8 Glossæ Thomanæ ad v. 21, quæ in Γ solo extant, in codd. mixtis et edd. præfixo lemmate Πέλοπος σταθμῶν (in z præterea σύνταξις præcedit) in hunc modum conflatæ scholiorum corpori insertæ sunt: Πέλ. στ.] ἐνταῦθα γὰρ οὗτος Οἰνόμαον ἐνίκησε καὶ ὕστερον τελευτήσας ἐτάφη. εὐηράτων δὲ ἤγουν ἐπιθυμητῶν· ἐνταῦθα γὰρ ἐπιθυμοῦσι (ἐπιθυμησίας z) πάντες νικῆσαι, διὸ καὶ πᾶσι καλὴν ἐπιθυμίαν ἐμβάλλουσιν (ἐμβάλουσιν μ΄ φ΄). — 17 Glossa Mosch. etiam in α legitur. In eodem libro στεῤῥῶν ad vocem σταδίων (v. 29) adscriptum est.

27—31. *Th.* Ἵππαρις ποταμὸς ἐν Σικελίᾳ πλησίον Καμαρίνης, τοσοῦτος τῷ ῥεύματι ὡς καὶ ναυσίπορος εἶναι· ἔχει δὲ τὰς πηγὰς ἔκ τινος ὄρους ἐν Σικελίᾳ δένδρα πολλὰ ἔχοντος· τέμνοντες οὖν ἐνταῦθα οἱ Καμαριναῖοι ξύλα πρὸς οἰκοδομίαν ἐμβάλλουσιν ἐν τῷ ποταμῷ· ὁ δὲ τῷ αὐτοῦ ῥεύματι φέρει αὐτὰ πρὸς τὴν πόλιν, ὅθεν λαμβάνοντες χρῶνται. ἔχει δὲ καὶ πλείστους ἰχθῦς. διὰ γοῦν τὸ ῥέειν αὐτὸν ἐπὶ συμφέροντι τῆς πόλεως, σεμνοὺς τοὺς αὐτοῦ ὀχετοὺς ἐκάλεσε. καὶ κολλᾷ καὶ ἐπιφέρει ταχέως ἄλσος ὑψίγυον θαλάμων καὶ οἴκων σταδίων καὶ ἑδραίων· τουτέστι κατάγει ταχέως πρὸς τὴν πόλιν, ἃ ἐν τῷ ὄρει οἱ Καμαριναῖοι τέμνουσι ξύλα, δι' ὧν ἑδραιοτάτους οἴκους ἐργάζονται· ὑψιγύων δὲ δέον εἰπεῖν πρὸς τὸ θαλάμων, ἤτοι διωρόφων καὶ τριωρόφων οἴκων, ὑψίγυον εἶπε πρὸς τὸ ἄλσος. ἢ ὑψίγυον ἄλσος λέγε ἀντὶ τοῦ ὑψηλὰ καὶ μεγάλα ξύλα.

gl. 32. ἣν περὶ τὴν τούτων καταγωγὴν ἔχει. — ἤτοι εἰς ἀνάπαυσιν καὶ ἀφροντισίαν. — 33. τῶν Καμαριναίων.

16—33. [*M.* Τὶν δὲ κῦδος] σοὶ δέ, τῇ Καμαρίνῃ δηλονότι τῇ λίμνῃ, δόξαν ἁβρὰν, ἀντὶ τοῦ λαμπρὰν, νεάζουσαν, ἀνέθηκε

---

1 Ἱστορία est lemma in edd. ante Bœckhium, ἱστορία περὶ τοῦ ποταμοῦ (ποτ. om. ξ') ἱππάρεως (ἱπάρεως ξ', ἱππαρέως ε) in codd. mixtis et apud Bœckhium; — Ἵππαρις rubro scriptum præcedit in Vrat. — ἵπαρις ι'' ξ'. — 2 ναυσὶ πόρος μ'. — 3 ὄρους] δένδρου ι''. — πολλὰ δένδρα ξ'. — 4 ἐντεῦθεν ι''. — τὰ ξύλα ι''. — 5 ἐμβάλουσιν Γεφ', ed. Ro. — ἐν om. ε. — τῷ αὐτῷ ῥ. ι'' ξ', τῷ ῥ. αὐτοῦ ε. — 6 τὴν om. ι''. — λαβόντες Γ. — 7 ἰχθύς Δ. — ῥέειν ΓΔ, ῥεῖν cett. — 8 ἐκάλεσέ τε κ. κ. ε. — 9 ὑψίγυον ΓΔ et codd. non interpolati in textu, ὑψίβιον ξ', ὑψίγυιον cett. — σταδίων] σταθηρῶν edd. — 12 ὑψιγύων ΓΔ, ὑψιγυίων cett. — ἤγουν ι''. — 13 διορόφων Γξ'. — τριορόφων Γ. — ὑψίγυον ΓΔ, ὑψίγυιον cett. — ἄλσος μ'. — 14 ἢ ὑψ. ἄλσος om. Γ. — ὑψίγυον Δ, ἢ ψίγυιον ξ', ὑψίγυιον cett. — 17 σύνταξις præcedit in μ' φ' ed. Boeckh — Lemma τὶν δὲ κῦδος ἁβρόν est in ed. Boeckh. — τῇ om. ι''.

νικήσας, καὶ τὸν ἑαυτοῦ πατέρα τὸν Ἄκρωνα ἀνεκήρυξεν, ἀντὶ τοῦ ἀνακηρυχθῆναι ἐποίησε, καὶ τὴν καθέδραν αὐτοῦ τὴν νεωστὶ οἰκισθεῖσαν, τουτέστι τὴν Καμαρίναν τὴν πόλιν. ἐπαναστρέψας (20) δὲ μετὰ νίκης ἀπὸ τῶν καλῶν καὶ ἐπεράστων σταθμῶν, ἀντὶ τοῦ οἴκων, τοῦ Οἰνομάου καὶ τοῦ Πέλοπος, ἤγουν ἀπὸ τῆς Ὀλυμπίας, ὦ Παλλὰς ἡ συνέχουσα τὴν πόλιν, τὴν Καμαρίναν δηλονότι, ᾄδει μέν, ἤγουν ὑμνεῖ τὸν σὸν ναὸν τὸν ἁγνὸν καὶ τὸν ποταμὸν (25) τὸν Ὤανον καὶ τὴν λίμνην τὴν ἐγχωρίαν, ἤγουν τὴν Καμαρίναν, καὶ τὰ σεβάσμια ῥεύματα, δι᾽ ὧν ὁ Ἵππαρις ὁ ποταμὸς ἄρδει τὸν στρατόν, ἀντὶ τοῦ τὸν λαὸν τῆς Καμαρίνης, κολλᾷ (29) τε ὁ Ἵππαρις, ἤγουν προστίθησί τε ἀεὶ καὶ αὔξει ταχέως, ἀντὶ τοῦ ῥᾳδίως, ὑψίγυιον ἄλσος θαλάμων σταδίων, ἀντὶ τοῦ μετέωρον πληθὺν οἰκημάτων στεῤῥῶν, κατάγων τοῖς ἑαυτοῦ ῥεύμασι τὰ ὑπὸ τῶν Καμαριναίων εἰς κατασκευὴν οἰκημάτων τεμνόμενα ξύλα, καὶ ἄγων τοῦτον τὸν δῆμον τῶν πολιτῶν, τουτέστι τῶν Καμαριναίων, ἀπὸ τῆς ἀμηχανίας τῆς οὔσης αὐτοῖς ἕνεκα τῆς καταγωγῆς τῶν ξύλων εἰς φῶς, ἀντὶ τοῦ εἰς μηχανήν.

gl. 34. * ἤγουν ὁ χρηστόν τι κατορθῶσαι θέλων καὶ κόπῳ

---

1 ἄκρονα q. — 2. 3 αὐτοῦ τῇ ν. q. — 3 κτισθεῖσαν ι΄΄. — τὴν καμαρίνχ a. — 4 ἀπεράστων a. — 5 Inter οἴκων et τοῦ Οἰν. in ι΄΄ «σταθμὰ κυρίως οἱ κοινῶς σταῦλοι hic autem pro domibus» insertum legitur, eadem est glossa in a, nisi quod ἐνταῦθα σταθμῶν ἀντὶ τοῦ οἴκων pro Latinis verbis exhibet. — 6 παλὰς q z. — 7 δηλονότι om. a. — ἄδει aq, ἀείδει cett. — μέν om. z. — ὑμνεῖν q. — τὸν σὸν ἁγνὸν ναὸν κ. τ. π. μ΄. — 8 τὸν ante Ὤανον (ὤαννον ξ΄) om. ι΄΄. — 9 σεβάσματα ῥ. z. — παρις ξ΄. — 10 τὸν ante λαὸν om. ξ΄. — 11 κολᾷ τε μ΄, κολλᾶται (sed α ante ι ex corr.) φ΄. — ὁ ἵππ. ὁ ποταμός, ἤγουν z. — ᾀεὶ ι΄΄. — 12 ὑψίγειον a. — 13 μετεώρων z. — στερῶν aq, sed στεῤῥῶν est glossa in a. — 15 ἄγον a. — τούτων ι΄΄. — 17 αὐτοῖς] αὐτῆς z ξ΄. — 18 εἰς om. ξ΄. — 19 Glossæ Thomanæ ad vv. 34. 35 in codd. mixtis et edd. in hunc modum conflatæ scholiorum corpori insertæ sunt:

καὶ χρημάτων δαπάνῃ χρῆται. — 35. ** καί. — * καταγωνίζεται· τοῦτο δὲ λέγει ὑπὲρ τοῦ Ψαύμιος αἰτίαν σχόντος πρὶν ἐστέφθαι τῇ νίκῃ ὡς πέρα τοῦ δέοντος ἱπποτρόφου.

34. 35. *Germ.* Αἰεὶ δ' ἀμφ' ἀρεταῖσι μάρναται ὁ πόνος ἢ δαπάνη τε. ἢ οὕτως. αἰεὶ δ' ἀμφ' ἀρεταῖσι μάρναται ὁ πόνος σὺν τῇ δαπάνῃ.

36. *Th.* Τοῦτο λέγει, ἐπειδὴ τὸ τῆς νίκης τέλος οὐ μόνον ἄδηλόν ἐστιν, ἀλλὰ καὶ ἐπικίνδυνον· πολλοὶ γὰρ τῶν ἐν τοῖς σταδίοις ἀγωνιζομένων πρὶν νίκης ἐπιτυχεῖς γενέσθαι ἀπέθανον ἢ τὸ μέγεθος τῶν ἀγώνων οὐκ ἐνεγκόντες ἢ ὑπὸ τῶν ἀνθαμίλλων κατενεχθέντες. διὸ καὶ Ἡσίοδος εἰκότως τὴν πρὸς ἀρετὴν φέρουσαν ὁδὸν τραχεῖαν προσεῖπεν (ἐκή 289).

gl. 36. τὴν τοῦ κατορθῶσαι ἐπιτυχίαν. — κεκρυμμένον. — 37. ἤτοι εὐτυχήσαντες κατὰ τὸν ἀγῶνα. — ἄγαν προνοητικοὶ αὐτῶν. — 38. μὴ μόνον τοῖς ἄλλοις. — εἶναι.

36—38. *M.* Ἀεὶ δ' ἀμφ' ἀρεταῖς] ἀντὶ τοῦ ἐπ' ἀριστείαις, τουτέστιν ἕνεκα ἀριστειῶν, κόπος καὶ ἀναλώματα μάρναται, ἀντὶ τοῦ ἁμιλλᾶται, ἤγουν ἐπίσης συμβάλλεται πρὸς πᾶσαν ἐργασίαν ὑπὸ κινδύνου οὖσαν κεκαλυμμένην, τουτέστιν ὑποψίαν ἔχουσαν κινδύνου. οἱ εὖ δὲ ἔχοντες, ἤγουν οἱ εὐτυχοῦν-

---

Αἰεὶ δ' ἀμφ' ἀρεταῖς] ἤγουν ὁ χρ. τι — χρῆται. τὸ δὲ μάρναται ἀντὶ τοῦ ἀγωνίζεται. τοῦτο δὲ λέγει ὑπὲρ τοῦ Ψαύμιδος — ἱπποτρόφου.

1 καταγων. *A*, ἀνταγων. *Γ*, ἀγωνίζεται Tricl. — 4 Ante αἰεὶ delevi ἢ οὕτως. — Hoc et sequ. versu ἀμφ' scripsi pro ἄμφ'. — 7 σύνταξις praefixum est in *z*. — Lemma Ἔργον κινδύνῳ est in codd. mixtis et edd. — 9 ἐπιταχεῖς *A*, om. *μ'*. — 10 οὐκενεγκῶντος ἢ ἀπὸ *ξ'*. — 11 καὶ ὁ Ἡσ. [*Γ*] edd. — 12 ὁδὸν om. *μ'*. — προσεῖπε *A*. — V. 37 incipit liber *α'*. — 16 Scholium Mosch. om. *z*. — ἀεὶ *a q ξ'*, αἰεὶ cett. codd. et edd. ante Beckium, edd. inde a Beckio omm. ἀεὶ δ'. — δὲ *a*. — ἀεταῖς *a*. — 18 συμβάλεται *μ' φ'*, συμβουλεύεται *ξ'*. — 19 κινδύνου *aq*, κινδύνων cett. — κεκαλλυμένην *q*. — 20 ἔχουσα *φ'*. — ἤγ. οἱ εὐτυχ. om. *a*.

τες, τουτέστιν οἱ νικῶντες, καὶ σοφοὶ τοῖς πολίταις ἐνομίσθησαν εἶναι.

gl. 39. *ὦ.* — *οὐράνιε.* — 40. *τὸν ἐν Ὀλυμπίᾳ· ἔνθα πρὶν ἱερὸν ἦν Κρόνου.* — 41. *διὰ τὸ πλησίον ῥέειν τῆς Πίσης.* — 42. *μεγαλόῤῥουν.* — * *Κρητικόν. Ἴδη γὰρ ὄρος καὶ ἐν Κρήτῃ, ἔνθα Ζεὺς ἀνετράφη Κουρήτων ἠχούντων, ἵνα μὴ γνοίη Κρόνος αὐτὸν κλάοντα.*

43. *Germ.* *Ἄντρον παρὰ τὸ ἀνατετορῆσθαι καὶ τετρυπῆσθαι.*

gl. 43. ** *καί.* — *διὰ τὴν τοῦ Διὸς τροφήν.* — * † *σπήλαιον.* — * * *τιμῶν ἀπὸ κοινοῦ.* — 44. *παρακλήτωρ.* — *σοῦ.* — * *Λυδίοις αὐλοῖς λέγει, ἢ διότι τοὺς μετὰ Πέλοπος ἐκ Λυδίας ἐλθόντας αὐλητὰς πρώτους Ἕλληνες ἐμιμήσαντο, ἢ ὅτι οἱ Λύδιοι αὐλοὶ γλυκύτεροι καὶ ποικιλώτεροι τῶν ἄλλων εἰσίν.* — 45. *ᾄδων τὸν Ψαῦμιν·* — * * *διὰ τὸ μέτρον.* — 46. *σέ.* — * † *τὴν Καμαρίναν.* — *καλοῖς ἀνδράσι.* — 47. *ἐνδόξοις.* — 48. * † *κοσμεῖν.*

39—48. *M.* *Ὦ Ζεῦ σωτὴρ ὑψινεφές, ἤγουν ὁ τὴν διατριβὴν ἄνω ἐπὶ τῶν νεφελῶν ποιούμενος καὶ ὁ οἰκῶν τὸν λόφον*

---

1 *καὶ σ. τ. πολ.* om. *ι''* in fine paginæ. — *τῆς πολίταις* *ξ'*. — 1. 2 *ἐνόμισθαν* *q*. — 5—7 Glossa Thomana *Ἰδαῖον, ἤγουν Κρητικὸν* — *κλάοντα* (*κλαίοντα* *α'* et edd.) in codd. mixtis et edd. inter scholia legitur. — 8 *Ἄντρον* ego addidi. — 12 Glossa Thomana, quam *A* solus servavit, in codd. mixtis et edd. inter scholia legitur. — *λυδίοι* *ξ'*. — 14 *ποικιλότεροι* *A* Vrat. *z μ' ξ' φ'*. — 18 *σύνταξις* *z* et Bœckh in textu, *μ' φ'* in marg. — Confer Mommseni notam (Schol. Germ. p. 24): «Ad hoc comma [postremum comma scholii veteris ad v. 29] apposito asterisco referi videtur notula in extremo margine allita hæc (si recte oculis assecutus sum) *ἤγουν ὁ τὴν διατριβὴν ἄνω ἐπὶ τῶν κεφαλῶν* (ft. *ἐπὶ τὸ κεφαλαῖον*, summatim) *ποιούμενος*. Quod quid sibi velit nescio.» Est interpretatio vocis Pindaricæ *ὑψινεφές* a m. sec. ex paraphrasi Moschopulea sumpta, quo intellecto *νεφελῶν*

τὸν Κρόνιον, ἤγουν τὴν Πίσαν καὶ ὁ ἔνδοξον ποιῶν τῇ αὐτόθι δηλονότι οἰκήσει τὸν Ἀλφειὸν τὸν ποταμὸν τὸν πλατέως ῥέοντα, καὶ ὁ τιμῶν ἀπὸ κοινοῦ, τὸ σπήλαιον.τὸ σεβάσμιον τὸ τῆς Ἴδης τοῦ ὄρους τοῦ ἐν τῇ Κρήτῃ, ἱκέτης ἔρχομαι σὸς ἐν αὐλοῖς Λυδίοις ἀπύων, ἀντὶ τοῦ ὑμνῶν, αἰτήσων σε δαιδάλλειν, τουτέστι κοσμεῖν, τήνδε τὴν πόλιν, ἤγουν τὴν Καμαρίναν, εὐανορίαις, ἤτοι εὐδοξίαις ἀνδραγαθημάτων, κλυταῖς, τουτέστιν ἐπὶ πολὺ διηχούσαις τῇ φήμῃ.

gl. 48. *ὦ Ψαῦμι.* — 49. *Ὀλυμπίας νικητά.* — 51. *εὐφραινόμενον.* — * † *ἔχειν.* — 52. *εὐφραντόν.* — 53. ** *τοῦτο γὰρ πάντες πατέρες εὔχονται.*

48—53. *Germ. Ἡ σύνταξις αὕτη. σέ τε, ὦ Ψαῦμι, Ὀλυμπιόνικε καὶ ὁ τὰ Ὀλύμπια νενικηκώς, ἦλθον αἰτήσων τὸν Δία τὸ ἐπιτερπόμενον ἐν Ποσειδανίοις ἵπποις φέρειν γῆρας εὔθυμον εἰς τελευτὴν παρισταμένων υἱῶν.*

gl. 53. *δίκαιον ἢ μεθ' ὑγείας.* — 54. * † *πλοῦτον.* — 55. * *αὔξει.* — ** *συνίζησις.* — *τοῖς ἰδίοις κτήμασι.* — 56. *εὐφημίαν παρὰ νικῶν.* — * *αὐτῷ·* — ** *ἑαυτῷ.*

55—57. *Germ. Ἄρδει ἀντὶ τοῦ ἀρδεύει, αὔξει, χέει, πλησμίως ἔχει· εὐλογίαν δὲ ἀντὶ τοῦ ἔπαινον παρὰ ἀνθρώπων· καὶ μετὰ τοῦτο εὖ λεγόμενος παρὰ τοῖς ἀνθρώποις. τὸ*

---

pro *κεφαλᾶν* scribendum esse apparet. — Lemma *σωτὴρ ὑψινεφὲς ζεῦ* est in Vrat. *ξ'*. — 19 *νεφῶν φ'*. — *ὁ νικῶν z.*

1 *πίσσαν q.* — 2 *τὸν* post *Ἀλφ.* om. *ξ'*. — *τὸν ποτ. τὸν* om. *ι''*. — 4 *τῇ κέντῃ ξ'*. — *ἐρχόμαι q.* — *σοῦ q ι''*. — *ἐν* om. *ξ*. — *αὐλοῖς Λυδίοις aqι''*, *Λυδίοις αὐλοῖς* cett. — 5 *σε* om. *q*. — *δαιδάλειν μ'*. — 6 *ἤγουν*] *τουτέστι ι''*. — 7 *ἤ τι a*, *ἤγουν ι''*. — *κρυταῖς ξ'*. — 8 *διοικούσαις q*. — 12 Post *Ἡ* delevi *δέ*. — *σέ τε* scripsi pro *σὲ τέ*. — 15 *παριστ.* scripsi pro *περιστ.* — 19 Post *ἄρδει* delevi *δέ*. — 21 *μετατοῦτο U.*

δὲ ματεύσῃ ἀντὶ τοῦ ζητήσῃ· ἀπὸ τοῦ μῶ τὸ ζητῶ γίνεται ματεύω.

48—57. *Th. Πρὸς τὸν Δία τὸν λόγον τείνων ἐπέστρεψε πρὸς τὸν Ψαῦμιν. δέον γὰρ οὕτως εἰπεῖν· αἰτῶ σε, ὦ Ζεῦ, κοσμεῖν τὴν πόλιν καὶ τὸν Ψαῦμιν εὐθύμου γήρως ἐπιτυχῆ ποιῆσαι· ἐπειδὴ πρὸς τοῦτον ἐποίει τὸν ὕμνον, φέρειν σε εἶπεν, ἀντὶ τοῦ ἔχειν γῆρας εὔθυμον. τὸ δὲ Ποσειδανίοις εἶπεν ἢ διότι Ποσειδῶν πρῶτον Πέλοπι ἅρμα ἐνεχείρισεν, ὡς πρώην εἰρήκει, ἢ τὸ Ποσειδανίοις ἀντὶ τοῦ ταχέσι καὶ γαύροις. τοιαύτη γὰρ ἡ τῆς θαλάττης ὁρμή. λέγει δέ, ὅτι ἐάν τις μεθ' ὑγείας ἀπολαύῃ τῶν ὄντων καὶ μηδαμόθεν ἁρπάζων ὥσπερ ἕτεροι, ἀλλὰ νίκαις ἑαυτὸν ὥσπερ ὁ Ψαῦμις κοσμῶν, μὴ τούτου μεῖζον ζητήσῃ· οὐκ ἔστι γὰρ κρείττων ταύτης εὐδαιμονία ἑτέρα, ἢ ἡ τῶν θεῶν. ἢ τὸ ὑγίεντα ἀντὶ τοῦ δίκαιον, ἵν' ᾖ τὸ ἐξαρκέων κτεάτεσσι τούτου μεθερμηνευτικόν.*

M. Σέ τε, ὦ Ψαῦμι Ὀλυμπιόνικε, τὸν ἐπιτερπόμενον ἵπποις

---

1 *ματεύσῃ* et *ζητήσῃ* scripsi pro *ματεύσει* et *ζητήσει*. — 3 Lemma *Σέ τ' Ὀλυμπιόνικε* est in codd. et edd. *ΓΔ*, Beck. Heyn. exceptis. — *ἀπέστρεψε* [*Γμ'*] edd. — 5 *ἐνθύμου z*. — 6 *ἐπεὶ δὲ Δ*. — *σὲ Δ*. — 7 *ἔνθυμον ξ'*. — *ποσειδανίοις ΓΔα' ι''*, *ποσειδωνίοις* cett. — 8 *ἐνεχείρησεν Γz ι'' μ'*. — *εἴρηκει* (sic) edd. inde a Beckio. — 9 *ποσειδανίοις ΓΔα' ι''*, *ποσειδωνίοις* cett. — *ταχείσι Δ*. — *ταύροις z*. — 10 *θαλάσσης z ι'' μ' ξ' φ'*; in *α'* incertum est scripturæ compendium. — Post *ὁρμή* codd. et edd. *ΓΔ* exceptis sic pergunt: *Ὑγίεντα δ' εἴ τις (τισι φ')· τοῦτο λέγει ὅτι ἐὰν* etc. — *δὲ* ex solo *Δ* addidi. — *ὑγιείας Δ*. — *ἀπολαύει* edd. ante Bœckhium. — 10. 11 *τὸν ὄντα ξ'*. — 11 *καὶ* ex *ΓΔ* accessit. — *μὴ δαμόθεν Γ*. — 12 *ἑαυτὸν* om. *Γ*. — *τοῦτο Γ*, *τὸν ξ'*. — *ζητήσῃς z*, om. *ι''*. — 12. 13 *οὐκέστι μ'*, *οὐκ ἔτι ξ'*. — 13 *ταύτης τῆς εὐδαιμονίας ἑτέρη ξ'*. — *ἵν' ᾖ*] *ἐν ᾗ* Vrat. — *ἢ ἡ*] *οὐδ' ἡ* edd. — 14 *κτεάτεσι Γ*. — 16 *σύνταξις ι'' μ' ξ'* in marg. — Lemma *Σέ τ' Ὀλυμπιόνικε* (*ὀλύμπιε* Vrat.) omisi cum *aq*.

Ποσειδωνίοις, ἀντὶ τοῦ ἀρίστοις, ἔχειν γῆρας ἄλυπον μέχρι τοῦ τέλους τοῦ βίου σου, υἱῶν (53) σοι παρισταμένων. εἴ τις δὲ ἄρδει, ἀντὶ τοῦ αὔξει, πλοῦτον ὑγίεντα, τουτέστιν ὑγιεινόν, ὑγείας μετέχοντα, ἐξαρκῶν, ἀντὶ τοῦ ἐπαρκούμενος, ἤγουν βοηθούμενος ὑπὸ χρημάτων, καὶ εὐλογίαν, τουτέστιν ἔπαινον προστιθείς, μὴ ζητήσῃ θεὸς γενέσθαι.

---

1 *ποσιδ.* ξ'. — *ἔχει* ι'. — 3 *ὑγιέντα* z, *ὑγιεντας* ι'. — 4 *ὑγιειας* [q] edd. — 4. 5 *ἤγ. βοηθ.* om. *q*.

Ἐπίνικοι Ὀλυμπιονίκαις.

Ἀγησίᾳ Συρακοσίῳ ἀπήνῃ. Ὠιδὴ ϛʹ.

[Δημητρίου Τρικλινίου]

περὶ τῶν κώλων τῶν στροφῶν καὶ ἀντιστρόφων τοῦ ϛʹ εἴδους. ἔστι δὲ στροφῶν εʹ. Παλαιόν.

Τοῦ ϛʹ εἴδους αἱ στροφαὶ καὶ ἀντιστροφαὶ κώλων ἑκάστη ιαʹ. Τὸ αʹ ἰαμβικὸν δίμετρον ἀκατάληκτον. ἔχει δὲ συνεκφώνησιν ἤτοι συνίζησιν τὸ αʹ κῶλον τῆς αʹ στροφῆς. Τὸ βʹ προσοδιακὸν δίμετρον ἀκατάληκτον ἐξ Ἰωνικοῦ ἀπὸ μείζονος καὶ χοριάμβου. Τὸ γʹ προσοδιακὸν τρίμετρον ἀκατάληκτον, τοῦ αʹ χοριάμβου, τοῦ βʹ Ἰωνικοῦ, τοῦ γʹ πάλιν χοριάμβου. Τὸ δʹ ἐγκωμιολογικὸν ἤτοι διπενθημιμερὲς ἐκ δακτυλικοῦ καὶ ἰαμβικοῦ πενθημιμεροῦς. Τὸ εʹ τροχαϊκὸν ἐφθημιμερές, ὃ καλεῖται Εὐριπίδειον ἢ ληκύθιον. Τὸ ϛʹ προσοδιακὸν δίμετρον ὑπερκατάληκτον ἐξ Ἰωνικοῦ ἀπὸ μείζονος καὶ χοριάμβου καὶ συλλαβῆς. τοῦτο

Scholium metricum Boeckh ex Vrat. *A* (in quo bis legitur, primum ante metrica Ol. V, deinde ante scholia ad Ol. VI) et Mosc. *B* edidit; ego ex *z*, qui omittit omnia quæ de metro stropharum et antistropharum scripta sunt, *α' ι'' μ' ξ'* novi. — **5** *ἔστι δὲ τὸ ᾆσμα στρ. εʹ* codd. *α' ι''* exceptis et ed. — *Παλαιόν* ex margine [*α'* ?] *ι'' μ'* addidi. — *ἑκάστη* om. *ι''*. — **8** *κῶλον* om. *ι''*. — **12** *ἤγουν ι''*, qui om. *ἐκ δακτ.* — *ἐφθημ.* — **14** *ληκύθιον α' ι' μ'*, *ληκύθειον* cett. — *δίμετρον α' ι''*, *τρίμετρον* cett.

δὲ καὶ ἀναπαιστικόν ἐστιν ἑφθημιμερές, ὡς ἐμοὶ δοκεῖ, σπονδείου ἀρχομένου. Τὸ ζ' ἀσυνάρτητον ἐξ ἰαμβικοῦ καὶ δακτυλικοῦ πενθημιμερῶν, ὃ καλεῖται ἰαμβέλεγος. Τὸ η' ἴαμβος τρίμετρος ἀκατάληκτος. Τὸ θ' ὅμοιον τῷ ς', ἤτοι προσοδιακὸν δίμετρον ὑπερκατάληκτον ἢ καὶ ἀναπαιστικόν. Τὸ ι' ἐγκωμιολογικόν, ἤτοι διπενθημιμερές, ὅμοιον τῷ δ'· ἐλλείπει δὲ μιᾷ συλλαβῇ τὸ ἰαμβικόν. τοῦτο καὶ προσοδιακόν ἐστιν ἐκ χοριάμβου, Ἰωνικοῦ, καὶ πάλιν χοριάμβου καταληκτικοῦ. Τὸ ια' ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον. ἐπὶ τῷ τέλει τὰ ῥηθέντα σημεῖα.

Περὶ τῶν κώλων τῶν ἐπῳδῶν.

Αἱ ἐπῳδοὶ κώλων ιδ'. Τὸ α' ἐγκωμιολογικόν, ὅμοιον τῷ ι' τῆς στροφῆς, ἢ καὶ προσοδιακόν, ὡς εἴρηται ἐκεῖ. Τὸ β' προσοδιακὸν δίμετρον ἀκατάληκτον ἐξ Ἰωνικοῦ καὶ χοριάμβου. Τὸ γ' Στησιχόρειον, ἤτοι τροχαϊκὸν τρίμετρον ἔχον ἐν τῷ τέλει ἴαμβον Πινδαρικῷ ἰδιώματι. Τὸ δ' ἀναπαιστικὸν μονόμετρον ἀκατάληκτον. Τὸ ε' Ἰωνικὸν δίμετρον ὑπερκατάληκτον ἀπὸ τῶν μειζόνων. Τὸ ς' Ἰωνικὸν μονόμετρον ὑπερκατάληκτον, ἢ ἀναπαιστικόν, ὅμοιον τῷ δ'. Τὸ ζ' ἰαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ η' τροχαϊκὸν ἑφθημιμερὲς Εὐριπίδειον. Τὸ θ' προσοδιακόν, ὅμοιον τῷ β'. Τὸ ι' δακτυλικὸν πενθημιμερές. Τὸ ια' ὅμοιον τῷ β'. Τὸ ιβ' δακτυλικὸν τρίμετρον ἀκατάληκτον. Τὸ ιγ' προσοδιακὸν τρίμετρον βραχυκατάληκτον ἀπὸ χοριάμβου. Τὸ ιδ' τροχαϊκὸν τρίμετρον καθαρὸν Στησιχόρειον· οὐκ ἔχει γὰρ τὸ

---

1 *καὶ* ex *α'* addidi. — *ὥς μοι* ex *ἀμοί* ξ'. — **4** *τῷ*] *τὸ* ξ'. — **4. 5** *ἤτοι* — *ἀναπ.* om. *ι''*. — **6** *ἤγουν πενθημ.* *ι''*. — *τῷ*] *τὸ* ξ'. — **8** *πάλιν* om. ξ'. — **11** *αἱ ἐπωδοὶ α' ι''*, *ἑκάστη ἐπῳδός* cett. — **14** *ἰστησιχ.* *μ'*. — *ἢ* *ι''*. — *ἔχων* ξ'. — **16. 17** *ἀπὸ* — *ὑπερκ.* om. *z*. — **18** dimetron iambicon *ι''*. — **19. 20** *προσοδικόν* *z*. — **20** *ὅμοιον* om. *μ'*. — **21** Inde ab *τὸ ιβ'* omnia desunt in *z*. — **23** *οὐκ ἔστι γὰρ* *ι''*. — *τὸν* ξ'.

Πινδαρικὸν ἰδίωμα. Ἐφ' ἑκάστῃ ἐπῳδῷ κορωνὶς καὶ παράγραφος, ἐπὶ δὲ τῷ τέλει τοῦ ᾄσματος ἀστερίσκος.

---

gl. 1. ** *Τὸ προοίμιον ἐκ παραδείγματος. — λαμπρᾶς· — ** συνίζησις. — ὑποβαλόντες. —* 2. *ἑδραίῳ. — τῇ ἀρχῇ. — τοῦ οἴκου. —* 3. *πηγνύομεν. — θαυμαστόν. — * οἶκον· — ** οἴκημα. —* 4. *κατασκευάσομεν τὸν ὕμνον. — ἀρχὴν λαμβάνοντος. — * * γάρ. — † τοῦ καλοῦ δηλονότι. — * * ἤτοι τὴν ἀρχήν.*

1—4. *Germ. Ἡ σύνταξις αὕτη. οὕτως πήξομεν καὶ κατασκευάσομεν καὶ συναρμόσομεν τὸν ὕμνον, ὡς ὅτε καὶ ὁπότε κατασκευάζομεν μέγαρον θαητὸν ὑποστήσαντες τοὺς χρυσέους κίονας ἐν τῷ εὐτυχεῖ προθύρῳ τοῦ θαλάμου.*

Th. Τὸν λόγον ποιεῖται ἐκ μεταφορᾶς τῶν οἰκίας μεγαλοπρεπεῖς κατασκευαζόντων. ὥσπερ γὰρ ἐκεῖνοι εἰς τὰ πρόθυρα κίονας μεγάλας ὑποβάλλουσιν, οὕτω καὶ οὗτος ὡσπερεὶ μέγαρον κατασκευάζων τὸν ὅλον ὕμνον, χρυσέας κίονας ἐν τοῖς προθύροις, ἤτοι τῷ προοιμίῳ, ὑφίστησι. κίονας δὲ χρυσᾶς ἐνταῦθα

---

1 *ἐπωδῶν ι''.* — **2** *ἐπειδὲ τῶ ι''.* — Post scholium metricum inscriptio *σχόλια τῶν αὐτῶν* legitur in *ι'' μ' ξ' φ'.* — **5** Ad v. 4 carminis hoc scholium legitur in codd. Bodl. *β, γ: ἰστέον ὅτι θάλαμος, μέγαρον, μέλαθρον διαφέρουσι. θάλαμος μὲν λέγεται ἀπὸ τοῦ θάλλειν τοὺς δύο νεονύμφους, ὅντινα λέγομεν καὶ παστόν. μέγαρον δὲ λέγεται τὸ παλάτιον καὶ πᾶν οἴκημα ὑψηλόν, ἀπὸ τοῦ μέγα αἴρεσθαι, ἤγουν ὑψοῦσθαι. μέλαθρον δὲ λέγεται ὁ οἶκος ἐν ᾧ μαγειρεύουσιν, ἤγουν τὸ μαγειρεῖον, ἀπὸ τοῦ μελαίνειν τὸν αἰθέρα διὰ τοῦ καπνοῦ δηλονότι.* — **7** Post *Ἡ* delevi *δέ.* — *οὕτως* scripsi pro *ὡς* eandemque voculam *ὡς* ante *κατασκ.* et *συναρμ.* expuli. — **9** *χρυσέας U*, tacite corr. Mommsen. Num *τὰς χρυσέας κίονας* scribendum? — **10** *εὐτειχεῖ* tacite Mommsen, non necessario. — **11** *μαγίστρου* est in marg. *φ'.* — Lemma *χρυσέας ὑποστάσαντες* est in edd. — **12** *κασκευαζ.* Vr. — *ὡς ι''.* — **13** *μεγάλους* Vrat. *z ι'' μ' ξ'.* — *ὥσπερ ι''.* — **14** *κίονας χρ. ι''.* — **15** *ἤγουν ι''.* — *χρυσὰς μ' ξ' φ'.*

νόει τὴν τοῦ προοιμίου καλλίστην καὶ μεγαλοπρεπεστάτην ἀρχήν. πήξομεν καὶ κατασκευάσομεν τὸν ὕμνον οὕτως, ὥσπερ ὅτε πηγνύομεν θηητὸν θαυμαστὸν μέγαρον καὶ οἶκον, ὑποστήσαντες καὶ ὑποβαλόντες τῷ εὐτειχεῖ προθύρῳ τοῦ θαλάμου χρυσέας καὶ λαμπρὰς κίονας.

gl. 5. ** πρέπει. — * † ποιῆσαι. — * † λαμπρόν.

1—5. *M.* Ὥσπερ ὅτε θαυμαστὸν μέγαρον πήγνυμεν, εὔκτιστον ποιοῦμεν τὸ πρόθυρον αὐτοῦ, λαμπρὰς κίονας ὑποτιθέντες αὐτῷ· οὕτω θαυμαστὸν ὕμνον μέλλοντες συντιθέναι, λαμπρὰ πρότερον τὰ τούτου προοίμια ποιήσαντες οὕτω συνθῶμεν αὐτόν. ἀρχομένου γὰρ ἔργου, λαμπροῦ δηλονότι, χρὴ ποιῆσαι πρόσωπον, ἤγουν ἀρχήν, τηλαυγῆ, τουτέστι λαμπράν.

gl. 6. * τις. — ἐν Ὀλυμπίᾳ νικήσας.

7. *Th.* Τοῦτο λέγει διὰ τὸν Ἀγησίαν. ἦν γὰρ καὶ Ὀλυμπιονίκης καὶ τοῦ ἐν Ὀλυμπίᾳ βωμοῦ ἱερεὺς ἢ διοικητὴς καὶ ἑορταστής, καὶ οἱ αὐτοῦ πρόγονοι συνῴκισαν τὴν Συρακουσίων πόλιν.

Th. Τὸ μαντείῳ λέγει διότι ἐνταῦθα οἱ Ἰαμίδαι ἐμαντεύοντο, ὡς καὶ αὐτὸς προϊὼν ἐρεῖ.

gl. 7. ** καί. — * † μαντικῷ. — διοικητήρ, ἱερεύς. —

---

1 καὶ μεγ. om. ξ'. — 3 θηητὸν καὶ θηητὸν καὶ θαυμ. Δ. — θηητὸν ΓΔ Vrat. z α' ι'' μ', θαητὸν cett. — 4 ὑποβαλόντες Γα' ι'', ὑποβαλλόντες cett. codd. (καὶ ὑποβ. om. ξ') et edd. ante Beckium, qui primus ὑποβάλλοντες edidit. — εὐτυχεῖ Vrat. z μ' ξ' φ' et edd. ante Bœckhium. — 7 σύνταξις margo μ' ξ'. — 9 αὐτῶν ξ', αὐτοῦ aq. — 12 τουτ. λαμπράν omm. ξ' et z, in quo hæc verba præmissa voce σύνταξις ante paraphr. vv. 5—11 lemmatis vice funguntur. — 14 Lemma βωμῷ τι est in α', codd. mixtis et edd. — τὴν ξ'. — ἀργησίαν φ'. — καὶ om. ι''. — 15 διοικτὴς ξ'. — 16 αὐτοῦ om. ξ'. — συῴῥακ. I — 17. 18 πόλιν. τὸ (τοὶ ξ', τῷ z) μαντείῳ δὲ λέγει α', codd. mixti et edd. — 18. 19 διότι — αὐτὸς om. z. — οἰαμίδαι ξ'. — ἐμαντεύοτο μ'. — 20 διοικιστὴς α'.

8. * * *οἰκιστής.* — * * *καί.* — † *κλεινῶν.* — 9. *ἄν.* — 10. *ὁ πάντα ταῦτα ἔχων.* — *μὴ φθονερῶν.* — 11. * * *πολιτῶν.* — *ἐπιθυμητοῖς ὕμνοις· πᾶς γὰρ ἐπιθυμεῖ τοῦ ὑμνεῖσθαι.*

5—11. *M.* *Εἰ δ' εἴη μέν τις Ὀλυμπιονίκης τῷ βωμῷ τε τοῦ Διὸς τῷ μαντικῷ τῷ ἐν τῇ Πίσῃ ταμίας, ἤγουν ἱερεύς, συνοικιστής τε* (8) *τῶν ἐνδόξων Συρακουσῶν· ταῦτα δὲ τοῦ Ἁγησίου εἰσὶ πλεονεκτήματα· (οὐκ αὐτὸς δὲ συνῴκισε τὰς Συρακούσας, ἀλλ' οἱ πατέρες αὐτοῦ, ὧν τὸ ἔργον ἐπὶ τῷ παιδὶ αὐτῶν τίθησιν οἰκείως) τίνα κε* (9) *φύγοι ὕμνον, ἀντὶ τοῦ τίνι ἂν ὕμνῳ ἀνοίκειος γένοιτο ἐκεῖνος ὁ ἀνὴρ ἐν ᾠδαῖς ἐπιθυμηταῖς ἐπικύρσας, ἤγουν ἐπιτυχὼν πολιτῶν οὐ φθονούντων;*

gl. 12. * † *γινωσκέτω.* — * * *δή.* — *τῷ ἔχοντι τὰ τρία ταῦτα.* — 13. *προσφυῆ καὶ οἰκεῖον.* — 14. * † *ὁ Ἁγησίας.* — * *αἱ δίχα κινδύνου.*

11—14. *Germ.* *Ἴστω γὰρ καὶ γινωσκέτω ὁ υἱὸς τοῦ Σωστράτου, ὁ ὑμνούμενος δηλονότι, ἔχων δαιμόνιον καὶ λαμπρὸν πόδα καὶ προοίμιον ἐν τούτῳ τῷ πεδίλῳ καὶ τῷ ὕμνῳ.* § *τοῖς μὲν ὕμνοις παρέπονται στίχοι, τοῖς δὲ στίχοις ῥυθμός· καὶ πόδες ἐντὸς τῶν στίχων, οἱ δ' αὖ στίχοι ἐντὸς τῶν ὕμνων. καλῶς ἄρα κληθήσονται καὶ πόδες καὶ πέδιλον ὁ ὕμνος.*

M. *Ἴστω γάρ] γινωσκέτω δὴ ὁ υἱὸς τοῦ Σωστράτου ὁ Ἁγησίας τούτῳ τῷ ὑποδήματι, ἀντὶ τοῦ τούτῳ τῷ ὕμνῳ, τουτέστι τῷ τῆς νίκης τῶν Ὀλυμπίων καὶ τῷ τῆς ἱερατείας καὶ τῷ*

---

8 *αὐτῶν* ι''. — 9 *τινὰ* q. — *κι* aq, *κεν* cett. — 11 *ἐπιτυχὼν* ι''. — *φθανόντων* φ'. — 12 Ad v. 12 *ἀντὶ τοῦ δή* glossa legitur in *a.* — 15 Delevi lemma *ἢ οὕτως.* — 16 *δηλονότι* scripsi pro *δῆλον.* — 21 *σύνταξις* μ' ξ' in marg., Boeckh in textu. — *Ἴστω γὰρ ἐν τούτῳ πεδίλῳ* est lemma in edd. ante Boeckhium, nisi quod deest lemma in edd. Beck. et Heyn. — *δή* om. ι''. — *ἀγησίας* ed. Ro. — 22 *ὑπ.* *ἀντὶ τοῦ τ. τῷ* om. Vrat. — *τοῦ* om. μ'. — 23 *κ. τοῦ τ. ἱερ.* q. — *ἱερατίας* μ'.

τῆς συνοικίσεως τῶν Συρακουσῶν, δαιμόνιον πόδ' ἔχων, ἀντὶ τοῦ δαιμονίως αὐτὸς ἁρμόζων, τουτέστιν ὡς ἀπὸ μοίρας δαίμονος.

gl. 15. *ἤτοι ἐν ἠπείρῳ.* — *ἤγουν ἐν θαλάσσῃ.* — 16. *ἐπαινεταί.* — 17. * *διὰ πόνου τινὶ γένηται· ὁ γὰρ συμβὰς αὐτῷ πόνος οὐκ ἐᾷ λήθην κατακαυχήσασθαι.*

14—17. *Th.* *Ὁ μετὰ πόνου καὶ κινδύνου τὴν ἀρετὴν κατορθώσας πλείστου ἄξιος διὰ τὸ προηγήσασθαι πόνον τῆς αὐτοῦ ἀρετῆς· ὁ δὲ ἁπλῶς οὕτως εὐτυχῶν οὐκ ἐπαινετός· τύχης γὰρ εὐμενείᾳ κάλλιστος εἶναι δοκεῖ. χρὴ οὖν καὶ τοὺς ἐν ἠπείρῳ καὶ τοὺς θαλαττεύοντας οὐκ εἰ κατὰ σκοπὸν αὐτοῖς χωροίη τὰ πράγματα, τοῦτο σκοπεῖν, ἀλλὰ καὶ ἀγῶνας κατορθοῦν ἐθέλειν. τοῦτο δὲ λέγει παραμυθούμενος Ἀγησίαν ὡς μετὰ πόνου νικήσαντα.*

M. *Αἱ ἀρεταὶ δὲ αἱ χωρὶς κινδύνων οὔτε παρ' ἀνδράσιν οὔτ' ἐν ναυσὶ κοίλαις, τουτέστιν οὔτε ἐν γῇ οὔτε ἐν θαλάσσῃ εἰσὶ τίμιαι, ἤγουν ἐπαινεταί. κυβερνήτης γὰρ ἄριστος ἐν κλύδωνι δείκνυται, καὶ ἀγωνιστὴς κραταιὸς ἰσχυρὸν ἀνταγωνιστὴν ἔχων. εἴ τι δὲ καλὸν σὺν πόνῳ κατορθωθῇ, πολλοὶ τούτου μέμνηνται.*

---

1 *συνοικήσεως* Vrat. *s ι'' μ' ξ' φ'* et edd. ante Beckium, *συνηκήσεως q.* — *πόδα s*, *πάδ' ξ'.* — 5 Glossa Thomana *εἴ τι ποναθῇ· ἤγουν διὰ π. τὶ γ.* — *λήθην κατακαυχήσασθαι (καυχήσ. ξ')* in codd. et edd. *ΓΔ s* exceptis inter scholia legitur. Ceterum Beckio *τοῦ* ante *κατακαυχ.* excidisse visum est, Heyne ad *κατακαυχ.* interrogandi notam uncis inclusam adscripsit. — In *Γ* folium, quo carminis vv. 10—47 una cum scholiis legebantur periit. — 7 *Ὁ* om. *s.* — *πόνων ι''.* — *τὴν αὐτοῦ ἀρ. ξ'.* — 11 *οὐκεῖ μ' ξ' φ'*, omm. edd. ante Beckium, qui primus verbis *οὐ μόνον ὡς* additis lacunam explevit. — *κατασκοπόν* Vrat. — *χορίοι ξ'.* — 12 *τοῦτο*] *τοῦ* edd. ante Beckium, omm. cett. edd. — 15 Lemma *ἀκίνδυνοι δ' ἀρεταί* addunt edd. — 16 *οὔτ' ἐν γῇ q* edd. — *οὔτ' ἐν q.* — 17. 18 *ἄριστος* — *ἀγωνιστής* om. Vrat. — 19 *εἴτι.* — *τιμέμν.* om. *ι''.* — *κατορθωθέν q.*

gl. 18. ὤ. — σοί. — πρόχειρος καὶ ἁρμόζων ὁ λόγος ἐκεῖνος. — 19. * † δικαίως. — * † υἱὸν Οἰκλέους· — * * συνίζησις· — 20.† πρός. — 21. * * καί.

22. Tr. Ἔμαρψεν] ἤγουν κατεκάλυψε σχισθεῖσα ἐν τῷ Ὠρωπῷ τῆς Βοιωτίας, ἔνθα καὶ μαντεῖον αὐτοῦ ἐστιν.

gl. 22. * † λαμπράς. — Δίαντα καὶ Θόαντα.

23. Th. Δέον ἑπτὰ πυρῶν νεκρῶν τελεσθεισῶν εἰπεῖν, τελεσθέντων εἶπε πρὸς τὸ νεκρῶν οὕτω· τελεσθέντων δὲ νεκρῶν ἑπτὰ πυρῶν, ἀντὶ τοῦ νεκρῶν γεγονότων ἑπτὰ καύσεων. ἑπτὰ δὲ καύσεις λέγει, ἐπειδὴ καὶ τὰ τάγματα παντὸς τοῦ Ἀργείου στρατοῦ ἑπτὰ ἦσαν, ὥστε οἱ ἐν ἑνὶ ἑκάστῳ ἀποθανόντες πυρᾷ ὑπεβλήθησαν πεπαυμένου τοῦ πολέμου καὶ ὑποσπόνδους τῶν Ἀργείων τοὺς αὐτῶν νεκροὺς εἰληφότων· οὕτω γὰρ ἦν ἔθος. ὥστε μὴ νόει τὸ νεκρῶν περὶ τῶν στρατηγῶν· ἀμήχανον γάρ. ἐπεὶ Ἄδραστος μὲν ζῶν ἐξεκεχωρήκει πρὸς Ἄργος, Ἀμφιάραος δὲ ζῶν ὑπὸ γῆς κατεπόθη, Πολυνείκης δὲ μετὰ Ἐτεοκλέους

---

3 Ad v. 21 glossa ἡνίκα legitur in a. — Schol. Cod. Bodl. β.: σύναπτε τὴν κατὰ μετὰ τοῦ ἔμαρψεν. — 4 κατεκάλυψεν ι΄, κατέλυψε μ΄. — 5 ὀῤῥοπῷ α΄ ξ΄, ὀῤῥωπῷ Vrat. z μ΄ φ΄ et edd. ante Beckium. — ἐστίν α΄. — 8 Ad v. 23 hæc adscripsit glossator in marg. b: ἑπτὰ ταγμάτων ὄντων τῶν στρατιωτῶν ἕκαστος ἐκ τῶν ἑπτὰ ταγμάτων φονευθεὶς εἰς ἰδίαν πυρὰν συνελέγετο. ὅθεν ὁ ποιητὴς φησί· τῶν νεκρῶν τελεσθέντων καὶ ἀποκαταστάντων ἐπὶ τῶν ἑπτὰ πυρῶν. — δέον εἰπεῖν ἑπτὰ z. — νεκρῶν excidit in ed. Bœckhiana. — πελασθεισῶν ξ΄. — εἰπεῖν omm. Δz. — 8 τό] τῷ z,; τῶν ξ΄. — 10 ἐπ. κατὰ τάγματι Vrat. — παντός om. ξ΄. — 10. 11 ἀργίνου ξ΄. — 11 στρατοῦ Δα΄ι΄΄, omm. cett. codd. et edd. ante Beckium, qui vocabulo στρατεύματος addito lacunam explevit. — ἑπτά om. z. — ἐν om. Δ. — 12 πεπτωμένου ξ΄. — 15 ζῶν om. ξ΄. — ἐξεχωρήκει Δι΄΄, ἐξενεχορήκει ξ΄. — ἀμφιάραος Δα΄ι΄΄, ἀμφιάρεως cett. — 16 ζῶν — Πολ. δέ om. z. — πολύνεικος ξ΄. — κατὰ ἐτ. ξ΄.

ἐντὸς Θηβῶν ἤχθη, οἱ δὲ καυθέντες τῶν στρατηγῶν τέσσαρες ἦσαν. τὸ δὲ Θήβαις πρὸς τὸ τελεσθέντων συναπτέον.

gl. 23. ** γάρ. — ** δή. — καύσεων.

24. M. Ταλαϊονίδας] ἀπὸ τοῦ Ταλαὸς Ταλαΐων, καὶ ἀπὸ τούτου Ταλαϊονίδης, ὡς ἀπὸ τοῦ Ἰαπετὸς Ἰαπετίων, εἶτα ἀπὸ τούτου Ἰαπετιονίδης.

gl. 24. ὁ υἱὸς τοῦ Ταλαοῦ Ἄδραστος. — 25. ** λόγον.

27. M. Ἀμφότερον] εἰ μὲν οὐδετέρως τοῦτο δέχοιτό τις, παρακινδυνεύει· οὐ γὰρ ἑνικῶς δύναται λέγεσθαι τὰ ἀμφότερα· εἰ δ᾽ ἀρσενικῶς κατ᾽ αἰτιατικήν, ἀντὶ τοῦ ἀμφοτεροδέξιον, ἔξω τῆς γνώμης τοξεύει τῶν χρησαμένων αὐτῷ. ἐπὶ γὰρ τούτου τοῦ σημαινομένου καὶ μετὰ εὐθείας ἔστιν ὅτε λέγουσιν αὐτό, ὡς ἐν τούτοις·

Ἀμφότερον, πολιός τε νόον πολιός τε κάρηνον.

δοκεῖ δὴ ἐπιρρηματικῶς μᾶλλον λέγεσθαι, ἀντὶ τοῦ κατ᾽ ἀμφότερα. οὕτω γὰρ καὶ τὴν ἔννοιαν σώζει καὶ τὸ παρακινδύνευμα λύει καὶ τῇ χρήσει οἰκείως ἔχει.

gl. 27. τὸν Ἀμφιάραον. — * ὥσπερ ἐν τῷ Ἱέρωνος Ὀλυμ-

---

4 Hoc scholium, quod in *a* extra scholiorum ordinem in marg. inferiore scriptum est, omm. *q z*. — *Ταλαονίδας*, quæ nonnullorum codicum est scriptura, est lemma in *a*, *ταλαϊνίδας* in *ξ'*, cett. omm. lemma. — *καὶ* omm. edd. — 5 *τούτου* om. Vrat. — *ταλαϊωνίδης* Vrat. *μ' φ'* et edd. ante Beck. — *εἶτα*] *καὶ* *ξ'*. — 6 *ἰαπετονίδης* *ξ'*. *ἰαπετιωνίδης* Vrat. *μ' φ'* et edd. ante Beckium. — 8 Hoc scholium om. *z*, in marg. inf. scriptum habet *a*, post *ἤγουν τῷ Ἀγησίᾳ* (p. 207, 10) legitur in *q*. — *εἰ μὲν οὖν οὐδετέρων* *ξ'*. — *οὐδετέρως* *a*. — 10 *εἰ δ'*] *οὐδ'* *q*. — *ἀῤῥεν.* *q ι''*. — *αἰτικὴν* *a*. — 12 *μετ' εὐθ.* *a*. — *ὅτε*] *ὃ* Vrat. — 14 *κάρινον* *a*, *κάρκοον* *ξ'*. — «Similes versus sunt Iliad. *χ*, 74. *ω* 516». *Boeckh*. — 15 *μᾶλλον*] *ταῦτα* *ξ'*. — 16 *γὰρ* omm. Vrat. *ι'' μ' ξ' φ'*. — *ἔνοιαν* *q*. — 17 *τῷ χρ.* *ξ'*. — 18 Glossa Thomana in *α'*, codd. mixtis (*z* excepto) et edd. in scholiorum corpus recepta est cum hac varietate: *ὀλυμπιονίκης* *ξ'*, *ὀλυμπιονίκῃ*

πιονίκει (Ol. I 165) ἔφαμεν τὸ ἀμφότερα ἐν τῷ Πέποιθα δὲ μή τινα ξένον, οὕτω καὶ τοῦτο. — 28. * * καί. — δεξιόν· ὅμοιόν ἐστι τῷ παρ' Ὁμήρῳ βασιλεύς τ' ἀγαθὸς κρατερός τ' αἰχμητής. — 29. πολέμῳ. — μάχεσθαι ἀγαθόν.

18—29. M. Ὦ Ἀγησία, πρὸς σὲ δέ ἐστιν ἔπαινος ἑτοῖμος, ἤγουν πρόχειρος, οὐ σὺν πόνῳ εὑρισκόμενος, ἅτε δηλονότι ὑφ' ἑτέρου προειρημένος, ὃν δικαίως ἐφθέγξατό ποτε ὁ Ἄδραστος διὰ γλώττης εἰς τὸν μάντιν τὸν Ἀμφιάραον τὸν υἱὸν τοῦ Ὀϊκλέος, ἡνίκα κατέσχεν ἡ γῆ αὐτόν τέ νιν, ἤγουν καὶ αὐτὸν ἐκεῖνον, καὶ τὰς ἵππους αὐτοῦ τὰς φαιδίμας, τουτέστι τὰς λαμπράς, τὰς περιφανεῖς. τῶν νεκρῶν γὰρ δὴ τῶν ἑπτὰ πυρκαϊῶν τελεσθέντων, ἤγουν συναχθέντων καὶ ἀποκαταστάντων ἐπὶ τῷ δοθήσεσθαι τῇ πυρᾷ· ἑπτὰ γὰρ ταγμάτων ὄντων ἑκάστου τάγματος οἱ πεσόντες εἰς ἰδίαν πυρκαϊὰν συνελέγοντο· εἶπεν ἐν ταῖς Θήβαις ὁ υἱὸς τοῦ Ταλαοῦ ὁ Ἄδραστος τοιοῦτόν τι ἔπος· ποθῶ ἰδεῖν δηλονότι τὸν ὀφθαλμὸν τῆς ἐμῆς στρατιᾶς, ἀντὶ τοῦ τὸν περιφανῆ·

Vrat. ι'' et edd. inde a Beckio, qui ad h. l. satis mire «Vulgo: ἐν τῷ Ἱέρωνος Ὀλυμπιονίκει. Utrumque vitium emendavi. Secundum carmen est in Theronem [nimirum Θήρωνος Ὀλυμπιονίκῃ edidit]» annotavit; sed idem hæc de scholio recenti ad v. 116: «Reliqui h. l. formam novam Ὀλυμπιονίκει, quam supra v. 27 mutaveram; etenim fieri potest, ut ista forma Ὀλυμπιόνικος (in Neutro) peculiaris et propria Grammatico recentiori fuerit.»

1 δέ om. Γ. — 5 σύνταξις κφ' in textu, ι'' μ' in marg. — ἐστιν ὁ ἔπ. codd. et edd. a q ι'' exceptis. — ἑτοῖμος aq, ἕτοιμος cett. — 8 ἀμφιάραον a q ι'', ἀμφιάρεων cett. — ὀϊκλέος a q, ὀϊκλέους cett. — 9 καί post ἤγ. omm. codd. mixti. — 10 φαιδίμους q ξ'. — τουτ. τάς] καὶ ι''. — τὰς π.] καὶ π. ι''. — 11 γὰρ om. a in fine versus. — 12 συναθροισθέντων z. — ἀποκαθιστάντων ξ'. — ἐπὶ τὸ δ. ι''. — 13 τῇ πειρᾷ μ'. — πραγμάτων q. — 14 ἐν ταῖς Θήβαις om. a. — 15 υἱὸς τοῦ λαοῦ a. — ὁ omm. codd. mixti. — τοιοῦτόν τι a q ι'' ξ', τοιοῦτό τι cett. — δηλονότι ἰδεῖν φ'. — 16 τὸν ante περ. omm. q z.

στατον καὶ ἐξαίρετον, τουτέστι τὸν Ἀμφιάραον, ἀμφότερον, ἐπιῤῥηματικῶς ἀντὶ τοῦ κατ᾽ ἀμφότερα, μάντιν τε ἀγαθὸν ὄντα, ἤγουν ἀγαθὸν τὴν μαντικήν, καὶ δουρὶ μάρνασθαι, τουτέστι καὶ ἀγαθὸν κατὰ τὴν ἐν πολέμῳ μάχην.

gl. 29. * *τοῦτο τὸ πρὸς Ἀμφιάραον ῥηθέν. καὶ γὰρ καὶ αὐτὸς ἀμφότερά ἐστι, καὶ ἀνδρεῖος καὶ ἐκ μάντεων καταγόμενος.* — 30. *τῷ Ἀγησίᾳ.* — *ὕμνου· οὗτος γὰρ αἴτιος τοῦ ὕμνου νικήσας γεγένηται.*

31. *Germ.* *Πάρεστι] τὸ ἐστί κατάφασις, ἡ κατάφασις δὲ συγκατάθεσις καὶ οἱονεὶ συναρμογή. ἐπεὶ δὲ οὕτως ταῦτά εἰσι, τεθήσεται τὸ πάρεστιν ἀντὶ τοῦ ἁρμόζει. τὸ γὰρ ἐστὶ κατάφασις.*

gl. 31. * * *Νῦν πάρστι γράφε διὰ τὸ μέτρον καὶ οὐ δύσεριέ τις· εἰ δ᾽ ἄλλως γράφεις, οὐκ ὀρθὸν ἔσται.* — 32. * *μάτην φιλόνεικος.* — ** *ὢν ἐγώ.* — 33. *οὖν.*

35. *Germ.* *Τοῦτο αὐτὸ προσμαρτυρήσω τὸ προδεδηλωμένον, ὅτι εἰς πάντα ὁ Ἀγησίας παραπλήσιος ἦν τῷ Ἀμφιαράῳ.*

---

1 *τόν* om. Vrat. — *ἀμφιάραον αq* (amphiaraum *ι''*), *ἀμφιάρεων* cett. — 2—4 *μάντιν — μάχην* om. *ι''*. — 3 *μάρνεσθαι q*. — 4 *ἐν τῷ πολ.* Vrat. *ε μ' ξ' φ'*. — 5 Glossa Thomana in *α'* et codd. mixtis et in edd. inter scholia legitur, sic: *Τὸ καὶ ἀνδρί] (σύνταξις* quod *μ'* in marg. habet, præmittitur in ed. Bœckh.) *τοῦτο τὸ (τὸ* om. *Γ*, add. minister in *ξ') πρὸς ἀμφιάραον* (sic *ΓΔ α' ι''*, *ἀμφιάρεον φ'*, *ἀμφιάρεων* cett.) *ῥηθὲν ἁρμόζει (ἐπὶ ἀμφιάρεω δηλονότι ῥηθὲν ἔπος πάρεστι νῦν ἀντὶ τοῦ ἁρμόζει ξ'* ex paraphr. Mosch.) *καὶ τῷ Ἀγησίᾳ. καὶ γὰρ καὶ (καὶ ὁ ι''*, *ὁ ε*, *καὶ* om. Vrat.) *αὐτὸς ἀμφ. ἐστι* etc. usque ad *καταγόμενος*. — 9 *Πάρεστι* scripsi pro *τὸ δὲ πάρεστι*. — *τὸ ἔστι U* et ed. Mommseni. — *ἡ* excidit apud Mommsenum. — 11 *πάρεστι* ed. Mommseni. — 14 *γράψεις α'*, *γράφεις* cett. qui quidem Triclinii notulas exhibent. — 16 Hoc scholium, cui in *U* et ed. lemma *Τὸ καὶ ἀνδρί* (v. 29. 30) præfixum est, ad v. 35 rettuli.

gl. 35. *τὸ πρὸς Ἀμφιάραον ῥηθέν. — τῷ Ἁγησίᾳ. — φανερῶς καὶ ἀληθῶς.*

36. *Germ.* *Εἰκότως ἐπιτραπῆναι παρὰ τῶν Μουσῶν αἰτιᾶται, ἐπειδὴ οἶδεν ἁρμοστὸν καὶ ἁρμόδιον ὁ ποιητὴς τὸ ὀμνύειν τοῖς ἐγκωμιάζουσι τὸν ὅρκον ἐπιτρεπόντων τῶν σοφῶν.*

gl. 36. *τοῦτο εἰπεῖν με παραχωρήσουσι· λέγει δὲ διὰ τὴν αὐτοῦ γνώμην, ὡς ἀκριβῶς τοῦτο ἐπισταμένην.*

29—36. *M.* *Τοῦτο τὸ ἐπὶ Ἀμφιαράῳ δηλονότι ῥηθὲν ἔπος πάρεστι νῦν, ἀντὶ τοῦ ἁρμόζει, καὶ τῷ ἀνδρὶ τῷ Συρακουσίῳ, τῷ δεσπότῃ τοῦ μετὰ χορείας ὕμνου, ἤγουν τῷ Ἁγησίᾳ. οὔτε φιλόνεικος ὢν* (32) *οὔτε τις ἄγαν σκληρὸς εἰς ἔριν, καὶ μέγαν ὅρκον ὀμόσας, τοῦτο τὸ ἔπος, ἤγουν τοῦτον τὸν ἔπαινον ἀληθῶς αὐτῷ, τῷ Ἁγησίᾳ, μαρτυρήσω. αἱ γλυκύφωνοι δὲ ᾠδαὶ ἐπ' ἐμοὶ τοῦτο δώσουσιν, ἤγουν οὐκ ἀντιτάξονται, συνδραμοῦνται τῇ μαρτυρίᾳ.*

gl. 37. *ἡνίοχε τοῦ Ἁγησίου, ἤγουν ὦ ψυχὴ ἐμή. — ἤγουν ὑπὸ ζυγὸν ἄγαγε· λέγει δὲ ἀντὶ τοῦ ἄρχου ἐπαινεῖν τοὺς Ἁγη-*

---

3 »Hic Scholiasta ‚Recte' inquit ‚poeta a Musis veniam petit, quoniam eæ hoc permiserint, quippe aptum et decorum choro esse novit iuramentum facere, quum sapientes id permittant vel imperent'« *Mommsen.* — 8 *σύνταξις ι'' μ' ξ' φ'* in marg. — Lemma *τὸ καὶ ἀνδρὶ* delevi cum *aq*. — *τὸ* add. miniator in *ξ'*. — *ἐπιαμφιάρεων ξ'*. — *ἀμφιαράῳ aq ι''*, *ἀμφιάρεῳ* cett. — 9 *τῷ* $^{\beta}$*συραχ.* $^{\alpha}$*ἀνδρί ξ'*. — 10 *τῷ μετὰ z ξ'*. — 10. 11 *οὔτε φιλ.* — *ἔριν* ex *aq* est, in cett. ex Triclinii sententia *οὔτε δύσερίς τις ὢν (ὢν* excidit in ed. Bœckh.) *τουτέστιν ἄγαν σκληρὸς εἰς ἔριν οὔτε φιλόνεικος (οὔτε φιλόν.* om. *ι'')* legitur. — 11 *οὔτέ τις a.* — 13 *ἀγ. δηλονότι μαρτ. q* et ed. Ox. — *μαρτυρήσει z.* — 14 *ἐπ' ἐ* (sic) *a.* — 17 sq. *ἄγαγε· λ. δὲ ἀντὶ τ. ἄρχου ἐπ.* (om. *τοὺς Ἀγ. ἵππους)* Vrat., *ἄγαγε· λ. δὲ ἀντὶ τ. τὰς ἀγ. ἵππους ἄρχου ἐπ. μ'*, *ἄγαγε· ἀντὶ τοῦ ἄρχου ἐπ.· λ. δὲ τοὺς ἀγ. ἵππους α'*; ceteros non consului, sed *A* librum secutus sum.

σίου ἵππους. — 38. *ἤτοι τὰς ἡμιόνους, περιφραστικῶς.* — 39. *καθά ἐστι.*

37—39. *Germ.* *Ἡ σύνταξις αὕτη. ἀλλ' ὦ Φίντις καὶ ὦ ἡνίοχε, ὦ νοῦ, ζεῦξον ἤδη μοι τὸ σθένος τῶν ἡμιόνων, ᾗ καὶ καθὰ τάχος καὶ ταχέως, αὐτόχρημα. ἢ οὕτως. ἀλλ' ὦ Φίντις, ζεῦξον ἤδη μοι τὸ σθένος τῶν ἡμιόνων, αἳ καὶ αἵτινες, ἤγουν αἱ ἡμίονοι, ἄντικρυς ὑπάρχουσι τάχος καὶ ταχέως, αὐτόχρημα· αὐτὴ ἡ ποιότης, ἡ ταχυτής.*

gl. 39. * *ἵνα.* — * * *καί.* — *ἤτοι ἐγκωμίου προσήκοντι τόπῳ.* — 40. *πορεύσομεν.* — *τὸ ἅρμα ἤτοι τὸν ὕμνον.* — * * *καί.* — *τῶν Ἀγησίου προγόνων.*

39. 40. *Germ.* *Ὄφρα κελεύθῳ τ' ἐν καθαρᾷ] ἵνα ἐπιβιβάσωμεν καὶ πορεύσωμεν ἐν καθαρᾷ καὶ ἀνεμποδίστῳ ὁδῷ τὸν ὄχον καὶ τὸ ἅρμα καὶ ὄχημα.*

40. 41. *Th.* *Τὸ πρὸς εἰς τὸ γένος συναπτέον, οὕτω· καὶ ἵκωμαι καὶ ἔλθω καὶ πρὸς τὸ γένος τῶν ἀνδρῶν.*

gl. 41. *αἱ τοῦ Ἀγησίου ἡμίονοι, ἤγουν τὸ αὐτὰς ἐγκωμιάζειν.* — 42. * † *ὁδηγῆσαι ἡμᾶς.* — 43. *τὴν τοῦ ἐγκωμίου.* — *ἐστεφανοῦντο γὰρ καὶ οἱ ἵπποι.* — 44. ** *ἤτοι ἐστεφανώθησαν.* — ** *πρέπει.* — *εἰσόδους, ἀρχάς.* — 45. *ἀνοιγνύναι.* — *ταῖς ἡμιόνοις.*

37—45. *M.* *Ἀλλ' ὦ Φίντις, ἤγουν ἡνίοχε· πρὸς τὸν ἑαυτοῦ δὲ λέγει νοῦν· ζεῦξον ἤδη ἐμοί, ἤγουν ἀπὸ τοῦ νῦν, τὸ σθένος τῶν ἡμιόνων, τουτέστι τὴν δύναμιν τοῦ λόγου τοῦ περὶ τῶν ἡμιόνων τοῦ Ἀγησίου καθ' ὅσον τάχος,* (39) *ὅπως ἐν ὁδῷ κα-*

---

3 Delevi *δὲ* post *ἡ.* — 13 *ὁδῷ* excidit apud Mommsenum. — 15 Hoc scholium ex *A α' ι''* accessit. — 22 *σύνταξις μ' ξ'* in marg., Bœckh in textu. — *ὦ φίντις* est lemma in *ξ'.* — *ἐνίοχε q.* — 23 *δὴ λ. ξ'.* — *ἀποτουνῦν a.* — 25 *τοῦ ἀγ. τοῦ καθ' ὃ τάχους ξ'.* — *Ἀγησία ξ* — *καθόσον qz.*

θαρρᾷ, τουτέστι δικαίᾳ, ἀναβιβάσωμεν τὸν ὄχον, ἤγουν τὸ ὄχημα, ἀντὶ τοῦ τὸν ὕμνον τὸν ἐπὶ τῷ ὀχήματι, ἀφίκωμαί τε καὶ πρὸς τὸ γένος τῶν ἀνδρῶν, ἤγουν πρὸς τὸν Ἴαμον. κεῖναι γάρ (41), ἤγουν αἱ ἡμίονοι τοῦ Ἀγησία μόναι δηλονότι ἐξ ἁπάντων τῶν ἄλλων ἵππων ἐπὶ τὴν ὁδὸν ταύτην, ἤγουν τὴν πρὸς τὸ γένος τοῦ Ἀγησία ἐπίστανται ἡγεμονεῦσαι, ἤγουν ὁδηγῆσαι, προοδοποιῆσαι· ἐπεὶ στεφάνους ἐδέξαντο, ἤγουν ἐστεφανώθησαν ἐν τῇ Ὀλυμπίᾳ. χρὴ τοίνυν (44) ἀναπιτνάμεν, ἤγουν ἀναπεταννύειν, ἀνοίγειν, χάριν αὐτῶν, τῶν ἡμιόνων δηλονότι, τὰς πύλας τῶν ὕμνων, ἀντὶ τοῦ χρὴ ὑμνεῖν αὐτάς. — Ἀπὸ τοῦ πιτνῶ, τὸ πίπτω, καὶ τῆς ἀνὰ προθέσεως ἀναπιτνῶ. ἀφ' οὗ ἀναπιτνᾶν καὶ Δωρικῶς ἀναπιτνάμεναι καὶ ἀναπιτνάμεν ἀντὶ τοῦ ἄνω κεῖσθαι ποιεῖν, ἤγουν ἀνοίγειν, ἀναπετᾶν. ἀποβάλλει δὲ τὸ προσγεγραμμένον καὶ συστέλλεται κατὰ τὴν ἀκολουθίαν τοῦ ἔμεναι, δόμεναι, θέμεναι.

46. *Th.* Εὐρώτου τοῦ Λακωνικοῦ ποταμοῦ θυγάτηρ γέγονε

---

1 ἀναβιβάσομεν Vrat. μ' φ', ἀναβηβάσωμεν z, ἀναβιώσωμεν q. — 2 τοῦ om. ι''. — ἴκωμαί τι ante ἀφίκ. add. [q?] edd. — 3 τῶν om. ι''. — 'κεῖναι z. — 4 ἀγησίου codd. mixti et edd. — 5 ἄλλων om. ξ'. — 6 ἀγησίου codd. mixti et edd. — ἐπίστατα a. — 8 ἀναπετανύειν μ', ἀναπιταννύειν ξ'. — 10 Hoc comma etiam glossator libri *b* in marg. adscripsit, qui in calce οὕτω καὶ τὸ ἀναπιτνᾶν ἀναπετάμεναι (sic) λέγεται Δωρικῶς καὶ ἀναπετάμεν addidit. — Ante ἀπὸ lemma ἀναπιτνάμεν est in edd. inde a Beckio. — 11 ἀναπιτνῶν Vrat. — ἀναπιτνᾶς ξ', ἀναπιτνάμεν edd. inde a Beckio. — 11. 12 ἀναπιτνᾶν δωρ. καὶ ἀναπ. z, qui om. ἀντὶ — θέμεναι. — 12 ἀναπιτνάμεν pro ἀναπιτνάμεναι a. — τοῦ ἀνακεῖσθαι q. — 13 ἀποπετᾶν Vrat. — δὲ] γὰρ ι''. — τὸ om. Vrat. — 14 τοῦ] αὐτοῦ q. — ἔμμεναι Vrat. ι'' μ' ξ' φ' et edd. ante Oxx. — 14. 15 δόμμεναι θέμμεναι ι''. — 16 Similia habet glossator libri *b*: Τοῦ Εὐρώτα τοῦ Λακωνικοῦ ποταμοῦ ἦν θυγάτηρ ἡ Πιτάνα. αὕτη ὑπὸ τοῦ Ποσειδῶνος συλλαβοῦσα ἐτέκετο τὴν Εὐάδνην καὶ τεκοῦσα δέδωκε κρυφίως τοῖς

Πιτάνα. αὕτη ὑπὸ Ποσειδῶνος ἔγκυος γενομένη καὶ τῷ δοκεῖν εἶναι παρθένος λανθάνουσα, ὅτε καιρὸς ἧκει τοῦ τοκετοῦ, γεννήσασα τὴν Εὐάδνην δέδωκε ταῖς ἀμφιπόλοις λάθρα πρὸς Αἴπυτον τὸν Ἀρκάδων βασιλέα ἀγαγεῖν τὸ βρέφος. ἄλλοι δέ φασι, καὶ ἀληθῆ λέγοντες, ὡς ἡνίκα τοῦτο ἐγέννησε, διὰ τῶν θεραπαινίδων εἰς ἐρημίαν ἐξέθηκεν· ὅθεν ἀνελόμενος Αἴπυτος ἔτρεφεν. ὃ καὶ Πίνδαρος εἰδώς, ἐπειδὴ ἐγκώμιον Ἀγησίου ποιεῖται, ἀντὶ τοῦ εἰπεῖν ἐκθεῖναι αὐτὴν τὸ βρέφος ἐκπέμψαι πρὸς Αἴπυτον λέγει. ἀτιμίαν γὰρ Ἀγησίου εἶχεν ἄν.

gl. 46. τὴν Ἀγησίου προμήτορα. — ποταμοῦ Λακωνικοῦ. — 47. ἀναδραμεῖν με τῷ ὕμνῳ. — ἐγκαίρως· δεῖ γὰρ τοὺς προγόνους αὐτοῦ πρῶτον εἰπόντα εἶτα καὶ ἐπ᾽ αὐτὸν καταβῆναι· — 48. ἡ Πιτάνη. — 49. * * ἑνωθεῖσα γαμικῶς. — * † τῷ υἱῷ τοῦ Κρόνου. — 50. τὴν ὥσπερ ἴα τρίχας ἔχουσαν. — γεννῆσαι. — ** οἱ γράφοντες ἰοπλόκαμον ἀγνοοῦσι τὰ μέτρα.

51. *Th.* Τοῦτο διπλῶς νόει. φασὶ δὲ κρύψαι τὴν παρθενίαν ἐν τοῖς κόλποις τὴν ὠδῖνα, τουτέστιν ἡ παρθενία ἤτοι τὸ δοκεῖν παρὰ πάντων παρθένον εἶναι ἔκρυψε τὴν συμβᾶσαν αὐτῇ ὑπὸ Ποσειδῶνος ὠδῖνα, ἀντὶ τοῦ λανθάνειν ἐποίησεν. ἢ οὕτω.

δούλοις ἀγαγεῖν τὸ βρέφος πρὸς Αἴπυτον τὸν βασιλέα τῶν Ἀρκάδων. αὕτη δὲ ἡ Πιτάνα ἔκτισε καὶ πόλιν καλέσασα αὐτὴν ὁμώνυμον ἑαυτοῦ (sic). — ἱστορία περὶ τῆς πιτάνης ε α' μ' φ' in marg., Boeckh in textu (in cett. edd. nihil nisi ἱστορία legitur). — Lemma πρὸς πιτάναν δὲ (παρ᾽ εὐρώτα πόρον add. Vrat.) delevi cum *Δ* et edd. inde a Beckio.

1 ἔγκυος γενομ.] ἐγγενομένη ε μ' φ', ἐγγινομένη ex ἐγγεινομένη Vrat., ἐγγενομένης ξ'. — 2 λαμβάνουσα ι''. — ὁ καιρὸς ξ'. — ἥκει *Δ*. ἧκε cett. (ἧκε καιρός ι''). — 3 τοῖς ἀμφ. *Δ*ι''. — 4 αἰγυπτὸν ξ'. — τὸν *Δ* Vrat. α' μ' φ', τῶν ξ', omm. cett. (*arcadum regem* est in ι''). — 4. 5 δὲ φασὶ *Δ*α'. — 6 αἴγυπτος ξ'. — 7 ἔτρεφεν *Δ* ε α' ι'' μ' ξ' φ', ἔθρεψεν cett. — 8 τὸ βρ. αὐτὴν *Δ*. — 9 ἡγησίου ε, Ἀγησίας coni. Beck. — 16 Hoc scholium ex *ΓΔ* edidi.

κρύψαι δὲ τὴν ἐν τοῖς κόλποις ὠδῖνα τὴν παρθενίαν, τουτέστι τὸ ἐγκύμονα αὐτὴν ὑπὸ Ποσειδῶνος γενέσθαι, πόῤῥω αὐτὴν τῶν παρθένων ἐποίησε. τὸ δὲ ἐν τοῖς κόλποις λέγει διὰ τὸ εἶναι τὴν ὠδῖνα ἐντὸς κόλπου. εἰ καὶ εὕρηται παρά τισι τῶν βιβλίων κρύψε τὸ ψε ψιλὸν ἀντὶ τοῦ ἔκρυψε κατὰ συγκοπὴν τοῦ ε, ἀλλ' οὐκ ἔχει λόγον· ἀμήχανον γὰρ οὕτω συνταχθῆναι· οὐ γάρ ἐστι τὸ ὠδῖνα εὐθεῖα, ἀλλ' αἰτιατική, ὥστε ζητητέον τοὺς οὕτω λέγοντας, τίς ἔκρυψεν;

Tr. Τοῦτο διπλῶς νόει. ἔκρυψε δὲ ἡ Πιτάνη ἐν τοῖς κόλποις τὴν παρθενίαν καὶ παρθενικὴν ὠδῖνα, ἤγουν ἣν συνέλαβεν ὠδῖνα ἔκρυψε παρθένος εἶναι δοκοῦσα. ἢ οὕτως· ἔκρυψε δὲ ἐν τοῖς κόλποις τὴν ὠδῖνα τὴν παρθενίαν, τουτέστι τὴν κρυφίως γενομένην. Παρθένιοι γὰρ λέγονται παῖδες οἱ λάθρα τικτόμενοι παρὰ τῶν ἔτι νομιζομένων εἶναι παρθένων. οὕτω που καὶ Ὅμηρός φησι (Il. *Π* 179)·

> Τῆς δ' ἑτέρης Εὔδωρος Ἀρήιος ἡγεμόνευεν
> Παρθένιος.

ἐμοὶ δὲ δοκεῖ κάλλιον παρθενίᾳ γράφειν, ἵν' εἴη σαφὴς ὁ λόγος οὕτως· ἔκρυψε δὲ τὴν ἐν τοῖς κόλποις ὠδῖνα ἐν τῇ παρθενίᾳ, ἤτοι ἐν τῷ δοκεῖν ἔτι παρθένος εἶναι. εἰ δ' ἐπ' εὐθείας τὸ παρθενία νοήσεις λέγων, ἔκρυψε δὲ ἡ παρθενία τὴν ἐν τοῖς κόλποις ὠδῖνα, οὐ μόνον σαφέστερος ἂν εἴη ὁ λόγος, ἀλλὰ καὶ κατὰ σύνταξιν ἀρίστως ἔχων. οἱ δὲ γράφοντες τὸ ψαι

9 Lemma κρύψε δὲ παρθενίαν est in ξ; ἡμέτερον margo α', τοῦ τρικλινίου margo ι''. — 10 ἣν om. ξ. — 10. 11 ὠδῖνα παρύψε παρθ. ξ. — 11 δ' ἐν edd. — 12 τὴν ante ὠδ. om. ε. — 14—17 οὕτω — Παρθένιος om. ι''. — 15 φασι ε. — 16 ἄδωρος ἀρίηος ξ. — ἡγεμόνευε ξ' et edd. ante Boeckhium. — 18 παρθενία ι'' μ' φ', παρθενίαν ξ'. — ἵν' ᾖ ι''. — 19 δὲ] διὰ ε, om. Vrat. — 20 ἤγουν ι'', omm. [μ'] edd. — εἰ δὲ ι''. — 21 νοήσῃς ι'', ἤσεις (sic) Vrat., θήσεις edd. — 23 ἀορίστως Vrat.

δίφθογγον, ἵνα πρὸς τὸ λέγεται συντάξωσιν, ἀγνοοῦσι τὰ μέτρα.

gl. 51. * *λέγεται.* — * *τὴν παρθενικήν.* — 52. *ἤγουν τῷ νενομισμένῳ τοῦ τοκετοῦ.* — 53. * *τὰς δούλας.* — * *αὐταῖς.*

54. *Germ. Τὸ πορσαίνειν ἀντὶ τοῦ τρέφειν. γίνεται δὲ ἀπὸ τοῦ πόρσω, τὸ μακράν, ἐξ οὗ καὶ πόρσιον τὸ μακρότερον. τῷ μηκύνειν γοῦν παρέπεται ἡ αὔξησις, ἡ δὲ αὔξησίς ἐστι καὶ ἐν τοῖς ἐμψύχοις σώμασιν οὐκ ἄλλως εἰ μὴ διὰ τροφῆς. ῥηθήσεται πορσαίνειν οὖν τὸ τρέφειν.*

gl. 54. * *τρέφειν καὶ αὔξειν.* — * † *δοῦναι.* — * † *τῷ υἱῷ τοῦ Ἐλάτου τῷ Αἰπύτῳ.* — 55. *τὴν Εὐάδνην.* — * * *ὁ Αἴπυτος.* — * † *ἐβασίλευεν.* — * * *ἐν.*

46—55. M. *Πρὸς τὴν Πιτάνην δὲ τὴν τοῦ ὀνόματος αὐτῆς μεταδοῦσαν τῇ πόλει τῇ παρὰ τὸ ῥεῦμα τοῦ Εὐρώτα τοῦ ποταμοῦ δεῖ σήμερον ἀπελθεῖν ἐγκαίρως, ἥτις* (48) *τῷ Ποσειδῶνι μιγεῖσα τῷ υἱῷ τοῦ Κρόνου λέγεται τεκεῖν αὐτῷ θυγατέρα μελανοπλόκαμον τὴν Εὐάδνην. κρύψε* (51) *δὲ παρθενίαν ὠδῖνα κόλποις ἡ Πιτάνη, ἤγουν συνέλαβε δὲ ἐν τοῖς μυχοῖς τῆς γαστρὸς ἐγκυμόνησιν, σύλληψιν παρθενικήν. ἀσάφειάν τινα ἔχει ὁ λόγος, ταύτης δὲ αἰτία ἡ διάλυσίς ἐστιν. εἰ γὰρ συνημμένος ὁ λόγος ἐλέγετο, ἦν ἂν σαφὴς ἔχων οὕτως. ἥτις τῷ Ποσειδῶνι μιγεῖσα τῷ υἱῷ τοῦ Κρόνου, λέγεται συλλαβοῦσα ἐν τοῖς μυχοῖς τῆς*

---

5 Delevi *δὲ* post *τό.* — **6** *μακρότερον* scripsi pro *μακρόν* collato scholio Germ. ad Ol. I 183. — **7** *οὖν* ed. Mommsen. — **8** *εἰ διὰ μή* *U*, tacite corr. Mommsen. — **13** *πρὸς πιτάναν δὲ* est lemma in ξ', in cuius margine *περὶ τῆς πιτῆς* (sic) *πιτάνης* legitur. — *σύνταξις z* et Boeckh in textu, ξ' φ' in marg. — *τὴν* ante *τοῦ* omm. *z* ξ'. — **14** *τὴν πόλιν τὴν π. z.* — *τῇ* ante *παρὰ* om. ξ'. — *τοῦ* ante *ποτ.* om. ι''. — **15—17** quae neptuno mixta filiam peperit euadnen ι''. — **17** *κρύψαι* *q*. — **18** *ἡ Πιτάνη (πετάνη a)* ex *aq* addidi. — *συνέλαβεν δὲ q, δὲ* om. *a*. — **21** *ἂν ἀσαφὴς* ι'', *ἀσαφὴς* (om. *ἂν*) ξ'. — *τῷ* om. ι''. — **22** *τῷ υἱοῦ* φ'. — *τῷ υἱῷ τ. Κρ.* om. ι''. — *λέγεται* om. *z*.

γαστρὸς σύλληψιν παρθενικὴν τεκεῖν αὐτῷ θυγατέρα μελανοπλόκαμον τὴν Εὐάδνην. κατὰ τὸν μῆνα δὲ τὸν ὡρισμένον (52) τοῦ τόκου, ἤγουν αὐτίκα δὲ καθ' ὃν μῆνα ἔτεκεν αὐτήν, πέμπουσα ἀμφιπόλους, ἀντὶ τοῦ προσπόλους, ἤγουν δούλους, ἐκέλευσεν αὐτοῖς δηλονότι δοῦναι τὸ βρέφος τῷ ἥρωι (54) τῷ Ἐλατίδῃ, ἤγουν τῷ Αἰπύτῳ τῷ υἱῷ τοῦ Ἐλάτου πορσαίνειν, ἤγουν ἀνατρέφειν, αὔξειν. ἀπὸ τοῦ πόῤῥω πόρσω, καὶ ἀπὸ τούτου πορσαίνω, τὸ εἰς προκοπὴν ἄγω καὶ πόῤῥω ποιῶ ἐκείνου, ἐφ' ᾧ ἐστιν.

55. *Th.* Πάντες μὲν οἱ ὑπομνηματισταὶ τῆς Ἀρκαδίας εἶναι πόλιν τὴν Φαισάναν διεδέξαντο, ὁ δὲ Δίδυμος τῆς Ἤλιδος αὐτὴν εἶναί φησι καὶ ὑπεραπολογεῖται τοῦ ῥητοῦ οὕτως, ὅτι ποτὲ οἱ Ἀρκάδες καὶ τῆς Ἤλιδος ἐβασίλευον κατὰ τὸν χρόνον τοῦ Αἰπύτου. οἱ δὲ βουλόμενοι τὴν Φαισάναν Ἀρκαδικὴν εἶναι τὸ περὶ Ἀλφειοῦ οὕτως ἀπολύονται, ὅτι διὰ Φαισάνης ἔχει ὁ ποταμὸς τὰ ῥεύματα· φέρεται γὰρ ἐξ Ἀσίας κώμης Ἀρκαδικῆς· ἢ ὅτι αἱ πηγαὶ τοῦ Ἀλφειοῦ ἐκ Νασσέως τῆς Ἀρκαδικῆς εἰσι καὶ μεταποιοῦνται αὐτοῦ οἱ Ἀρκάδες.

gl. 56. * ὄνομα πόλεως. — † πόλει. — 57. ἐν τῷ Αἰπύτῳ.

---

2 ὡρισμένων *a*. — 4 τοὺς ἀμφ. *q*. — προπόλους *q*, πρὸς πόλους *ξ'*. — ἢ δ. *q*. — 5 αὐτοῖς] eam *ι''*. — 6 ἠγ. ἐλάτου τῶ αἰπύτω *q*. — ἐλάττου *ξ'*. — 7 Novum comma cum ἀπὸ τοῦ incipiunt codd. mixti, nisi quod ἀπὸ τοῦ — ἐστιν om. *ε*. — 10 Hoc scholium om. *Γ*. — μὲν om. *ι''*. — ὑπομνησταὶ *ξ'*. — 11 τὴν Φαισ. om. *Α*. — 12 εἶναι φησὶ *Α α' ι''* alii codd.; — φασὶ (η supra) *ξ'*, φασι *ε*. — τοῦ εὔρη (τ supra) οὕτως *ξ'*. — 13 καὶ om. *ι''*. — μετὰ τὸν *ξ'*. — 14 τὸ] τοῦ *ξ'*. — 15 οὕτω *ι''*. — ἀπολύονται *Α*, ἀποδιδόασιν cett. — 16 ἐξασίας *ξ'*, ἐξ ἀσέας [sic Vrat. ?] coni. Heyne. — κ. ἀρκ. κώμης *ι''*. — 17 ἐκ νασσέως *Α α' ι''*, ἐκ νασέας Vrat., ἐκ νασέος *φ'*, ἐξ Ἀσέως edd. (ἐξ Ἀσέας coni. Heyne), ἐκ νασέως cett. — 18 αὐτοῦ quod Heyne coni., *Α α' ι''*, αὐτὴν *ξ'*, om. Vrat., αὐτῇ cett. Beck αὐτῆς coniecerat. — ἄρκαδες *Α*.

— * † ἡ Εὐάδνη. — 58. μετέσχεν. — 59. εἰ καὶ κατ' ἀρχάς. — 60. κρύπτουσα. — τοῦ Ἀπόλλωνος. — τὴν ὠδῖνα, τὸ σπέρμα. — 61. ὁ Αἴπυτος. — † * * εἰς τὴν Πυθῶνα. — * † τῇ ψυχῇ αὐτοῦ. — βίᾳ κατασχών. — † συσφίξας, κατασχών. — 62. ἣν πρὸς αὐτὴν ὀργὴν εἶχε. — ποταπόν; ἄῤῥητον. — 63. ταχείᾳ. — * † φροντίδι. — 65. ** περὶ ταύτης. — ἀφορήτου. — τῆς δι' Εὐάδνην λύπης. — † ἤγουν τῆς φθορᾶς τῆς κόρης. — 66. * † ἡ Εὐάδνη. — ἐρυθράν. — 67. ἀποῤῥίψασα· οὕτω γὰρ ποιοῦσιν αἱ τίκτουσαι. — 68. καλπάριον· ἐξῆλθε γὰρ τῆς πόλεως δῆθεν ἀντλήσουσα ὕδωρ.

69. *Germ.* Κυανέας] ἢ τῆς βαθυτάτης κατὰ τοῦ δάσους ἢ τῆς ὑπὸ τῶν ἴων χροίας μελαινομένης.

gl. 69. ὑπὸ τὸ δάσος τῶν ἴων. — * ἤτοι τὰς σκιώδεις διὰ τὸ δάσος ἢ ὅτι τὰ ἴα τοιαύτην ἔχει χροιάν.

69. 70. *Tr.* Κυανέας ἢ τὰς σκιώδεις διὰ τὸ δάσος ἢ ὅτι τὰ ἴα τοιαύτην ἔχει τὴν χροιάν. θεόφρονα δὲ λέγει τὸν Ἴαμον ὡς γινώσκοντα τὰ πάντα διὰ τῆς μαντικῆς ὥσπερ οἱ θεοί.

55—70. *M.* Ὅστις, ἤγουν ὁ Αἴπυτος, ἀνδρῶν Ἀρκάδων ἐβασίλευε κατὰ τὴν πόλιν τὴν Φαισάναν, ἔλαχέ τε, ἤγουν ἐκληρώθη οἰκεῖν τὸν Ἀλφειόν· ἀπὸ τῆς Φαισάνης γὰρ καταῤῥεῖ ὁ Ἀλφειός, καταντᾷ δὲ εἰς τὴν Ἦλιν· τὸ δὲ μέσον αὐτοῦ κατὰ τὴν Ἐπίδαυρον· ἔνθα ἀνατραφεῖσα (57) αὐτή, δηλονότι ἡ Εὐάδνη,

---

10 Lemma ego addidi. — 11 χρόας? χροιᾶς? — 14 Scholium Tricl. om. z. — ἤγουν ι'' ξ'. — τὰ σκιώδ. μ'. — 15 τὰ om. φ'. — τὴν om. ξ'. — λέγω ξ'. — Ad v. 70 glossæ ἀντὶ τοῦ ἔτεκεν et υἱόν leguntur in a. — 17 σύνταξις μ' φ' in marg., Bœckh in textu. — Lemma ὃς ἀνδρῶν Ἀρκάδων (ἄνασσε add. Vrat.) omisi cum aq. — 18 τὴν ante Φαισ. om. φ'. — ἔλαχέ τις ἡγ. ξ'. — ἡγ. ἐκληρ. om. ι''. — 19 εἰπεῖν φ'. — καταρεῖ ξ', κατεῖ q. — 20 καταντά Vrat. — ἥλην q. — 21 δ' post ἔνθα Oxonienses secutus omisi cum a q ι''. — δηλ.] ἤγουν ξ'.

ὑπ' Ἀπόλλωνος πρῶτον ἔψαυσεν Ἀφροδίτης γλυκείας, ἀντὶ τοῦ ἱμερτῆς. κλέπτουσα δέ, ἤγουν πειρωμένη λαθεῖν ἐγκυμονοῦσα τὸν γόνον, τουτέστι τὸ σπέρμα τοῦ θεοῦ, ἤτοι τοῦ Ἀπόλλωνος, οὐκ ἔλαθε τὸν Αἴπυτον ἐν παντὶ χρόνῳ, ἤγουν διὰ παντός. ἀλλ' ὁ μὲν (61) γνοὺς θυμὸν οὐ φατόν, ἤγουν ἄρρητον, μέγαν, ἐν τῇ ψυχῇ κατασχὼν σὺν φροντίδι ὀξείᾳ, τουτέστιν ἐπιτεταμένῃ, ἀπὸ μεταφορᾶς τῶν ὀξέων βελῶν τῶν βλάπτειν μάλιστα δυναμένων, ἀφανὴς ἐγένετο ἀπερχόμενος Πυθῶναδε, ἤγουν εἰς τὴν Πυθῶνα, μαντευσόμενος περὶ ταύτης τῆς ἀφορήτου βλάβης, τουτέστι τῆς κρυφίου διακορήσεως. ἡ δέ (66), ἤγουν ἡ Εὐάδνη, καταθεῖσα τὴν ζώνην αὐτῆς τὴν φοινικόκροκον, ἤγουν τὴν τῷ κρόκῳ βεβαμμένην καὶ τὴν καλπίδα τὴν ἀπὸ ἀργύρου κατεσκευασμένην (ἔστι δὲ ἡ κάλπις ἀγγεῖόν τι ὑδροδόχον) λόχμας ὑπὸ κυανέας (69), ἤγουν ὑποκάτω δένδρων σκιᾶς βαθείας ποιητικῶν διὰ τὴν πυκνότητα ἔτεκεν υἱὸν θεόφρονα, ἤγουν ἐνθέου φρονήσεως δεκτικόν. τοῦτο δέ φησι διὰ τὴν ὕστερον ἠσκημένην αὐτῷ μαντικήν.

gl. 71. τῇ Εὐάδνῃ. — ὁ χρυσόκομας ἔχων Ἀπόλλων.

---

1 ὑπὲρ ἀπ. z. — 2 μαθεῖν ξ'. — ἐγγυμ. φ'. — 2. 3 τὸν γόνον ἐγκ. z, τὸν ἐγκ. γόνον μ'. — 3 τουτ. (om. τὸ) σπέρμα ι''. — 4 αἴγυπτον q. — ἤγ. διὰ παντός om. z. — Ante ἀλλ' lemma ἀλλ' ὁ μὲν Πυθῶναδε (πυθῶναδε ι'', πυθῶνα δὲ ξ') est in codd. et edd. aq exceptis; præterea σύνταξις ι'' μ' φ' in marg., Boeckh in textu. — 6 ὀξείᾳ Vrat. ξ'. — ἐπιτεταμένοι a. — 7 ὀξέω ι''. — τοῦ βλ. z μ' φ'. — 7. 8 δυνουμένων a. — 8 πυθῶναδε cum plurimis codd. vett. in textu aq, πυθώναδε cett. — τὴν] τὸν q ξ', om. Vrat. — 8. 9 ἤγ. — Πυθῶνα om. ι''. — 11 αὐτῆς ι''. — τῷ ex aq addidi. — 12 τὴν ante ἀπὸ om. ι''. — κατασκ. ξ'. — 13 ἔστι] ὅτι a. — ἀγγ. τὸ q, τὸ ἀγγεῖον ι'' ξ'. — ἀγγ. τι ὑδρ. om. z. — λογχόμας (sic) q, λόγχμας μ', om. z. — 13. 14 ὑποκυαν. q. — 14 ὑπὸ κάτω a Vrat. ξ φ', ὑπόκατω q. — σκιὰς ξ'. — ποιτικῶν q. — 15 ἔτεκε (om. υἱόν) ι''. — 16 τὴν] ἐξ a. — 16. 17 μαντικὴν αὐτῷ ι''.

— ποταπήν; πραεῖαν. — 72. * θεὰ ἔφορος τοῦ τοκετοῦ. — ** καί. — * ἵνα τὰ κάλλιστα τῷ παιδὶ ἐπικλώσωσι· τοῦτο δὲ ἐποίει σεμνύνων τὰς αὐτοῦ γονάς. — * * Ἐλευθὼ γράφε καὶ μὴ Εἰλείθυια. οὕτω γὰρ ἁρμόζει τῷ μέτρῳ. — 73. * ἐν τούτῳ γὰρ τῷ τῆς γαστρὸς μέρει ἐστὶ τὸ ἔμβρυον· ἢ τὸ σπλάγχνων ἀντὶ τοῦ γαστρὸς ἁπλῶς. — 74. * γέννας τῆς ἐπιθυμητῆς, ἢ διότι θεοῦ παῖδα ἐγέννα, ἢ ὅτι πᾶσαι ἐπιθυμοῦσι τεκεῖν καὶ τῶν ἐντεῦθεν ἀπηλλάχθαι κακῶν. — 75. τὸν Ἴαμον. — λυπουμένη ἡ μήτηρ. — † κυρίως κνίζεσθαι τὸ ἐρωτικῶς λυπεῖσθαι. — 76. * * ἀφῆκε. — γλαυκόφθαλμοι. — 77. * * τῶν θεῶν. — προστάξεσι καὶ γνώμαις.

79. Germ. Ἰῷ μελισσᾶν] ἰῷ τῷ ὡς ἀπὸ μελισσῶν· μετετρέπετο γὰρ τῇ θεῶν κελεύσει ὁ ἰὸς ὁ τοῦ δράκοντος εἰς μέλι ἢ ἐν κηρίῳ μελισσῶν. ἐπεὶ οὐδέν ἐστιν ἄλλο ἴδιον ἢ ὁ ἰὸς τῷ δράκοντι μεταδιδόναι, φυλάξας ὁ ποιητὴς τοῦτο, ἐδήλωσε διὰ τούτου τὸ κηρίον.

2. 3 Verba *ἵνα τὰ — σεμνύνων (-ύνειν ξ′) τὰς αὐτοῦ γονάς* in α′, codd. mixtis (*z* excepto) et edd. præcedentibus verbis *παρέστησαν* (sic α′ ι″ ξ′, *παρέστησεν* cett.) *αὐτῇ (αὐτῷ ξ′) φησί, καὶ τὰς Μοίρας μετὰ τῆς εἰλειθυίας (ἠληθείας* Vrat.), quibus in ξ′ lemma *παρέστησάν τε μοίρας* præfigitur, inter scholia leguntur. — 5. 6 Glossa Thomana, quæ deest in *Γ*, in α′, codd. mixtis (*z* excepto, qui om. totum scholium) et edd. inter scholia legitur hoc modo: *ὑπὸ σπλάγχνων*] *ἤγουν ἐν (ἐν* om. ξ′) *τῇ νηδύϊ· ἐν τ. γ. τῆς γ. μ. ἐστὶ (ἔστι μ′ φ′) τὸ ἔ. ἢ τὸ σπλάγχνων (σπλάγχνον ξ′) ἀ. τ. (τῆς* add. α′) *γ. ἁπλῶς*. — 7—9 *ὠδῖνος ἐρατῆς*] *ἤτοι (ἤγουν ι″) γέννας τῆς (τῆς* omm. codd. et edd. α′ ι″ ξ′ exceptis) *ἐπ. ἢ διότι θεοῦ (θ.* om. ι″) — *κακῶν* in α′, codd. mixtis (*z* excepto, in quo hæc desunt) et edd. inter scholia leguntur. — 10 Glossa Moschopulea etiam in *a* extat. — 13 Delevi *ἄλλως* ante lemma.

Th. Εἰκότως εἶπε τὸ ἀμεμφεῖ ἰῷ μελισσᾶν· ὁ γὰρ τῶν ὄφεων ἰὸς μεμπτὸς διὰ τὸ φθορὰν ἐργάζεσθαι.

gl. 79. φροντίζοντες αὐτοῦ. — * † ὁ Αἴπυτος. — 80. * † πετρώδους· ἐν γὰρ τῷ Παρνασῷ οἱ Δελφοί. — 81. * * τοῦ μαντείου. — τῷ αὐτοῦ.

82. *Th.* Μὴ λάβῃς εἰς τὸ παῖδα ἔξωθεν τὸ διά, — ἀλλ' ὥσπερ φαμέν, στερῶ σε πλοῦτον, καὶ ἀφαιρῶ σε οἰκίαν, καὶ ὑβρίζω σε ὕβριν, οὕτω καὶ ἔρομαί σε λόγον.

gl. 82. * † ἠρώτησε. — ὅντινα. — 83. τοῦ Ἀπόλλωνος. — * * τὸν παῖδα. — * † γεγονέναι — 84. * † περισσῶς. — * * τῶν ἀνθρώπων. — 85. † τοῖς ἀνθρώποις. — 86. ὑπέρτατον. — * τὴν αὐτοῦ· — † αὐτῷ, δηλονότι ἔφη.

71—86. *M.* Ταύτῃ μὲν τικτούσῃ ὁ Ἀπόλλων ὁ χρυσῆν ἔχων κόμην παρέστησεν Ἐλευθώ τε, ἤγουν Εἰλείθυιαν, ἔφορον δηλονότι θεὰν τῶν τόκων, πραΰμητιν, ἤγουν πραέα, φίλα φρο-

---

V. 1. 2 quos om. z, in ξ' extra ordinem in marg. ad v. 78 adscripti sunt. — 1 μελισσῶν ι'', μελισσᾶν (sic) μ', om. Γ. — 2 ἐνεργάζεσθαι Α. — In marg. infer. libri q primum comma scholii veteris ad v. 78 (usque ad ὡς μέλι) adscriptum est. — 6 Scholium Thomanum ad v. 82, quod deest in z, in ξ' præfixo lemmate εἴρετο παῖδα in marg. ad eundem versum adscriptum legitur. — 7 στεῤῥῶ σε Α, στερῶσαι ξ', στερῶ σε cett. codd., στεροῦμαί σε edd. — ἀφερῶσαι οἰκ. ξ', ἀφερῶ σε οἰκ. Vrat. μ' φ', ἀφαιροῦμαι σε οἰκ. edd. — 8 ἔρωμαι μ' ξ' φ', ἤρομαι Vrat. — Post λόγον in α', codd. mixtis et edd. additum legitur Εὐριπίδης (Phœn. 562)· ἄγ' ἤν (ἢν ξ') σ' ἔρωμαι (ἔρομαι ι'') δύο λόγω. — 13 Lemma τῇ (ταύτῃ ξ') μὲν ὁ χρυσοκόμας est in codd. mixtis, τῇ μὲν in edd. — σύνταξις margo z μ' ξ' φ'. — τ. μὲν τῇ τικτ. ι''. — 13. 14 ὁ χρ. ἔχων κ. om. ι''. — χρυσῆν ξ'. — 14 τε ex α q ι'' addidi. — ἤγ. τὴν εἰλ. ι''. — εἰλείθ. q, ἀλήθειαν φ', εἰλείθειαν ξ'. — 15 τῶν om. Vrat. — 15. 1 φίλαφρον οὖσαν ξ'.

νοῦσαν αὐτῇ, καὶ τὰς Μοίρας συμπαρέστησεν, ἵν' εὐδαίμων εἴη δηλονότι ὁ παῖς. ἦλθε δὲ (73) *ὁ Ἴαμος εἰς φῶς αὐτίκα ἐκ τῆς ἐπεράστου ἐντὸς τῶν σπλάγχνων ἐγκυμονήσεως. τὸν μὲν κνιζομένη, ἀντὶ τοῦ λυπουμένη, ἀλγοῦσα, κατελίμπανεν* (76) *ἐν γῇ· δύο δὲ δράκοντες γλαυκῶπες, ἤγουν λαμπροὺς καὶ στίλβοντας ἔχοντες τοὺς ὀφθαλμούς, κατὰ βούλησιν θεῶν ἐθρέψαντο αὐτὸν κηδόμενοι, ἤγουν ἐπιμελούμενοι, δι' ἰοῦ μελισσῶν ἀμεμφοῦς, τουτέστιν οὐ μέμψεως ἀξίου ἀλλὰ ἐπαίνου δηλονότι, ἤτοι διὰ μέλιτος. ὁ βασιλεὺς δέ, ὁ Αἴπυτος δηλονότι, ἐπεὶ ἀφίκετο ἐκ τῆς Πυθῶνος τῆς πετραέσσης, ἤγουν τῆς πετρώδους, τῆς τραχείας, ἐλαύνων, τοὺς ἵππους δηλονότι, ἅπαντας τοὺς ἐν τῷ οἴκῳ ἠρώτα* (82), *διὰ τὸν παῖδα, ὃν ἡ Εὐάδνη ἔτεκε· τοῦ Φοίβου γὰρ πατρὸς ἔφη αὐτὸν γεγονέναι, υἱὸν δηλονότι, μάντιν δὲ ἔσεσθαι τοῖς ἀνθρώποις ἔξοχον περισσῶς πάντων τῶν ἀνθρώπων, ἤγουν ὑπὲρ πάντα ἀνθρώπους· οὐδέ ποτε ἐκλείψειν, ἤγουν σβεσθήσεσθαι, ἐκποδὼν γενήσεσθαι τὴν γενεὰν αὐτοῦ.*

gl. 87. *οὕτως. — ἔλεγεν ὁ Αἴπυτος. — οἱ κατ' οἶκον· — † οὗτοι. — οὖν. — ὃν ἤρετο αὐτοὺς παῖδα.*

88. *Germ. Πᾶσα εὐχὴ διὰ λόγου· ἐπεὶ δὲ οὕτω, ῥεθήσεται καὶ ὁ ἁπλὸς λόγος εὐχή.*

---

1 *μοῖρας z*, omm. edd. ante Oxx. — *ἵνα i''*. — **1. 2** *εἴη δηλ. a i''*, *δηλ. εἴη* cett. — **3** *ἐγκυμονήσεται a*. — **3. 4** *κνιζομένη a q i'' ξ'*, *κνιζομένα* cett. — **4** *κατελίμπανεν a*, *κατελλίμπ. ξ'*. — **5** *δὲ* om. *i''*. — *ἔχοντας a*. — **7** *ἤγ. ἐπιμελ.* om. *z*. — **8** *ἀξίαν q*. — *ἀλλ' i''*. — *ἤγουντοι a*, *ἤτοι q* Oxx., *ἤγουν* cett. — **9** *αἴποτος q*. — **10** *τετραέσσης φ'*. — *πετρ. καὶ ἤγ. q*. — *ἤγ. πετρ. καὶ τραχ. i''*. — **11—13** *ἅπαντας — δηλονότι* om. *z*. — **11** *διὰ* ex *a q i''* addidi; habet etiam ed. Ox. «sed Call. Br. non addunt, repugnatque hoc additamentum observationi ad v. 74.» *Beck*. — **12** *ὃν*] *οὗ* Vrat. *μ' φ'*. — **14. 15** *π. τοὺς ἀνθρ.* Vrat. — **16** *ἐκποδ. γεν.* omm. Vrat. *μ' φ'*.

Th. *Διεβεβαιοῦντο, ἐπεὶ ὁ καυχώμενος διαβεβαιοῦται τοῦτο ὃ καυχᾶται. ἢ εὔχοντο ἀντὶ τοῦ μετὰ τῆς πρὸς θεοὺς εὐχῆς διεβεβαιοῦντο. τὸ δὲ πεμπταῖον γεγενημένον ἀντὶ τοῦ πέντε ἡμέρας ἔχοντα μετὰ τὸ γεννηθῆναι. ἔστι δὲ ἀπὸ τοῦ ποιητοῦ λέγοντος πέντε τοῦτον ἡμέρας ἔχοντα μετὰ τὸ γεννηθῆναι· ἐκεῖνοι γὰρ οὔτε ἀκοῦσαι οὔτε ἰδεῖν διεβεβαιοῦντο.*

gl. 88. *διεβεβαιοῦντο.*

90. *Th.* *Τὸ σχοίνῳ ἐνταῦθα καὶ τὸ βατείᾳ καταχρηστικῶς εἶπε. σχοῖνος γὰρ τὸ λεγόμενον ἰδιωτικῶς βροῦλον καὶ ἡ τούτων συναγωγὴ καὶ βατεία ἡ τῶν βάτων συναγωγή· ἐνταῦθα δὲ τὸ σχοίνῳ καὶ βατείᾳ ἀντὶ τοῦ δάσει νόει, ἢ διότι ἐν ταῖς βάτοις τὰ ῥόδα καὶ τὰ ἴα εὑρίσκονται.*

gl. 90. *πολλῇ καὶ δασείᾳ.* — 91. *πυρώδεσι.* — *παμποικίλοις καὶ ὀξέσι.* — 92. *στιλπνότητι.* — * † *δεδροσισμένος.* — * *Δέον*

1. 2 *διεβ.* — *καυχᾶται* om. *Γ*, in quo *ἢ* vocula minio scripta est et in textu ad vocem *εὔχοντο* glossa *διεβεβαιοῦντο· ἐπεὶ καὶ ὁ καυχώμενος διαβεβαιοῦται τοῦτο ο* (sic) *καυχᾶται* adscripta est; *διεβεβαιοῦντο* tantum voci *εὔχοντο* suprascriptum est in *Δα'*, idemque *διεβεβ.* om. *Δ* in initio scholii. — *εὔχοντο, διεβεβ. ἐπεὶ κτλ.* est in *α'* et codd. mixtis, *τὸ δὲ εὔχ. ἀντὶ τοῦ διεβ. ἐπεὶ κτλ.* in edd., qui hoc scholium cum superiore scholio ad v. 82 coniungunt. — 2 *ἢ καὶ οὕτως· τὸ εὔχ. κτλ. Γ.* — *εὔχοιτο ξ'.* — *πρ. τοὺς θ. Δ ε ι'' μ' ξ.* — 4 *ἔχοντα ΓΔ*, habentem *ι''*, *ἔχον* cett. — *δ' ἀπὸ Δ.* — 4. 5 *ἔστι δὲ* — *γεννηθῆναι* omm. *ε ξ'.* — 5 *τοῦτον* om. *Δ.* — *ἡμέρας τοῦτον α'.* — *γὰρ* ex *ΓΔ* addidi. — 8 Totum scholium deest in *ε.* — Pro *σχοῖνος* in edd. ubique *σχῖνος* scribitur. — *βατεία ΓΔ*, *βατία* cett. — 9 *βροῦλον Γ*, *βροῦρον Δ*, *βρύλον* cett. — 10 *καὶ βατ.* — *συναγ.* ex *ΓΔ α' ι''* accessit. — *κ. ἡ βατία ἡ ι'.* — 11 *δὲ τῷ σχίνῳ* edd. — *καὶ τὸ β. ξ' φ'.* — *βατεία Γ*, *βατία* cett. — *δάσει Γ* Vrat. *ι'' φ'*, *δασεῖ* cett. — *ἢ ὅτι ξ'.* — *ταῖς ΓΔ α' ι''*, *τοῖς* cett. — 12 *εὑρίσκονται ΓΔ*, *εὑρίσκεται καὶ ἐν τοῖς σχοίνοις* (*σχίνοις* edd.) cett., in quibus *δέον δὲ ἁβρᾶς* — *σῶμα* (glossa Thomana ad v. 92) huic scholio annexum legitur.

ἀβρῶς εἰπεῖν, ἤτοι δαψιλῶς βεβρεγμένος, ἁβρὸν εἶπε πρὸς τὸ σῶμα. — 93. ** *τό.* — *τὸ ἐν τοῖς ἴοις γεννηθῆναι.* — *ὠνόμασεν.* — 94. *αὐτόν.* — *ἐν.* — *ἡ Εὐάδνη.* — 95. *ὃ καλεῖται.* — *ἀκατάπαυστον· πάντες γὰρ οἱ ἐξ ἐκείνου οὕτω καλοῦνται.*

87—95. **M.** *Οὕτως ἄρα ἐδήλου. οἱ δέ, ἤγουν οἱ ἐν τῷ οἴκῳ, οὔτ' οὖν ἀκοῦσαι οὔτε ἰδεῖν τοῦτον εὔχοντο, ἤγουν ἠρνοῦντο μετὰ καταρῶν, καὶ ταῦτα πεμπταῖον, ἤγουν πέντε ἡμερῶν γεγενημένον* (89), *τουτέστιν ὄντα. ἀλλ' ἐγκέκρυπτο γὰρ (ὁ ἀλλὰ ἀντὶ τοῦ καί) ἤγουν καὶ γὰρ ἐγκέκρυπτο ἐν σχοίνῳ καὶ ἐν βατίᾳ, ἤγουν βάτῳ ἀπειράτῳ, τουτέστιν ἀψηλαφήτῳ, ἀφαύστῳ, διὰ τὰς ἀκάνθας, ἀκτῖσιν ἴων, ἤγουν λαμπρότησι, διαυγείαις ξανθαῖς καὶ κατὰ πολὺ πορφυροῖς, περιφραστικῶς ἀντὶ τοῦ ὑπὸ διαυγῶν ἴων ξανθῶν καὶ κατὰ πολὺ πορφυρῶν βεβρεγμένος* (92) *τουτέστι δεδροσισμένος τὸ τρυφερὸν σῶμα. διὸ καὶ τοῦτο, ὃ ἐκαλεῖτο δηλονότι, τὸ Ἴαμος, δεδώκεν ἡ μήτηρ αὐτοῦ καλεῖσθαι αὐτὸν κατὰ πάντα τὸν ἑξῆς χρόνον, ἀθάνατον, ἀντὶ τοῦ ἀθανάτως.*

---

2 Glossa cod. Bodl. *γ* ad v. 93: *ἀπὸ τοῦ ἀμᾶν (ὃ δηλονότι τὸ θερίζειν) ἴα (ὅ ἐστιν ἄνθη) λέγεται Ἴαμος.* — **5** Lemma *ὡς ἄρα μάννεν (μάννι ξ')* est in codd. mixtis et edd., *σύνταξις*, quod *μ' φ'* in marg. exhibent, lemmati præfixum est in *z*. — *οἱ* post *ἤγουν* om. *ι'*. — **6** *οὔτ' ἰδεῖν a*, *οὔτι ἰδεῖν q*. — *τοῦτο ι'*. — *ηὔχοντο ξ'*. — **7** *καὶ* | *ὁ a*. — *τ. πεπτέον μ'*. — **8** *ὄντων q*. — *γὰρ* omm. edd. excepta ed. Ox. — *ἡ q*, *τὸ ξ'*, qui ab hoc voce novum comma incipit. — **9** *τῆς καὶ q*. — *καὶ γὰρ* om. *a*. — *ἐνεκέκρυπτο ξ'*, *ἐκέκρ.* edd. — *σχίνῳ* edd. — **10** *ἀπειράστῳ a*, *ἀπηράτῳ ξ'*. — *καὶ ἀψαύστῳ ι'*. — **11** *ἀκτίσιν a φ'*. — *ἰῶν q*. — **11—13** *ἤγουν* — *ἴων* om. *ξ'*. — **12** *κατὰ πολὺ ι'* ed Ro., Beck., *καταπολύ* cett. — *πορφυραῖς q*. — *ὑπὸ* omm. *q z ι'*. — *διὰ αὐγῶν* Vrat. — **13** *κατὰ πολὺ ι'* Beck, *καταπολὺ* cett. — *πεφραγμένος q*. — **14** *τρυφερῷ q*. — *καλεῖτο a*. — **15** Post *Ἴαμος* in codd. mixtis et edd. *ἀπὸ γὰρ τῶν ἴων Ἴαμος ἐκλήθη* additum est, et *τὸ Ἴαμος· ἀπὸ* — *ἐκλήθη* in codd. mixtis inter glossas legitur cruce Moschopulea signatum. — **16** *π. χρόνον εἰς τὸν ἑξῆς ἀθ. z.*

95. 96. *Th.* *Ἐπεὶ εἰς τοῦτο ἡλικίας ἦλθεν ὡς γένειον ἀνθῆσαι ξανθόν. τὸ δὲ τερπνᾶς εἶπε διὰ τὸ τοὺς ἐν τοιαύτῃ ἡλικίᾳ ὄντας ὡραίους φαίνεσθαι. δέον δὲ εἰπεῖν χρυσοστέφανον πρὸς τὸ καρπόν, χρυσοστεφάνοιο εἶπε πρὸς τὸ ἥβης.*

gl. 97. *τὸ γένειον. — τῇ Πελοποννήσῳ· ἀπὸ μέρους τὸ πᾶν.* 98. * * *ἐπεκαλέσατο.* — 99. *μεγαλοδύναμον. — ἴδιον· πατὴρ γὰρ τῆς μητρὸς αὐτοῦ Εὐάδνης.* — 100. *τὸν τοξικὸν Ἀπόλλωνα.*

101. *Th.* *Θεοδμήτης λέγει, ἣ ἣν ἔχουσιν οἱ θεοὶ δόμον, Ἀπόλλων καὶ Ἄρτεμις, ἢ τῆς ὑπὸ θεῶν κατασκευασθείσης καὶ οἱονεὶ δομηθείσης. ὕφαλον γὰρ οὖσαν Ζεὺς ἀνῆκεν εἰς φῶς.*

gl. 101. * * *τῆς νήσου. — τῆς οἰκουμένης ὑπ᾽ Ἀρτέμιδος καὶ Ἀπόλλωνος. — † θεόδμητον ἴσως λέγει αὐτὴν διὰ τὸ πλανωμένην στῆναι ὑπὸ τῆς γεννήσεως τοῦ Ἀπόλλωνος. — ἐπιτηρητήν, φύλακα.* — 102. *ζητῶν αὐτούς. — τροφὴν αὐτῷ ἐκ τῶν λαῶν προξενοῦσαν.* — 103. *τῇ ἰδίᾳ· — † τῇ ἑαυτοῦ κεφαλῇ, ἤτοι τῇ ἰδίᾳ.*

104. *Th.* *Τὸ νυκτὸς πρὸς τὸ καταβὰς συνάπτεται. μὴ λάβῃς δὲ ἔξωθεν ἐπί, ἀλλ᾽ ἔστιν ἡ τοιαύτη γενικὴ πρὸς τὸ καταβάς. νυκτὸς γὰρ ἦν ἡ τοιαύτη κατάβασις.*

gl. 104.* *δίχα τινὸς ἐν τῇ κεφαλῇ καλύμματος· οὕτω γὰρ ἦν ἔθος εὔχεσθαι.*

---

1 *Γ* totum scholium, *Δ* priorem scholii partem usque ad *ξανθὸν* inter glossas exhibet. In codd. mixtis et edd. lemma (*τερπνάς ξ*. *τερπνῶς* edd. ante Heyn.) *δ᾽ ἐπεὶ* præmissum est. — **2** *τερπνὰς* = *ξ*', *τερπνῶς* edd. ante Heynium. — *τοὺς* om. *ι*'. — **2** *χρυσοσθεφάνοις* (sic) pro *χρυσοστεφάνοιο ξ*', om. *ε*. — **8** *θεοδμήτης Δ* Vrat. *α' ι' μ' ξ' φ'*, *θεοδμήτας* cett. — *λέγει* om. Vrat. — *ἣν*] *ἦν Γ*. — **9** *κατασκευθείσης μ'*. — **9. 10** *κ. οἱονεὶ* (*οἱονεὶ Γ*) *δομ.* ex *ΓΔα' ι'* accessit. — **12. 13** Glossam Moschopuleam *θεόδμητον — Ἀπόλλωνος*, quæ in codd. mixtis inter scholia legitur, *α* solus servavit. — **17** *τὸ ν. δὲ πρ. α'*, codd. mixti et edd., in quibus hoc scholium glossæ Thomanæ ad v. 104 præmisso lemmate *νυκτὸς ὑπαίθριος* inter scholia receptæ subnexum est. — **18** *ἣ*] *οἱ μ'*. — **20** Glossa Thomana in *α'*, codd. mixtis et edd. præfixo lemmata *νυκτὸς ὑπαίθριος* inter scholia legitur. — **20** *καλύματος ΓΔ φ'*. — **21** *ἔθος ἦν* Vrat.

95—104. M. Ἐπεὶ δὲ ἔλαβεν ὁ Ἴαμος καρπὸν ἥβης ἡδείας, πάγκαλον προτεινούσης στέφανον, ἤγουν γένεια, ἃ προέτεινεν ἡλικίας ἀκμὴ τερπνὴ παγκάλως δι' αὐτῶν στεφανοῦσα, τουτέστιν ἐπεὶ δὲ εἰς ἀκμὴν ἡλικίας ἔφθασε τερπνῆς, καὶ γενείοις παγκάλως ἐστεφανώσατο, καταβὰς ἐκάλεσεν (98) ἐν τῷ μέσῳ τοῦ Ἀλφειοῦ, ἤγουν κατὰ τὴν Ἐπίδαυρον, τὸν Ποσειδῶνα τὸν ἑαυτοῦ πάππον τὸν εὐρυβίαν, ἤγουν τὸν κατὰ πολὺ ἰσχυρόν, καὶ τὸν σκοπόν, ἤτοι τὸν ἔφορον, τὸν ἡγεμόνα τῆς Δήλου τῆς νήσου τῆς θεοδμήτου τὸν τοξοφόρον, τουτέστι τὸν Ἀπόλλωνα τὸν πατέρα αὐτοῦ, αἰτῶν (102) αὐτὸς ἐν νυκτὶ ὑπαίθριος, ἐπιρρηματικῶς ἀντὶ τοῦ ἐν ἀσκέπῳ τόπῳ, τιμήν τινα τῇ ἑαυτοῦ κεφαλῇ, περιφραστικῶς ἀντὶ τοῦ ἑαυτῷ, λαότροφον, τουτέστιν ὑπὸ τοῦ λαοῦ αὐξανομένην. λαοτρόφος, ὁ λαὸν τρέφων· λαότροφος δὲ προπαροξυτόνως, ὁ ὑπὸ λαοῦ τρεφόμενος.

---

1 Scholium Mosch. om. z. — ἐπειδὴ ἔλ. φ'. — ἡδείας q. — 3 τερπνόπαγκάλως a. — δι' αὐτὸν q ξ'. — 4 ἐπεὶ δὲ aq ι'' μ' ξ' φ', ἐπεὶ Vrat., ἐπειδὴ cett. — τερπνοῖς a. — γενείης q. — 5 παγκάλοις ι''. — ἐκάλεσεν ex aq addidi. — 6 τὴν] τὸν q. — Ἐπίδαυρον· ἐν μέσῳ γὰρ Ἤλιδος καὶ Ἀρκαδίας ἡ Ἐπίδαυρος· ἐκάλεσε τὸν Ποσ. codd. mixti et edd. — 7 αὐτοῦ μ'. — κατὰ π. ξ', καταπ. cett. — 7. 8 ἤγ. — ἡγεμ. om. ξ'. — 8 ἤτοι aq, ἤγουν cett. — εὔφορον μ' φ'. — τῆς post Δήλου ex aq Ox. addidi. — 9 θ. καὶ τὸν τοξ. ι'', θ. τοξ. (om. καὶ) a. — 10 αἰτῶν αὐτοὺς om. ξ'. — ἐπαίθριως (ιω ex ωω) a. — 11 ἀσκόπῳ a, ἀσκέπτῳ ξ'. — τῇ] τὴν q ι'' ξ'. — 12 κεφαλήν ξ'. — περιφρ. ἀντὶ τοῦ ἑαυτοῦ κεφαλὴν περιφραστικῶς ἀντὶ τοῦ ἑαυ^τ^ ξ'. — λαοτρόφον ξ'. — 13 αὐξανόμενον Vrat., τρεφομένην ξ'. — 13. 14 λαοτρόφος — τρεφόμενος in codd. mixtis et edd. post scholium ad v. 101 leguntur. — 13 ὁ λαῶν a. — Confer. schol. b: ἰστέον ὅτι λαοτρόφος παροξυτόνως ὁ τρέφων λαόν· λαότροφος δὲ προπαροξυτόνως ὁ ὑπὸ λαοῦ τρεφόμενος. καὶ πάλιν ἰστέον, ὅτι τὸ αἰτῶν λαότροφον τιμήν τινὰ τῇ ἑαυτοῦ κεφαλῇ, περίφρασίς ἐστι τὸ σχῆμα τοῦτο ἀντὶ τοῦ αἰτῶν ἑαυτῷ λαότροφον τιμήν τινά.

gl. 105. *ἐξεναντίας ἐβόησεν.* — * *ἡ ἄψευστα καὶ ἀληθῆ λέγουσα·*

Ψευδηγορεῖν γὰρ οὐκ ἐπίσταται στόμα
τὸ θεῖον (Aesch. Prom. 1032.)

106. *Germ.* *Ὄσσα] ἡ φήμη, καὶ ἡ ἁπλῶς φωνὴ τοῦ Ἀπόλλωνος.*

Th. *Τὸ πατρικὴ ὄσσα ἢ ἀντὶ δοτικῆς ληπτέον, ἵν' ᾖ ἀντεφθέγξατο ὁ ἀρτιεπὴς Ἀπόλλων ἐν πατρικῇ ὄσσῃ· ἢ ἀντεφθέγξατο ἡ πατρικὴ ὄσσα ἡ ἀρτιεπής· ἢ δίχα τοῦ ἄρθρου τὸ ἀρτιεπὴς λέγε οὕτως· ἀντεφθέγξατο ἡ πατρία ὄσσα ἀρτιεπὴς ἤγουν παραυτίκα τῶν ἐκείνου λόγων. τὸ δὲ μετάλλασέ τέ μιν διὰ μέσου, ἀντὶ τοῦ ἠρεύνα ὅτου χάριν αὐτὸν ἐπεβοήσατο. τὸ δὲ ἀντεφθέγξατο πρὸς τὸ ὕρσαο ἔχει τὴν δύναμιν καὶ πάγκοινον τὸν χῶρον καλεῖ διὰ τὴν ἐν αὐτῷ ὕστερον συμβᾶσαν πανήγυριν τῶν Ὀλυμπίων.*

gl. 106. *ἡ πατρική.* — † *ὁ πατρικὸς χρησμός.* — *ἡ φωνή*

---

1 Glossa Thomana in *α'*, codd. mixtis et edd. præfixo lemmate *ἀρτιεπὴς* inter scholia legitur, om. *z.* — **3. 4** *στόμα τὶ θεῖον ξ'.* — **5** Post *ὄσσα* delevi *δὲ* voculam. — **7** *τὸ*] *ἡ Γ*, qui om. *ἢ* post *ὄσσα.* — *τὸ δὲ π. ὄσσα ἢ κτλ. Δ.* — **7—10** *τὸ πατρία ὄσσα (ὄσα z, ἴσσα ξ') ἀντὶ εὐθείας ληπτέον, ἵν' ᾖ· ἀντεφθ. ἡ πατρικὴ ὄσσα ἡ (ἡ — πατρία ὄσσα* omm. *z ξ') ἀρτιεπής· ἢ δίχα τοῦ ἄρθρου τὸ ἀρτιεπὴς λέγε οὕτως· ἀντεφθέγξατο ἡ πατρία ὄσσα ἀρτιεπὴς (ἀρτεπὴς φ'), ἤγουν παραυτίκα κτλ. α'*, codd. mixti et edd. — **8** *ὁ ἀρτ. Ἀπ.* ex *Δ* accessit; habet etiam cod. Aug. *B*, ex quo Mommsen (Schol. Germ. p. 29) hæc protulit: *ἀρτιεπὴς διὰ τοῦ ἄρθρου λέγει. πατρία ὄσσα ἀντὶ δοτικῆς ληπτέον, ἤγουν ἀντὶ τοῦ ἐν τῇ πατρικῇ ὄσσῃ ἀντεφθέγξατο ὁ ἀρτιεπὴς Ἀπόλλων. ἢ ἀντὶ ὀνομαστικῆς πατρία ὄσσα ἡ ἀρτιεπής.* — **10** *οὕτω Δ.* — **11** *μετάλλασε μέντοι διὰ Γ, μετάλλασε τέ μιν δ. Δ, μετάλλασσέ τε μιν δ. Γ', μετάλλασέν τέ μιν δ.* cett. — *διαμέσου α'.* — **13** *ὄρσαι ξ'.* — *καὶ πάγκ. Δ, πάγκ.* (om. *καὶ*) *Γ, πάγκ. δὲ* cett. — **14** *καλεῖ* omm. edd.

τοῦ Ἀπόλλωνος. — ἠρεύνα. — 107. *ὅρμησον. — ἐνταῦθα ἢ ἐλθέ.* — 108. *τὸν πᾶσιν ἀνθρώποις κοινόν.* — * *τὴν Ὀλυμπίαν. — ἐλθεῖν. — τοῦ ἐμοῦ λόγου· οὐ γὰρ ἑωρᾶτο θεὸς ὢν ἄϋλος.* — 109. * * *ἀφίκοντο. — ὁ Ἀπόλλων καὶ ὁ Ἴαμος.* — 110. *τὴν μόνην τῷ ἡλίῳ βατὴν διὰ τὸ ὕψος.* — 111. * *ὅπου.* — * *αὐτῷ. — παρέσχεν. — πλοῦτον·* — † *ἀπὸ μεταφορᾶς τοῦ ἀποθέτου πλούτου.* — * † *διπλοῦν.* — 112. *μαντικῆς. — ἤτοι πρὸς τὸ παρόν.* — † *αὐτοῦ τοῦ Ἀπόλλωνος δηλονότι. — καταλαμβάνειν.* — 113. *εἰ γὰρ ἡ ἀλήθεια σαφὴς καὶ δήλη, τὰ ψευδῆ ποικίλα καὶ ἄγνωστα.*

114. *Germ.* *Θρασυμάχανος] ὡς ἐν ταυτῷ φιλοσυντόμως λέγων τὰς δύο ἀρετάς. ἔστι δὲ ἡ λέξις τοῦ Ὁμήρου.*

gl. 114. *ἡνίκα·* — † *ὁπηνίκα δ' ἄν. — ὁ ἐν θρασέσι καὶ δυσκατεργάστοις μηχανὰς εὑρίσκων.* — 115. *ἔντιμον. — Ἀλκαῖος γὰρ ὁ πάππος τῆς μητρὸς αὐτοῦ Ἀλκμήνης.*

116. *Th.* *Τὸ πατρί θ' ἑορτάν] τὸ οὐκ ἔστιν ἀργόν, ὡς οἴονταί τινες, ἀλλὰ τοῦτο λέγει διὰ τὸ προϋπάρχειν ἐκεῖ Κρόνου ἱερόν, ὅθεν καὶ Κρόνιος λόφος καλεῖται, ἢ διότι ἡ τοῦ Διὸς ἑορτὴ καὶ τῶν ἄλλων ἕνδεκα θεῶν ἦν, ὡς ἔφαμεν τὸ Ἑορταῖς θεῶν μεγίσταις, ἐν τῷ Ψαύμιος Ὀλυμπιονίκει* (V. 11).

---

4. 5 *μόνῳ?* — **6** Glossa Mosch. etiam in *a* extat. — **11** Lemma ego addidi; in *U* verba *ὡς ἐν ταυτῷ (ταὐτῷ* Mommsen edidit) — *Ὁμήρου* primo scholii veteris ad v. 115 commati subnectuntur. — **14** Ad v. 115 hæc glossator in marg. *b*: *ἤγουν τοῦ Ἀμφιτρύωνος, ὅστις ἦν υἱὸς τοῦ Ἀλκαίου. ἡ δὲ Ἀλκμήνη ἡ μήτηρ τοῦ Ἡρακλέος ἦν θυγάτηρ τοῦ Ἀμφιτρύωνος.* — **16** Scholium ad v. 116 om. *z*. — *τὸ ΓΛμ'*, τοῦ cett. codd., omm. edd. — *πατρί ΓΛ*, *πατρός* cett. — *τι ἑορτάν ι'*. — *τί οὐκ ἐστὶν ι'*. — **20** *ψαύμιος ΓΛ*, *ψαύμιδος* cett. — *ὀλυμπιονίκει ΓΛ α' ι'' ξ' φ'* et edd. ante Heynium, *ὀλυμπιονίκῃ* cett.

τὸ δὲ κτίσῃ ἀντὶ τοῦ ποιήσῃ· ὁ γὰρ κτίζων οἰκίαν ποιεῖ ταύτην.

gl. 116. * τῷ Διΐ — * * τοῦ Διός. — τὴν Ὀλυμπιακὴν πανήγυριν. — καταστήσῃ. — ἐν ᾗ πλεῖστοι συνάγονται.

117. *Germ.* Τεθμόν τε] θεσμόν, νόμον. ἔστι δὲ ἱερὸν Διὸς ἐκεῖ καὶ μαντεύονται ἀπὸ τῶν γινομένων θυμάτων.

gl. 117. * † νόμον. — † θείῃ δηλονότι. οὐ γὰρ δύναται τὸ κτίσῃ ἀπὸ κοινοῦ λέγεσθαι· συνυπακούεται δὴ τὸ οἰκεῖον κατ' ἀναλογίαν τοῦ προῤῥηθέντος. — ἀγώνων.

118. *Germ.* Ἤτοι τῷ μεγίστῳ τέρατι τῶν ἄλλων βωμῶν καὶ ἐν ἄλλαις γὰρ πόλεσιν ὑπῆρχον βωμοὶ τοῦ Διός.

gl. 118. * * τοῦ Διός. — * τῷ ὑψηλῷ. — ὅτε Ἡρακλῆς τὸν ἀγῶνα θήσει.

119. *Th.* Ἐμαντεύοντο ἐν τῇ Ὀλυμπίᾳ οἱ Ἰαμίδαι ἢ μηρὸν πιμελῇ κεκαλυμμένον εἰς πῦρ ἐμβάλλοντες ἢ δορὰν προβάτου σχίζοντες καὶ ἐκ τῆς σχίσεως, εἰ μὲν εὐθεῖα γένηται, καλὰ ἔσεσθαι μαντευόμενοι, εἰ δὲ λοξή, ἀποτρόπαια.

gl. 119. * † μαντεῖον. — 120. μαντείου ἢ τοῦ Ἰάμου. — ποταπόν; ἔνδοξον. — 122. πλοῦτος. — σὺν τῷ ἐνδόξῳ. — * αὐτοῖς. — * * ἠκολούθει αὐτοῖς.

104—122. *M.* Ἀντεφθέγξατο δὲ αὐτῷ χρηματισμὸς πατρι-

---

1 ποιήσει ξ'. — 1. 2 ταύτην ποιεῖ ι''. — 7 Glossa Mosch., quam *a* solus servavit, in codd. mixtis et edd. θείῃ δηλονότι exceptis paraphrasi Mosch. vv. 104—122 post θείῃ δηλονότι (p. 227, 3) inserta legitur. — τὸ] τῇ ξ'. — 8 κτίσει *a*. — δὴ *a* μ' ξ' φ', δὲ cett. — 8. 9 κατ' ἀναλ. om. ι''. — 9 προσρηθ. Vrat. ι'' μ' ξ' φ'. — 10 τέρας *U*, corr. Mommsen. — 14 χρηστήριον] ὅτι ἐμαντ. α', codd. mixti et edd. — ἐμαντεύετο Γ, ἐμαντεύοτο μ'. — ἐν τῷ δλ. ξ'. — 15 πημ. Δ, om. ξ' in spatio. — ἐμβαλόντες Γ, ἐμβάλοντες Vrat. μ' φ'. — προβάτων edd. — 16 γένοιτο Γ, γένται ξ'. — 16. 17 ἔσ. τὰ μαντευόμενα edd. — 21 σύνταξις μ' ξ' φ' in marg., *z* Boeckh in textu. — Lemma ἀντεφθέγξατο δ' ἀρτιεπής est in ξ'. — δὲ om. *q*.

κὸς ἀρτιεπής, ἤγουν ἀληθῆ χρηματίζων, μετάλλασσέ τε αὐτόν, ἤτοι ἐζήτησε, τουτέστι καὶ ἐπεστράφη αὐτοῦ. ἔστι δὲ ὁ λόγος πρωθύστερος. ὤφειλε γὰρ οὕτως· ἐζήτησε δὲ αὐτόν, ἤγουν ἐπεστράφη αὐτοῦ χρηματισμὸς τοῦ πατρὸς ἀψευδῆ χρηματίζων, καὶ ἀντεφθέγξατο· ὄρσο (107), τέκνον, ἤγουν διεγέρθητι, κινήθητι ὄπισθεν τῆς φήμης, ἤγουν τοῦ ἐμοῦ χρηματισμοῦ, τῆς ἐμῆς φωνῆς, ἐλθεῖν ὧδε εἰς τὴν χώραν τὴν πάγκοινον, ἐσομένην δηλονότι. τίνα δὲ ταύτην τὴν χώραν λέγει, ἐν τῷ ἐπαγομένῳ λόγῳ δείκνυσιν. ἐπάγει γάρ· ἀφίκοντο δὲ ἐπὶ τὴν πέτραν τοῦ Κρονίου λόφου τοῦ ὑψηλοῦ τὴν ἠλίβατον, ἤγουν τὴν μετέωρον καὶ ὀρθίαν, τουτέστι τὴν Ὀλυμπίαν, ὅπου (111) παρέσχεν αὐτῷ, τῷ Ἰάμῳ δηλονότι ὁ Ἀπόλλων θησαυρὸν μαντείας διπλοῦν, τότε μὲν φωνὴν ἀκούειν αὐτοῦ, δηλονότι τοῦ Ἀπόλλωνος, ψευδέων ἄγνωστον, ἤγουν οὐ γινώσκουσαν ψεύδη, ἐνεργητικῶς· εἰ γὰρ ἐπὶ παθητικῆς ἐλέγετο σημασίας, δοτικῇ ἂν συνετάττετο· ὅταν (114) δὲ ἐλθὼν ὁ Ἡρακλῆς ὁ θρασυμήχανος, ἤγουν ὁ γενναῖα μηχανώμενος, τὸ βλάστημα τὸ σεβάσμιον τῶν ἀπὸ τοῦ Ἀλκαίου, τοῦ Ἀμφιτρύωνος, ἑορτήν τε τοῦ

---

1 μετάλλασσέ τι a q ι', μετάλλασε δὲ ξ', μετάλλασέν τε Vrat., μετάλλασέ τε cett. — 2—4 ἔστι — αὐτοῦ om. ξ'. — 3 ἐζήτη σὺ αὐτὸν a. — 4 χρηματισμὸς aq, χρησμὸς cett. — ψευδῆ ξ'. — ἀντιφθέγξ. a. — 5 κιν.] μηνύθητι a m. sec. in spatio additum habet ξ', om. φ'. — 7 πάγκονον ξ'. — 7. 8 ταύτην τὴν om. ξ'. — 8 λέγεις q. — ἐν omm. Vrat. z μ' ξ' φ'. — 8. 9 ἐπάγει γὰρ omm. Vrat. z ι'' ξ' φ'. — 9 Ante ἀφίκ. lemma ἵκοντο est in codd. mixtis et edd., præterea σύνταξις est in marg. z μ' φ'. — 10 ὑψ. καὶ τὴν ἠλ. μ'. — ἠλίβατον Vrat. z ξ' φ' et ι'' post corr. — τὴν post ἤγ. om. ι''. — ὀρθεῖαν Vrat. μ' ξ' φ'. — 14 γινώσκοντα ι''. — εἰ γὰρ] ἃ καὶ Vrat. — 15 δοτικὴ μ' ξ'. — ἂν om. z. — δ' ἐλθὼν z. — 16 μαχόμενος q et glossa Moschopulea in omnibus quotquot novi codicibus. — τὸ βλ. δὲ τὸ σεβ. q. — 17 ἀπὸ τοῦ ἀλκ. ἀντὶ τοῦ (ἀ. τ. τοῦ ι'') υἱοῦ τοῦ ἀλκαίου τοῦ ἀμφ. Vrat. ι'' μ'.

πατρὸς αὐτοῦ τοῦ Διὸς κτίσῃ, ἀντὶ τοῦ συστήσῃ, πλειστόμβροτον, ἤγουν ὑπὸ πλείστων ἀνθρώπων συγκροτουμένην, καὶ νόμον (117) μέγιστον ἀγώνων, θείη δηλονότι, ἐν βωμῷ Διὸς ἀκροτάτῳ, ἀντὶ τοῦ ὑψηλοτάτῳ· τότε δὴ προσέταξε τῷ Ἰάμῳ ποιῆσαι χρηστήριον, ἤγουν μαντεῖον· ἀφ' οὗ χρόνου (120) κατὰ πολὺ δεδοξασμένον ἐστὶ κατὰ τοὺς Ἕλληνας τὸ γένος τῶν Ἰαμιδῶν, ἤγουν τῶν ἀπὸ τοῦ Ἰάμου καταγομένων, ἀφ' οὗ ἀπὸ κοινοῦ, ὄλβος, ἀντὶ τοῦ εὐδαιμονία ἠκολούθησεν, αὐτῷ δηλονότι.

122. *Tr.* Τὸ τιμῶντες εἰ μὲν μετὰ τοῦ οἱ ἄρθρου εἴποις, καθολικῶς γνωμικὸς ἔσται ὁ λόγος. εἰ δὲ χωρὶς τοῦ ἄρθρου, πρὸς τοὺς Ἰαμίδας νοήσεις· καὶ τὸ τεκμαίρει χρῆμ' ἕκαστον ἢ δι' αὐτοὺς ἢ διὰ πάντας ἐρεῖς.

gl. 123. διάδηλοι πᾶσι γίνονται. — μηνύει, ὅστις ἐστίν.

124. *Th.* Τοῦτο λέγει ὑπὲρ τοῦ Ἀγησίου ἢ ὡς φθονηθέντος παρά τινων διὰ τὴν κατορθωθεῖσαν αὐτῷ νίκην, ἢ ἁπλῶς τοῦτο λέγων, ὅτι οἱ νικῶντες βασκαίνονται. πρὸς γὰρ τὸν ἔχονθ' ὁ φθόνος ἕρπει, φησὶ Σοφοκλῆς (Ai. 157.). τὸ δὲ ποτὶ πρὸς τὸ μορφὰν συναπτέον οὕτως· οἷς πρὸς τὴν μορφήν, ποτα-

1 τοῦ Διός (τοῦ om. *i''*) ex *a q i''* addidi, habent etiam Ox. et (uncis inclusum) edd. Beckii Heyniique. — ἀντὶ τοῦ *a q i''*, ἤγουν cett. — πλειστόβρ. *q*, edd. Ro. Ox. — 2 ὑπὸ omm. edd. — 3 Post δηλονότι in codd. mixtis et edd. glossa Mosch. ad v. 117 οὐ γὰρ δύναται — προῤῥηθέντος legitur; vide supra ad v. 1. — ἀκροτάτῳ omm. edd. ante Ox. — 5 χρόνου *i''*. — καταπολὺ vulgo. — 7 ὑπὸ τοῦ *ξ'*. — 8 ἀντὶ τοῦ ex *a q z i'' μ' ξ'* (in quo ἀντὶ τοῦ εὐδ. post ἠκολ. legitur) *φ'* Ox. addidi. — αὐτῷ om. *ξ'*. — 9 Scholium Thomanum om. *z*. — 10 καθολικὸς *φ'*. — 11 τεκμαίρειν *ξ'*. — 14. 15 τοῦτο — ἢ in *Γ* cultro abscisum est. — Lemma μῶμος δὲ praefixum est in *α'*, codd. mixtis et edd. — 15 παρά τινος *z*. — νίκην αὐτοῦ *Δ*. — 16 τοῦτο] οὕτω *Δi''*. — γὰρ om. *z*. — 17 ἔχοντα ὁ *ξ'*. — 18 οὕτω *ΓΔ*. — μορφὰν *φ'* ante corr. — 18 sq. μορφὴν τὴν εὔκλεα *α'*, codd. mixti et edd.

πήν; εὐκλέα καὶ ἔνδοξον στάζει χάρις αἰδοία καὶ σεμνή, τουτέστιν οἷς διὰ τὴν κατορθωθεῖσαν αὐτοῖς νίκην μεγάλη τις εὐφροσύνη συμβαίνουσα χαρίεντα αὐτῶν τὰ πρόσωπα τίθησιν. ἡ γὰρ ἐν τῷ προσώπῳ ἐπιφαινομένη ἡδονὴ τεκμήριόν ἐστι τῆς ἐν τῇ ψυχῇ ἡδονῆς. δέον δὲ εἰπεῖν εὐκλεῶς πρὸς τὸ στάζει, εὐκλέα εἶπε πρὸς τὸ μορφήν. τὸ δὲ πρώτοις πρὸς τὸ στάζει συναπτέον, οὐ πρὸς τὸ ἐλαυνόντεσσιν.

gl. 124. * *πρᾶξις.* — * *ἄνθρωπον ἢ Ἰαμίδην.* — 125. ** *φθονούντων.* — 126. * † *τούτοις.* — *ἐν ᾧ ποτε δώδεκα δρόμους ποιεῖ τὸ τέλειον ἅρμα· λέγει δὲ τὸν Ὀλυμπιακὸν ἀγῶνα.* — 127. *δι' ἵππων ἁμιλλωμένοις·* — † *ἐλαύνουσι τοὺς ἵππους δηλονότι.* — *σεμνή.* — *πρός.* — 128. *ἡδονή.* — * *ποταπήν; ἔνδοξον.*

122—128. M. *Οἱ τιμῶντες δέ, ἀντὶ τοῦ οἱ ἀσκοῦντες ἀρετάς, ὥσπερ οὗτοι δηλονότι, εἰς φανερὰν ὁδὸν ἔρχονται, ἤγουν εἰς διάδηλον καὶ περιφανῆ πολιτείαν. τεκμαίρει χρῆμ' ἕκαστον* (124), *ἤγουν ἕκαστον ἄνθρωπον ἡ πρᾶξις δεικνύει. ψόγος δὲ ἀπ' ἄλλων φθονούντων κρέμαται, ἀντὶ τοῦ ἐπιφέρεται τούτοις*

---

1 *εὐκλεᾶ* Δ. — *καὶ ἔνδ.*] *ἔνδοξόν τι* ξ. — *στάξει* Δ. — *χάριν* ξ'. — 2 *νίκη* Γ. — 4 *ἐπιφερομένη* ξ'. — 5 *τῇ ψυχῆς* Γ. — *στάξει* Δ, *στάζειν* ξ'. — 6 *εὐκλεᾶ* Δ. — *μορφὴν* ΓΔ α' ι'', *μορφὰν* cett. — *πρώτοις* Γ, *πρώτους* Δ, *πρῶτον* cett. — 6. 7 *στάξει* Δ, *στάζειν* ι''. — 7 *συναπτ.* — *ἐλαυν.*] *συναπτέον οὕτως. οἷς στάζει πρῶτον χάρις αἰδοία, καὶ τὰ ἑξῆς* α', codd. mixti et edd. e Triclinii sententia. — 14 *σύνταξις* εφ' Bœckh in textu, μ' in marg. — *τὰς ἀρετὰς* codd. mixti et edd. — 15 *εἰς* om. q. — 16 *περιφανῆ* a q ι'', *φανερὰν* cett. — *τεκμαίρῃ* a. — 17 *ἀνθρώπων* edd. excepta ed. Ox. — 18 *ἀπ' ἀλλήλων* s, *ἐπ' ἄλλων* q et edd. ante Heynium; Beck hæc annotavit: «pro *ψόγος δὲ ἐπ' ἄλλων* non recepi lectionem codd. ab Ox. edd. memoratam *ἀπ' ἄλλων*, nam ex verbo *ἐπιφέρεται* patet, Schol. in textu habuisse *ἐπ'* non *ἐκ*.» Male; *ἐξ* est etiam in codd. Mosch.

(126), *ὧν ἐπὶ τὴν ἔνδοξον ὄψιν χάρις, νίκης δηλονότι, αἰδοῦς ἀξία, στάζει, ἀντὶ τοῦ παραγίνεται, πρῶτον, τουτέστιν ἐξαιρέτως, περὶ δωδέκατον δρόμον ἐλαυνόντων τοὺς ἵππους.*

gl. 129. *ἀληθῶς, ὥσπερ οὖν ἐστιν. — ὄρος Ἀρκαδικοῦ.*

130. *Germ. Μάτρωες ἄνδρες οἱ ἀπὸ μητρὸς καταγόμενοι· καὶ πάτρωες οἱ ἀπὸ πατρός.*

gl. 130. * *ὦ.* — * *οἱ πρὸς μητρὸς συγγενεῖς σου. ἐνταῦθα γὰρ ἡ σὴ προμήτωρ, Εὐάδνη, ὡς ἔφαμεν, ἀνετράφη ὑπὸ τῷ Αἰπύτῳ.* — 131. * *κατοικοῦντες.* — * *ἐδεξιώσαντο.* — 132. *παρακλητικαῖς. — ἐν.* — 133. *κατὰ πολύ. — εὐσέβεια γὰρ τὸ τοῖς θεοῖς θύειν.* — 134. *ἤγουν ἔφορος ἀγώνων ἐστί· καλεῖται γὰρ ἐναγώνιος, ὡς καὶ ἄλλάττα ὀνόματα.* — 135. *μερίδα.*

136. *Th. Τὸ τιμᾷ εἰ μὲν τρίτον πρόσωπον νοήσεις, οὕτως ἐρεῖς· καὶ τιμᾷ τὴν Ἀρκαδίαν τὴν εὐάνορα, διὰ τὸ ἐκεῖ ναὸν αὐτοῦ εἶναι· εἰ δὲ ἀντὶ τοῦ τιμῇ, τὸ ἔχει ἀπὸ κοινοῦ λάβῃς οὕτω· καὶ ἔχει τὴν εὐάνορα Ἀρκαδίαν ἐν τιμῇ, τουτέστιν ἢ ἐκεῖ κατοικῶν τιμᾶται, ἢ ἐκεῖ κατοικεῖ εἰς ταύτης τιμήν.*

gl. 136. *τὴν καλοὺς ἄνδρας ἔχουσαν.*

129—137. *Germ. Ἡ σύνταξις αὕτη. εἰ δὲ ἐτύμως καὶ ἀληθῶς οἱ ἀπὸ μητρὸς καταγόμενοι μάτρωες ἄνδρες τοῦ Ἀγησίου, οἱ ναιετάοντες καὶ οἱ κατοικοῦντες ὑπὸ τοῖς ὅροις τῆς Κυλλήνης, ἤγουν τῆς Ἀρκαδίας, τὸν Ἑρμῆν τὸν κήρυκα τῶν θεῶν, εὐσεβέως καὶ εὐσεβῶς, πολλὰ δὴ ἐν πολλαῖς θυσίαις ἐν λιταῖς καὶ ἐν παρακλήσεσι, δώρησαν καὶ ἐδεξιώσαντο καὶ ἐφιλοφρόνησαν,*

---

1 *αἰδοῖα ἤγουν* ante *αἰδοῦς* add. codd. mixti et edd. — 2 *παραγίνονται* z. — 2. 3 *ἐξαίρετον* Vrat. — 5 *μάτρωες ἄνδρες· μήτρωες οἱ κτλ.* coni. Mommsen. — 7 Glossa Thomana, quae deest in *Γ*, praefixo lemmate *μάτρωες ἄνδρες* in *α'*, codd. mixtis et edd. inter scholia legitur. — 14. 15 *ἐκεῖ* ante *ναόν* est in *ΓΔ α' ι'*, post *αὐτοῦ* in cett. — *ναόν ΓΔ*, *νεών* cett. — *αὐτῆς Γ*, *αὐ*[τ] *Δ*. — 19 Post *ἡ* delevi *δὲ* particulam. — 20 Post *ἀπὸ* delevi *πατρὸς καί*.

δς ὁ θεὸς ἐναγώνιος ἔχει τοὺς ἀγῶνας τὴν μοῖράν τε τῶν ἀέθλων, τουτέστι τὴν πάλην, τιμᾷ τε τὴν Ἀρκαδίαν τὴν εὐάνορα· κεῖνος, ὦ παῖ τοῦ Σωστράτου, καὶ τὰ λοιπά.

gl. 137. * ὁ Ἑρμῆς. — * * ὦ Ἀγησία. — 138. τῷ μεγάλους ἤχους διὰ τῶν βροντῶν ποιοῦντι Διί. — 139. τελειοῖ. — σοῦ.

140. *Th.* Τὸ ἔχω τινὰ ἐπὶ γλώττῃ δόκησιν ἀκόνας λιγυρᾶς τοῦτο λέγει, ἀντὶ τοῦ ἐπέρχεταί μοι ἔννοιά τις καὶ λόγος ἡδὺς ὑπὲρ σοῦ, παρακινῶν με λέγειν τοῦτο πρὸς σέ. ὥσπερ γὰρ ἡ ἀκόνη ὀξύνει τὸ παραθηγόμενον, οὕτω καὶ ἡ ἐμὴ μουσικὴ ὥσπερ τις ἀκόνη ἐστὶ πρὸς ἐμέ. ἐπεὶ δὲ διὰ τῆς μουσικῆς ἔψαλλε πάντα τὰ αὐτοῦ ποιήματα, εἰκότως καὶ τὴν νῦν ἐπερχομένην αὐτῷ δόκησιν ὑπὲρ τοῦ Ἀγησίου εἰπεῖν τῆς αὐτοῦ μουσικῆς ταύτην εἶναί φησι. τὸ δὲ πνοαῖς αὐλῶν λέγει, διότι καὶ μετὰ μουσικῆς καὶ αὐλῶν ᾖδε τοὺς ὕμνους.

gl. 140. ἔννοιαν καὶ τρόπον ἐγκωμιαστικόν. — 141. τῇ ἐμῇ. — παροξυσμοῦ. — ἐμμούσου. — 142. * ἡ δόκησις· — * * ἡ δόξα. — καὶ αὐτὸν εἰπεῖν. — * προσέρχεται.

143. *Germ.* Καλῶς εἶπε καλλιρρόοις ὡς ἐπὶ ὑγρότητος, καὶ πνοαῖς ἐπεὶ καὶ ἡ πλῆξις αὕτη τῆς φόρμιγγος διὰ τοῦ ἀέρος γίνεται, πλησσομένου τούτου διὰ τῆς κρούσεως τοῦ πλήκτρου.

gl. 143. ἡδέως ἠχοῦσιν. — ᾠδαῖς.

---

1 μοῖραν τὲ *U*. — 2 τιμᾷ τὲ *U*. — 7 Scholium Thomanum om. *z*. — 7. 8 τό — μοι in *Γ* cultro abscisum est. — λιγυράς μ' ξ'. — 9 ὑπέρ σου ι'' ξ'. — με τοιοῦτο λέγειν *Γ*, με λέγειν τοῦτον *Δ*α'ι''μ'ξ'φ' edd. ante Oxx. — ἡ om. φ'. — 10 παραθιγγόμενον ξ'. — 10. 11 ὥσπερ τις *Δ*α' ed. Ro. — 11 ἔστι *Δ*. — πρός με α'ι''. — τῆς om. *Γ*. — πάντα om. *Δ*. — 14 εἶναι φασὶ ξ'. — 15 Inter καὶ et αὐλῶν *ΓΔ* secutus delevi voculam μετά. — 19 καλλιρόοις Mommsen edidit. — 19. 20 ὡς ἐπὶ ὑγρ. καὶ πνοαῖς edidi pro πνοαῖς ὡς ἐπὶ ὑγρ.

129—143. M. *Εἰ δ' ἀληθῶς, ὦ Ἀγησία, οἱ ἄνδρες οἱ σοὶ πρόγονοι πρὸς μητρὸς οἱ οἰκοῦντες ὑποκάτω τοῦ ὄρους τῆς Κυλλήνης· Ἀρκὰς γὰρ ἦν πρὸς μητρὸς ὁ Ἀγησίας· θυσίαις λιτανευτικαῖς* (132) *πολλάκις πολλαῖς ἐδώρησαν, ἀντὶ τοῦ ἐδωρήσαντο, ἐδεξιώσαντο εὐσεβῶς τὸν κήρυκα τῶν θεῶν τὸν Ἑρμῆν, ὃς* (134) *τῶν ἀγώνων ἐξουσιάζει καὶ μερίδος τῶν βραβείων, τὴν Ἀρκαδίαν τε τὴν καλῶς ἔχουσαν ἕνεκα γενναιότητος ἀνδρῶν τιμᾷ, ἤγουν δοξάζει οἰκῶν ἐν αὐτῇ· κεῖνος* (137) *ὁ Ἑρμῆς, ὦ παῖ τοῦ Σωστράτου, σὺν τῷ πατρὶ αὐτοῦ τῷ Διὶ τῷ βαρυγδούπῳ, τουτέστι τῷ τῶν βροντῶν αἰτίῳ τῶν τὸν βαρὺν κτύπον ἐργαζομένων, κραίνει* (139), *ἀντὶ τοῦ διοικεῖ τὴν σὴν εὐτυχίαν. δόξαν ἔχω, ἀντὶ τοῦ λόγον φέρω τινὰ ἐπὶ γλώσσῃ* (141), *ἤγουν πρόχειρον εἰρῆσθαι ἀπὸ τοῦ νοῦ δηλονότι, ὡς σίδηρον ἀπὸ ἀκόνης λιγυρᾶς, τουτέστιν ὀξέως ποιούσης ἠχεῖν τὰ ἀκονούμενα, ὅς με ἕλκει ἐθέλοντα ἐπὶ πνοὰς καλλιῤῥόους* (143), *ἤγουν ᾠδὰς εὐήχους, τὰς ἀπὸ τῶν ὀργάνων ἀναφερομένας.*

gl. 143. *λέγω ἡ τῆς ἐμῆς μητρὸς μήτηρ·* — † *τουτέστι τῆς ἐμῆς πατρίδος μήτηρ ἤτοι τῶν Θηβῶν.*

---

1 Lemma *εἰ δ' ἐτύμως* est in codd. mixtis et edd., *σύνταξις* est in marg. *ξ'*. — *ὦ ἀσιγεία ξ'*. — *οἱ σοὶ*] *εἰσὶ q*. — 2 *πρ. μητρὸς*] *πατρὸς q*. — *ὑπὸ κάτω α ε μ' ξ'*. — 3 *θυσίαι ξ'*. — 4 *πολλάκις* om. Vrat. — *ἐδωρήσατο ξ'*. — 5 *τὸν θεὸν q* Vrat. *z* (qui *τὸν ἑρμῆν τὸν θεὸν* habet) *μ' ξ' φ'*. — 6 *καὶ* ante *τὴν Ἀρκ.* est in codd. mixtis (*ι''* excepto) et edd. — 7 *ἕνεκα*] *ἕνεμα z*. — 8 *κεῖνος aq*, *ἐκεῖνος* cett. — 9 *αὐτῷ a*. — 10 *βροτῶν a*, *βρωτῶν ξ'*. — *τὸν* ex *aqι''* accessit. — 11 *τὴν σὴν εὐτ. aqι''*, *τὴν εὐτ. τὴν σὴν* cett. — 12 *τοῦ* om. *ι''*. — *φέρω λόγον q*. — Ad v. 141 hæc gloss. in marg. *b*: *λιγυρὰ ἀκόνη λέγεται ἐκείνη ἡ ποιοῦσα τὰ ἀκονούμενα ἠχεῖν λιγυρῶς*. — *γλώσσης q*. — 13 *τοῦ* ex *aqι''* Ox. est. — *σίδηρος ι''*, *σιδὸς a*. — 14 *ἀκονούμενα aq* Ox., *ἀκονόμενα ξ'*, *ἀκονώμενα* cett. — 15 *με*] *τε a*. — *καλλιρόους a* Vrat., *καλιῤῥόους ξ'*.

144. *Th.* Ἡ Μετώπη θυγάτηρ ἦν Λάδωνος τοῦ ποταμοῦ, γυνὴ δὲ Ἀσωποῦ τοῦ ἐν Θήβαις ποταμοῦ, ἀφ' οὗ θυγατέρα ἔσχε Θήβην, ἧς πόλις ἐπώνυμος. Θηβαῖος δὲ ὁ Πίνδαρος· διὸ καὶ τὴν Μετώπην μητρομάτορα καλεῖ, οἱονεὶ μητέρα τῆς μητρὸς αὐτοῦ Θήβης. φασὶ δὲ τὴν Μετώπην οἱ μὲν λίμνην, οἱ δὲ ποταμόν.

gl. **144.** * ἡ Ἀρκαδική. Στύμφαλος γὰρ πόλις Ἀρκαδίας· τὸ δὲ εὐανθὴς ἀντὶ τοῦ ὡραία· — † * * ἤγουν ἡ θυγάτηρ τῆς Στυμφαλίδος. — **145.** πολεμικήν, ἱππικωτάτην. — ἐγέννησεν. — **146.** πλείστου ἄξιον· λέγει δὲ τιμᾶν τὴν πατρίδα. — **147.** * πίνω. — πολεμικοῖς. — **148.** ἔμμουσον· ποικίλος γὰρ ὁ μετὰ μουσικῆς.

gl. **143—148.** *M.* Μητρομήτωρ ἐστὶν ἐμή, ἀντὶ τοῦ τῆς ἐμῆς πατρίδος, τουτέστι τῶν Θηβῶν μήτηρ ἡ Μετώπη ἡ εὐανθής, ἤγουν ἡ φαιδρά, ἡ τῆς Στυμφαλίδος θυγάτηρ. θυγατέρα δὲ λέγουσι τὴν Μετώπην τῆς Στυμφαλίδος διὰ τὸ εἶναι τὴν Στυμφαλίδ[α] περιεκτικὴν αὐτῆς. μητρομήτωρ δὲ εἰπὼν ἐπάγει ἅσπερ

---

1 *ἱστορία περὶ τῆς μετώπης* margo Vrat. *α' ξ'*, *ἱστορία περὶ μετώπης* margo *ι''*, *ἱστορία φ'* in marg., edd. in textu, omm. *ΓΑ ε μ'*. — *ἡ* omm. *εμ'ξ'φ'*. — **2** *ἀσώπου ξ'*. — **3** Post *ἧς* omisi *ἡ* cum *ΓΑ*. — **4** *μητρομάτορα ΓΑ z*, *μητρομήτορα* cett. — Ad v. 144 hæc gloss. in marg. *b*: *ματρομάτωρ ἐμὰ ἐστὶ. Στυμφαλὶς εὐανθὴς Μετώπα· τουτέστι τῆς ἐμῆς πατρίδος τῆς Θήβης ἐστι μήτηρ ἡ Μετώπη ἡ εὐανθής, ἡ θυγάτηρ τῆς Στυμφαλίδος: ἰστέον δέ, ὅτι ὁ Λάδων ὁ ποταμὸς ἐγέννησε δὲ τὴν Μετώπην λίμνην, ἡ δὲ Μετώπη ἐγέννησε τὴν Θήβαν πηγήν, ἧς πηγῆς ἐγένετο καὶ ἡ πόλις ἡ Θήβα ἐπώνυμος.* Et ad eundem versum: *ἔστι τὸ Στυμφαλὶς καὶ κύριον ὄνομα, ἔστι δὲ καὶ πατρωνυμικὸν ὡς ἐνταῦθα.* — **6** Glossa Thomana in *α'*, codd. mixtis (*z* excepto) et edd. præfixo lemmate *Στυμφαλὶς* inter scholia legitur. — *ἡ ΓΑ ι''*, *ἢ* (?) *μ'*, *ἤγουν* cett., nisi quod deest in Vrat. — *στύμφαλις Γ*. — **11** Lemma *ματρομάτωρ* (*μητρομήτωρ ι''*) *ἐμὰ* omisi cum *aq*. — *σύνταξις ι'' μ'* in marg., Boeckh in textu. — *ἐστὶν ἐμοὶ z*. — *τοῦ* om. *ξ'*. — **12** *Θηβαίων μήτωρ ξ'*. — *μετάπη a*. — **13** *τυμφαλ. a*. — *θυγάτηρ* om. *z*. — **15** *περὶ ἐκτ. q*. — *ὥσπερ aq*, *ὡς* cett.

ἑρμηνεύων· ἥτις (145), ἤγουν ἡ Μετώπη, τὴν Θήβαν ἔτεκε τὴν πλήξιππον, ἤγουν τὴν πλήττουσαν τοὺς ἵππους ἐν τοῖς δρόμοις, τουτέστι τὴν ἱππικήν, τὴν πολεμικήν. ταύτης ἐπέραστον ὕδωρ πίομαι, ἀντὶ τοῦ εὐπορίαν λόγων ἀπὸ ταύτης πορίσομαι ποικίλον ὕμνον συντιθεὶς χάριν ἀνδρῶν αἰχμητᾶν, τουτέστι πολεμιστῶν.

gl. 148. * *διέγειρον.* — * *συγχορευτάς·* — † *τοὺς συγχορευτάς.*

149. *Th. Οὗτος χοροδιδάσκαλος ἦν τοῦ παρὰ Πινδάρῳ χοροῦ, ᾧ τινι Αἰνέᾳ πρὸς τὸν δῆμον ἐχρῆτο Πίνδαρος διδάσκοντι τὰ αὐτοῦ ποιήματα καὶ μεθ' ἑτέρων ψάλλοντι διὰ τὸ αὐτὸς ἰσχνόφωνος εἶναι καὶ μὴ δύνασθαι λέγειν ἀξίως.*

gl. 149. * *ᾧ* — † *χοράρχης ἦν οὗτος.* — 150. * † *τὴν ἐν Παρθενίῳ ὄρει Ἀρκαδίας τιμωμένην.* — 151. *τοὺς ἄλλους.* — *παλαιόν.* — 152. * * *τὴν Θηβαίαν.*

153. *Germ. Ἐκ τῶν ἐν τῇ Βοιωτίᾳ κατοικούντων ἀγροίκων Ὑάντων πάντη διαβαλλομένων τῇ ἀγνωσίᾳ ὡς καὶ παραφθαρέντος τοῦ ὀνόματος τούτων καὶ ὗς ᾀδομένου δοκεῖν οὕτως ἐξ ἀρχῆς αὐτοὺς καλεῖσθαι.*

Th. Ὕαντες, ἔθνος ἀρχαῖον καὶ βάρβαρον, ᾤκησαν ἐν Βοιω-

---

1 *ἑρμηνεύων* *i'*. — *θήβην* *a*. — *τὴν* om. *i'*. — 2 *ἐν* om. *ε*. — 3 *τουτέστιν* (om. *τὴν*) *i'*. — 5 *τουτ. πολ.* om. *i'*. — *χάριν τῶν ἀνδρῶν τῶν πολεμικῶν* glossa sine cruce, sed non Thomano-Tricliniana, immo potius Moschopulea, legitur in codd. mixtis. — 8 Totum scholium om. *ε*. — Post *οὗτος* *ΓΑ* libros secutus delevi *ὁ Αἰνέας*. — *Πινδάρῳ* *ΓΑ* Vrat. *α' i' μ' φ'*. *Πινδάρου* cett. — 9 *ᾧ* (om. *τινι*) *Γ*. — *Αἰνέᾳ* ex *ΓΑ* accessit. — 11 *αὐτὸς ἰσχνόφωνος* *ΓΑ*, *αὐτὸν ἰσχνόφωνον* cett. — 12 Glossa *χοράρχης αὐτοῦ οὗτος* est in *a*. — Glossa ad v. 150 in codd. mixtis cruce signatur (non legitur in *α'*) iidemque *τῷ* post *ἐν* et *τῆς* post *ὄρει* addunt Moschopuleos libros secuti. — 15 Delevi lemma *Ἄλλως*. — 17 *ᾀδομένου*] «i. e. *πολλάκις λεγομένου*, cf. Hesych. al.» *Mommsen*. — *οὕτω* *U*, corr. Mommsen. — 18 *Ἱστορία* est lemma in edd. ante Boeckhium, qui id quod Vrat. *ε α' i' μ'* in marg., cett. codd. in

τίᾳ, οὓς διὰ πολλὴν προσοῦσαν αὐτοῖς ἀλογίαν σκώπτοντές τινες καὶ παραφθείροντες τὸ ὄνομα ἕνα ἕκαστον τούτων ὗν ἔλεγον, καὶ ἐπεκράτησε τοσοῦτον αὕτη ἡ διαφθορά, ὡς εἰς ὄνειδος τοῖς Θηβαίοις τοὺς ἄλλους προφέρειν ταύτην τὴν παροιμίαν τὸ Βοιωτία ὗς. λέγει οὖν Πίνδαρος πρὸς τὸν Αἰνέαν, ὅτι διέγειρον τὸν τὰ ἔπη ᾄδοντα χορόν, ἵνα γνῶσιν ἅπαντες, ὡς οὐ τῇ παροιμίᾳ προσήκομεν τῇ λεγούσῃ Βοιωτία ὗς, ἀλλ' ἐσμὲν Μουσῶν θρέμματα.

gl. 153. χοῖρον. — * † κῆρυξ. — ἀληθὴς διὰ τὴν φωνήν· ἐγὼ γὰρ ἰσχνόφωνος.

154. *Th.* Ὅτε πρός τινα πόλιν οἱ Λάκωνες στρατηγὸν ἔπεμπον, βουλόμενοι δηλῶσαί τι αὐτῷ τῶν ἀποῤῥήτων οὐκ ἐπίστευον χάρτῃ, ἀλλὰ τοιοῦτόν τι ἐποίουν· τορεύοντες ξύλον στρογγύλον τριῶν ἢ τεττάρων πηχῶν, τέμνοντες εἰς δύο τὸ μὲν ἓν τῷ ἐκπεμπομένῳ στρατηγῷ ἐδίδουν, θάτερον δὲ αὐτοὶ κατεῖχον. ὁπότε δὲ πρὸς αὐτὸν μηνῦσαί τι ἐβούλοντο, περιειλίσσοντες στενὸν ἱμάντα τῷ παρ' αὐτοῖς ξύλῳ ἔγραφον· εἶτα ἀπο-

---

textu exhibent ἱστορία (ἱστ. om. z) ὅθεν τὸ (τὸ om. ι'') ὓς βοιωτία edidit. — Πάντες γένος ἀρχ. Γ. — ᾤκισαν δὲ ἐν μ'.

1 αὐτὴν ἀλ. ι''. — ἀναλογίαν Γ. — 3 ἐπεκράτε (sic) ξ'. — εἰς ex ΓΛ α' accessit; addendum esse vidit Beck. — 4 τούς τε ἄλλους edd. ante Heynium commate post Θηβ. posito. — 5 βοιωτίας ὓς z. — Ante Πίνδ. delevi ὁ cum Λ Vrat. α' ι'' ξ' φ'. — ὅτι omm. edd. — διέγειρον om. Λ. — 6 ὅτι ante τὸν τὰ insertum est in Γ. — οὐ omm. z μ', a m. sec. additum est in φ'. — 11 ἱστορία ὅπως ἡ σκυτάλη γέγονεν (γέγονε z, ἐγένετο ed. Bœckh.) est lemma in α', codd. mixtis (Vrat. excepto) et ed. Bœckh., ἱστορία in edd. ante Bœckhium. — 12 ἀπορήτων Γ. — 13 τοιοῦτόν τι ΓΛ ξ', τοιοῦτό τι cett. — 14 πηχῶν Λ, πηχων (sic) Γ, πήχεων cett. — καὶ ante τέμν. add. edd. — 15. 16 αὐτίκα τεῖχον ξ'. — 16 μηνύσαι τι Γ, μηνῦσαί τι ξ' φ'. — περιειλήσαντες z (in quo η ex corr. scriptum est) ι'' (qui in marg. annotat: ambigua litteratura, non autem significatio) μ' ξ' φ'.

λύσαντες τὸν ἱμάντα τῷ στρατηγῷ αὐτὸν ἔπεμπον. ὁ δὲ ἐνειλίσσων τῷ οἰκείῳ ξύλῳ τοῦτον ἀνεγίνωσκε τὰ γεγραμμένα πρὸς αὐτόν. λέγει οὖν τὸν Αἰνέαν σκυτάλην Μουσῶν, οἱονεὶ ἄγγελον τῶν αὐτοῦ ἐπῶν πρὸς τοὺς ἄλλους.

gl. 154. εὐπλοκάμων. — μηνυτής. — 155. μεγαλοπρεπῶς ᾀδομένων. — ὕμνων ἐμῶν τῶν πρὸς ἄλλους.

148—155. M. Ὦ Αἰνέα, διέγειρον νῦν τοὺς ἑταίρους, ἤγουν τοὺς συγχορευτάς, πρῶτον μὲν ὑμνῆσαι τὴν Ἥραν τὴν Παρθενίαν (150), ἤγουν τὴν ἐν τῷ Παρθενίῳ ὄρει τῆς Ἀρκαδίας τιμωμένην, ἔπειτά τε γνῶναι, ἀντὶ τοῦ γνώριμον ποιῆσαι κατὰ ἀληθῆ λόγον, εἰ φεύγομεν τὴν Βοιωτίαν ὗν (153), λέγω τὸ ἀρχαῖον ὄνειδος, τουτέστι τὴν παλαιὰν διαβολὴν τὴν ἐπὶ τῇ ἀμουσίᾳ. ὑπάρχεις γὰρ ἄγγελος ὀρθός, ἤγουν κῆρυξ ἀληθής, τῶν καλλιτρίχων Μουσῶν σκυτάλη, τουτέστι ῥάβδος, γλυκὺς κρατήρ, ἤγουν γλυκὺ ἀγγεῖον, γλυκὺς οἶκος τῶν ᾠδῶν τῶν ἀγαφθέγκτων, τουτέστιν ὧν πολὺ τὸ κλέος.

---

1 αὐτῶν z ξ'. — ἐν ειλήσσων ξ', ἐνειλήσσων z μ' φ'. — 2 τ. ἰδίῳ ξ. ι''. — τοῦτο ἀναγίνωσκε Vrat. — τὰ γράμμενα ξ'. — 3 τὸν αἰνέα z. — οἷον z. — 4 τὸν ξ'. — αὐτοῦ edd. inde a Beckio. — 7 ὄτρυνον est lemma in ι'', ὄτρυνον Αἰνέα in cett. codd. mixtis et edd. — σύνταξις μ' in marg., ξ' post lemma. — τοὺς ἑτέρους μ'. — 8 ὑμνῆσαι a. — 10 ἔπειτα πεγνῶναι a. — κατὰ a z ι'' et glossa Moschop., κατ' cett. — 11 βοιωτίαν νῦν ξ'. — Confer quæ glossator libri b in marg. adscripsit: ἔπειτα δὲ διέγειρον τοὺς χορευτὰς ποιῆσαι τοῖς πᾶσι γνωστὸν ἐν ἀληθέσι λόγοις, εἰ φεύγομεν τὴν Βοιωτίαν σκρόφαν, λέγω δὲ τὸ ἀρχαῖον ὄνειδος, ἤγουν τὴν ἀπαιδευσίαν καὶ ἀμουσίαν. — 13 ὀρθός om. ι''. — 14 τῶν om. ι''. — μουσῶν καλλ. ι''. — ῥᾶβδος q z ι'' ξ' φ', ῥᾶβδος μ'. — 15 γλυκὺν ἀγγ. ξ'. — οἶκος a z ι'' μ' ξ' φ', οἶνος cett. — τῶν ante ᾠδῶν om. a. — 15. 16 ἀγαφθέκτων a Vrat. ξ'. — 16 ὧ z. — Confer glossatorem in b: ὥσπερ διὰ τοῦ κρατῆρος διανέμουσι τὸν οἶνον τοῖς πίνουσιν, οὕτω καὶ διὰ τοῦ Αἰνέου διανέμει τὰς ᾠδὰς τοῖς ἑορτάζουσιν ὁ Πίνδαρος.

gl. 156. * *εἰπὲ αὐτοῖς.* — † * * *εἰπὲ αὐτοῖς· τοῖς ἑταίροις δηλονότι.* — *ἤτοι ἐπαινεῖν.* — 157. *νῆσος παρακειμένη τῇ Σικελίᾳ ἡ πόλις πλησίον Συρακουσῶν·* — † *νῆσος παρακειμένη ταῖς Συρακούσαις.* — 158. * *Ὀρτυγίαν ἢ Συράκουσαν.* — *ναμέμφῳ ἐξουσίᾳ.* — *διεξάγων.* — 159. *ὑγιῆ, νόμιμα βουλευόμενος.* — *ἐρυθρόπουν.* — 160. * *περιέπει καὶ τιμᾷ.* — † *Δήμητρα ὁ σῖτος καὶ ἡ ἔφορος καρπῶν θεός.*

161. *Th.* *Λεύκιππον λέγει τὴν Περσεφόνην ἢ διότι ἔθος ἐστὶ τοῖς ποιηταῖς τοιούτοις ἐπιθέτοις κοσμεῖν τοὺς θεούς, ὡς καὶ ὄπισθεν φοινικόπεζαν εἶπε τὴν Δήμητραν, ἢ διότι λευκῷ ἅρματι ἐποχουμένη εὑρέθη ὑπὸ τῆς μητρός, ὅτε ἁρπασθεῖσαν ὑπὸ Πλούτωνος ἐζήτει αὐτήν.*

gl. 161. * *τῆς Περσεφόνης.* — * *ἀμφέπει ἀπὸ κοινοῦ· ἐν γὰρ τῇ Σικελίᾳ τὰ τῆς Περσεφόνης ἀνακαλυπτήρια ἐτελοῦντο.* — 162. *ἤτοι τὸν ἐν τῇ Αἴτνῃ Δία ἀμφέπει.*

156—162. *M.* *Εἶπον δὲ τοῖς ἑταίροις μεμνῆσθαι τῶν Συρακουσῶν τε καὶ τῆς Ὀρτυγίας, ἥντινα, ἤγουν τὴν Ὀρτυγίαν, καθαρῷ σκήπτρῳ διοικῶν ὁ Ἱέρων, τουτέστιν ἁγνῇ καὶ καθαρᾷ βασιλείᾳ, ἄρτια* (159), *ἤγουν ἔγκαιρα, ἀληθῆ βουλευόμενος,*

---

2 *ἤτοι ἐπ.* in codd. mixtis cruce signatur. — 3 et 6 Glossæ Mosch. ad v. 157 et 160 etiam inter glossas *a* libri leguntur. — 8 Glossa Thom. ad v. 161 præfixa lemmate *Λευκίππου τε ἑορτάν*, et tum *τό* vocula ante *ἀμφέπει* in edd. inserto et *ἐτελεῖτο* pro *ἐτελοῦντο* scripto in *α'*, codd. mixtis et edd. hoc scholium præcedit, tum iidem *λεύκιππον δὲ λέγει κτλ.* exhibent. — 10 *ὄπισθεν* *ΓΛ*, *ἄνω ι''*, *ἀνωτέρω* cett. — *τὴν δήμητρα α' ι''*, *τῆς δήμητρος* Vrat. — *διότι*] *ὅτι ι''*. — 12 *ὑπὸ τοῦ πλ.* *α'*, codd. mixti et edd., nisi quod *a plutone* est in *ι''*. — 13 De glossa Thomana confer notam ad p. 236, 8. — 16 *εἶπον δὲ·* *εἰπὲ δὲ τοῖς* codd. mixti et edd — *σύνταξις* est in marg. *ε μ'*, in textu ante lemma in ed. Bœckh., post lemma in *ξ*. — *ἑτέροις μ' ξ*. — 17 *συῤῥακ.* *q*. — *τε* om. *ξ*. — 18 *καθορῷ* *ξ*. — *ἁγνῇ* Vrat., *ἀγνή* *q*. — 19 *βουλόμενος ι'' ξ*.

ἀμφέπει, τουτέστι περιέπει, τιμᾷ τὴν Δήμητρα τὴν φοινικόπεζαν, ἤγουν τὴν ἐρυθροὺς ἔχουσαν τοὺς πόδας· ἀπὸ μέρους δὲ πᾶσαν ἐρυθρὰν θέλει δηλοῦν· καὶ τῆς θυγατρὸς αὐτῆς τῆς λευκίππου, ἤγουν τῆς Κόρης τῆς καὶ Περσεφόνης, τὴν ἑορτὴν τιμᾷ δηλονότι, καὶ τὸ κράτος τοῦ Διὸς τοῦ κατὰ τὴν Αἴτνην τιμωμένου, περιφραστικῶς ἀντὶ τοῦ καὶ τὸν Δία τὸν κατὰ τὴν Αἴτνην τιμώμενον. λεύκιππον δὲ λέγει τὴν Περσεφόνην, ἐπεί φασι μετὰ τὴν ἁρπαγήν, ἣν ἥρπασεν αὐτὴν ὁ Πλούτων, εὑρεθεῖσαν διὰ λευκοπώλου ἅρματος ἀνῆχθαι ὑπὸ τῆς μητρὸς εἰς τὸν Ὄλυμπον.

162. Th. Γλυκύφθογγοι λέγει, ἢ διότι μουσικῇ καὶ αὐλοῖς ἔχαιρεν, ὡς καὶ πρώην ἔφη (Ol. I, 14)· ἀγλαΐζεται δὲ καὶ μουσικῆς ἐν ἀώτῳ· ἢ διότι αὐτὸν ἑκάστοτε ἐπαινεῖ, ἵν' ᾖ τὸ λύραι αἱ ἐμαί. ἐκ δὲ πάντων τούτων, ὧν ἄνωθεν ἔφη, δείκνυσιν αὐτὸν νομίμως ἄρχοντα, ἄριστα βουλευόμενον, πρὸς θεοὺς εὐσεβέστατον καὶ βίον ἐνήδονον ζῶντα.

gl. 162. γλυκύφθογγοι. — 163. * † αὐτὸν τὸν Ἱέρωνα. — ᾠδαί, ὕμνοι. — 164. ἀμβλυνεῖ καὶ παύσει. — * τὴν εὐδαιμονίαν αὐτοῦ. — * ἐπερχόμενος. — 165. φιλίαις ἀποδοχαῖς. — ἐπιθυμηταῖς· ἐπιθυμοῦσι γὰρ πάντες ἀρέσκειν τοῖς ἄρχουσιν αὐτῶν. — 166. * τοῦ. — * τὸν ὕμνον.

167. Th. Τὸ Στυμφαλίων ἀντὶ τοῦ Ἀρκαδικῶν· Στύμφα-

---

1 Δήμητρα a q i'' ξ', δήμητραν cett. — 2 τοὺς ex aqi'' addidi. — 4 τῆς καί] καὶ τῆς i''. — 6 τιμουμένου a. — 6. 7 τιμ. — Αἴτνην om. ξ'. — 6 καὶ om. a. — τὴν δία a. — 9 ὑπὸ post διὰ λευκ. add. z. — εἰς] εἰ z. — 11 ἀδύλογοι δέ· ἤγουν γλυκύφθογγοι. τοῦτο δὲ λέγει διότι α', codd. mixti et edd.; totum scholium om. z. — αὐλοῖς] αὐλῇ (?) Γ, μουσικῇ i''. — 13 τὸ omm. [Vrat.] edd. — 14 αἱ om. i''. — ἄνωθεν ΓΔ, ἄνω cett. — ἔφην edd. — 15 ἄρχονται i''. — βουλόμενον πρὸς δὲ οὓς ξ'. — 22 στυφαλίων ΓΔ. — στύφαλος ΓΔ.

λος γάρ πόλις Ἀρκαδίας. ἔστι δὲ καὶ τὸ οἴκοθεν καὶ τὸ Στυμφαλίων τειχέων καὶ τὸ ματέρ' εὐμήλοιο λιπόντ' Ἀρκαδίας ταυτό. τὸ δὲ οἴκοθεν οἴκαδε παροιμία ἐστὶν ἐπὶ τῶν ἀπὸ τοῦ αὐτοῦ εἰς τὸ αὐτὸ ἰόντων.

gl. 167. ἀπὸ τῆς μητρίδος αὐτοῦ Ἀρκαδίας εἰς τὴν πατρίδα αὐτοῦ Συράκουσαν. — ** ἀπὸ τῶν ἐν Στυμφαλίδι πόλεων εἰς Σικελίαν. — 168. ** συνίζησις. — προσερχόμενον· — ἤγουν πρῶτον εἰπόντα περὶ Ἀρκαδίας καὶ νῦν Συράκουσαν λέγοντα.

169. Th. Μὴ λάβῃς εἰς τὸ Ἀρκαδίας ἔξωθεν τὸ ἀπό, ἀλλ' ἔστιν ἡ τοιαύτη γενικὴ πρὸς τὸ ματέρα. ὥσπερ γάρ φαμεν ἀνθρώπῳ Αἰθιοπίας συνέμιξα, ἤγουν Αἰθίοπι, οὕτω καὶ τοῦτο. τὸ δὲ εὐμήλοιο ἢ πολυθρέμμονος ἢ πολυκάρπου. μῆλον γὰρ καὶ ὁ καρπὸς καὶ τὸ πρόβατον.

gl. 169. ἤγουν τὸ λέγειν περὶ τῶν ἐν Ἀρκαδίᾳ προγόνων αὐτοῦ.

162—169. M. Ἡδύλογοι δὲ λύραι καὶ μολπαὶ γινώσκουσιν αὐτόν, ἀντὶ τοῦ λύραι δὲ καὶ μολπαὶ δι' ἡδέων λόγων ὑμνοῦσιν αὐτόν, ἤγουν τὸν Ἱέρωνα, διὰ τὰ κατορθώματα αὐτοῦ. εἴθε μὴ θραύσοι ἤγουν μὴ κοιμίσοι (164), μὴ ἀφανίσοι ὁ χρόνος ὁ ἐφέρ-

---

1 γὰρ] δὲ ι'. — καὶ ante τὸ οἴκ. omm. Δι'. — 1. 2 στυμφαλίων ΓΔ. — 2 μάτερ' ξ, μητέρ' z μ' φ'. — εὐμήλης z. — λιπόντ' ΓΔ, λείποντ' cett. — 3 ταυτὸν Δ. — παροιμία ξ' φ' etiam in marg — 4 εἰς τὸ αὐτοῦ μ' φ'. — 7 Glossa προσερχόμενον in codd. Thomanis et mixtis legitur, non extat in α'. — 9 τὸ ante ἀπὸ ex ΓΔ addidi. — 10 ὥσπερ] ὡς ι'. — γὰρ φαμὲν Δ. — 11 αἰθιοπείας Γ. — ἤγ. Αἰθ. om. Γ. — 12 ἀπὸ μέρους post πολυκ. delevi cum ΓΔ. — μῆλος Γ. — 16 Lemma ἀδύλογοι (ἡδύλογοι ξ') δέ μιν, cui σύνταξις adscriptum est in marg. ι' μ' ξ' (idem habent φ' et Bœckh in textu) omisi cum αq. — εὔλογοι q. — μιν post δὲ legitur in edd. ante Beckium. — 18 Ante εἴθε lemma μὴ θραύσοι est in ed. Bœckh. — 18. 19 μὴ θραύσοι om. μ'. — 19 θραύσει a, θραύση (οι superscr.) ξ', θραύσειν z. — κοιμίσαι ed. Ro. Brub. Bœckh., κοιμίσοι αqι'' μ' cett. edd., κομίσοι ξ, κομίση

πων, τουτέστιν ὁ ἐπερχόμενος, τὸν ὄλβον, ἤτοι τὴν εὐδαιμονίαν αὐτοῦ, δηλονότι τοῦ Ἱέρωνος. σὺν φιλοφροσύναις δέ (165), ἤγουν δεξιώσεσιν ἐπεράστοις εἴθε δέξαιτο τὸν ὕμνον τοῦ Ἀγησίου, ὃν ὑμνεῖται δηλονότι ὁ Ἀγησίας, οἴκοθεν, ἤγουν ἀπὸ τῆς πατρίδος τοῦ Ἀγησίου, λέγω ἀπὸ τῶν τειχῶν τῶν Στυμφαλίων, τουτέστι τῶν πόλεων τῶν ἐν Στυμφαλίδι, προσερχόμενον οἴκαδε, ἤγουν εἰς τὴν ἑτέραν αὐτοῦ πατρίδα, ἤτοι τὴν Σικελίαν· Ἀρκὰς γὰρ καὶ Συρακούσιος ὁ Ἀγησίας. λέγω λείποντα τὸν ὕμνον τὴν μητέρα τῆς Ἀρκαδίας τῆς καλῶς ἐχούσης ἕνεκα θρεμμάτων, τουτέστι τὴν Στυμφαλίδα.

gl. 170. καλαὶ καὶ συμφέρουσαι τῇ νηΐ. — 171. τρικυμίαν ἐχούσῃ. — ** ταχείας.

173. *Th.* Τοῦτο εἶπε διὰ τὸ ἔχειν τὸν Ἀγησίαν δύο πατρίδας, Ἀρκαδίαν καὶ Συράκουσαν. ὥσπερ γὰρ χειμαζομένης νηὸς ἐν νυκτὶ αἱ δύο ἄγκυραι ὑφάλου πέτρας ἐχόμεναι σώζουσιν αὐτὴν καὶ μὴ τοῖς ἀνέμοις ὑπείκειν ἐργάζονται, τὸν αὐτὸν τρόπον καὶ ὁ δύο πατρίδας ἔχων ὠφελεῖται· ἀτυχούσης γὰρ τῆς μιᾶς ἐπὶ τὴν ἑτέραν ἐλθὼν ὠφελεῖται.

gl. 173. ἐστηρίχθαι ἔν τινι πέτρᾳ ὑφάλῳ· — † ἀπὸ τοῦ σκίμ-

Vrat., κομίσῃ (αι) φ', κομ(σ) z. — ἀφανίσοι a q ι'' μ' Ox. Beck, Heyne, ἀφανίσῃ (-σῃ) Vrat. s ξ' et edd. ante Oxx., ἀφανίσαι Bœckh.

1 ἤγουν ι''. — 2 αὐτοῦ] ἀντὶ τοῦ q. — αὐτοῦ τοῦ ἱερ. δηλ. s. — 3 εἴθε] εἴδε a, ἤγουν ι''. — 4. 5 ὃν — Ἀγησίου om. z. — 5 τῶν ante Στυμφ. om. Vrat. — στυμφαλέων a. — 6 τῶν ἐν] τὸν ἐν Vrat. z μ' φ'. — στυμφαλίαι φ' edd. ante Oxx. — 7 ἑταίραν ι''. — ἤγουν ι''. — 8 λόγω λείπ. z. — 8. 9 τὸν et τὴν μητέρα om. q. — 9 καλῆς q. — 13 Lemma δύ' ἄγκυραι omisi cum ΓΔ. — 14 συῤῥάκουσαν Δ, syracusas ι'', συρακούσας [Γμ'] Heyne, Bœckh. — 15 ἄγγυραι s. — 18 ἑλὼν Vrat. — ὠφελ. ΓΔ, σώζεται α', σώζεται cett. — 19 Glossam Moschopuleam, quæ in codd. mixtis et edd. infra p. 240, 15 post ταχείας textui inserta legitur, e solo a edidi.

ποδος σκίμπτομαι τὸ στηρίζομαι, ἀφ' οὗ τὸ ἀπεσκίμφθαι. — ὁ ὑπὲρ αὐτοῦ φροντίζων.

174. *Germ. Τῶν δ' ἐκείνων τε] τούτων τῶν Ἀρκάδων καὶ τῶν Συρακουσίων.*

gl. 174. *τῶν Συρακουσίων. — τῶν Ἀρκάδων. — ἔνδοξον.* — 175. *τύχην. — τῷ Ἀγησίᾳ. — αὐτόν.* — 176. *ὦ Πόσειδον ὁ τῆς θαλάσσης ἄρχων.* — 177. *λείαν καὶ ἡδυτάτην τὴν κατὰ τὸν βίον ὁδόν.* — 178. * *τὸν πλοῦν* — * * *ἔντα τὸν πλοῦν. — αὐτῷ τῷ Ἀγησίᾳ.* — 179. *χρυσῆν ἠλακάτην ἐχούσης.* — * *ὁ ἀνήρ.* — * * *τῆς θαλάσσης.* — 180. * *αὔξανε, ἤτοι ἡδεῖαν τοῖς δεχομένοις καὶ κρείττονα τῶν ἄλλων ποίει.*

170—180. *M. Ἀγαθαὶ δέ εἰσι δύο ἄγκυραι ἐκ νηὸς ταχείας ἀπεσκίμφθαι, ἤγουν κρέμασθαι, ἐρείδουσαι αὐτήν· τουτέστιν ἀγαθαὶ δὲ δύο πατρίδες δεξιοῦσθαί τινα, ὥσπερ δύο ἄγκυραι ἀπεσκίμφθαι ἐκ νηὸς ταχείας. ὁ θεὸς εἴθε παρέχοι τὴν μοῖραν τούτων* (174), *ἤγουν τῶν Ἀρκάδων, ἐκείνων τε, ἤγουν τῶν*

---

1 *σκέπτομαι a. — ἀπεσκίμφαι a.* — **3** Post lemma in *U* verba *ὁ νοῦς* leguntur, quæ ad ea potius spectant, quæ in *U* post *Συρακουσίων* sequuntur eadem cum vulgatis. — *καὶ* ego scripsi pro *ἤ*. — **9** In codd. mixtis *ἀνέρ* est glossa Thomano-Tricl. in *α'* omissa. — **10** Glossa Thomana in *α'*, codd. mixtis et edd. præfixo lemmate *ἄεξε (αὔξε* Vrat., omm. *z μ' φ')* in calce scholiorum ad hoc carmen legitur. — *ἤγουν ι''*. — *ἡδεῖαν ΓΔ, ἡδεῖς (οὐδεὶς ξ') τοὺς ὕμνους* cett. — **11** *κρείττονα ΓΔ, κρείττονας* cett. — **12** *δεὶ αἱ ι'' φ'*. — *ἄγγυραι z*. — **13** *ἀπεσκίμφαι a, ἀπεσκίφθαι q, ἀπεσχίμφθαι ι'', ἀποσκίφθαι ξ', ἀπεσκίφθαι φ', ἀπέσκιμφθαι z, ἀπεσκῖμφθαι* Boeckh. — **13—15** *ἤγουν — ἀπεσκ.* om. *ξ'*. — **14** *ἄγγυραι z*. — **15** *ἀπεσκίφθαι q μ', ἀπεσκίμφαι φ', ἀπεσκίμφθαι z*. — Post *ταχείας* in codd. mixtis et edd. hæc inserta leguntur (confer glossam Mosch. ad v. 173): *ἀπὸ τοῦ σκίμπους (σκίπους μ', om. ι'') σκίμποδος (σκίποδος ι'') σκίμπτομαι τὸ στηρίζομαι, ἀφ' οὗ τὸ ἀπεσκίμφθαι (ἀποσκίφθαι ξ')*. — Inde ab *ὁ θεὸς* novum comma incipit in *μ' φ'*. — *παράσχοι a, παρέχει ξ'*. — **16** *τε* om. Vrat.

Συρακουσίων, κλυτήν, τουτέστιν ἐπὶ πολλὰς ἀκοὰς ἐρχομένην μετὰ δόξης. σὺ δέ, ὦ δέσποτα (176) Πόσειδον, ποντόμεδον, ἤγουν βασιλεῦ τῆς θαλάττης, ἄνερ τῆς Ἀμφιτρίτης τῆς χρυσηλακάτου, φιλῶν τοῦτον, ἤτοι τὸν Ἀγησίαν ὡς ἀπόγονον σόν, εὐθὺν (177) πλοῦν, ἀντὶ τοῦ ἄπονον ζωὴν δίδου, αὐτῷ δηλονότι, καμάτων, ἀντὶ τοῦ δυστυχιῶν ἐκτὸς οὖσαν· τῶν ἐμῶν δὲ ὕμνων τὸ ἄνθος εὐτερπὲς ἄεξε, ἀντὶ τοῦ αὔξων τερπνὸν ποίει.

---

1 συρακουσῶν ξ'. — ἀκουάς ἐρχομένους q. — 2 Ante σὺ lemma δέσποτα ποντόμεδον (-μέδων Vrat. ξ') est in codd. mixtis et edd.; — σύνταξις z ι'' μ' in marg., ξ' et ed. Boeckh. in textu. — Πόσειδον ex aq ι'' accessit. — ποντομέδων ξ'. — 3 θαλάσσης z ι'' φ'. — 3. 4 χρυσολακάτου z μ'. — τῆς χρυσηλ. om. ι''. — 4 ἤτοι aq, ἤγουν cett. — 6 ἐκτὸς οὓς ἂν τῶν ἐμῶν (om. δέ) a. — 7 τὸ om. ι''. — αὖξον edd. — τεπνόν φ'. — In calce Boeckh «ex Bodleianis» ἤγουν τῶν ἐμῶν ὕμνων τὸ ἄνθος αὔξανε πάντοτε τερπνόν, ἀντὶ τοῦ αὐξάνων αὐτὸ τὸ ἄνθος τερπνὸν ποίει addidit.

Ἐπίνικοι Ὀλυμπιονίκαις.
Διαγόρᾳ Ῥοδίῳ πύκτῃ. Ὠιδὴ ζʹ.

[Δημητρίου Τρικλινίου]

περὶ τῶν κώλων τῶν στροφῶν καὶ ἀντιστροφῶν του ζʹ εἴδους. Ἔστι δὲ στροφῶν εʹ. Παλαιόν.

Τοῦ ζʹ εἴδους αἱ στροφαὶ καὶ ἀντιστροφαὶ κώλων ἑκάστη ιαʹ. Τὸ αʹ Ἰωνικὸν ἀπ' ἐλάσσονος δίμετρον καταληκτικὸν ἤτοι ἑφθημιμερές. Τὸ βʹ προσοδιακὸν δίμετρον ἀκατάληκτον, Ἰωνικοῦ τοῦ αʹ, τοῦ δὲ βʹ χοριάμβου. Τὸ γʹ τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ δʹ τροχαϊκὸν δίμετρον καταληκτικὸν Εὐριπίδειον ἢ ληκύθιον. Τὸ εʹ ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον. Τὸ ςʹ δακτυλικὸν πενθημιμερές. Τὸ ζʹ προσοδιακὸν ὅμοιον τῷ βʹ. Τὸ ηʹ ἐγκωμιολογικὸν ἤτοι ἐκ δακτυλικοῦ καὶ ἰαμβικοῦ πενθημιμερῶν.

Scholia ad Ol. VII excepto titulo scholii metrici desunt in Vrat. — Scholia metrica ad hoc carmen Bœckh ex Vrat. *A* [hoc falsum] et Mosc. *B* se edidisse testatur, ego ex *z αʹ ιʹʹ μʹ ξʹ* novi. In *q* hæc nota legitur separata a reliquis: *τοῦ ζʹ εἴδους ἡ στροφὴ καὶ ἀντιστροφὴ κώλων ιαʹ, ἡ ἐπῳδὸς κώλων ιγʹ.* — **5** *ἔστι — παλαιόν* om. *z*. — Ante *στροφῶν* cum *αʹ ιʹʹ* delevi *τὸ ᾆσμα.* — *Παλαιὸν* in *αʹ ιʹʹ* in marg. legitur. — **6** *ἑκάστη* om. *ιʹʹ*. — **9** *δὲ* om. *ξʹ*. — **10. 11** *Εὐρ. ἢ ληκ.* om. *z*. — *Εὐριπίδιον μʹ ξʹ*. — **11. 12** *δακτ. καὶ πενθ. ιʹʹ*. — **13** *πενθημιμερῶν z ιʹʹ μʹ ξʹ* et *αʹ* post corr., *πενθημιμεροῦς αʹ* ante corr. et ed. Bœckh.

Τὸ θ' ὅμοιον τῷ ϛ'. Τὸ ι' Ἰωνικὸν ἀπ' ἐλάσσονος δίμετρον ἀκατάληκτον. Τὸ ια' δακτυλικὸν τρίμετρον ἀκατάληκτον. Ἐφ' ἑκάστῃ στροφῇ καὶ ἀντιστροφῇ παράγραφος.

Περὶ τῶν κώλων τῶν ἐπῳδῶν.

Αἱ ἐπῳδοὶ κώλων ἑκάστη ιγ'. Τὸ α' δακτυλικὸν πενθημιμερές. Τὸ β' προσοδιακὸν ἀπὸ μείζονος Ἰωνικοῦ τρίμετρον ἀκατάληκτον. Τὸ γ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ δ' δακτυλικὸν τρίμετρον ἀκατάληκτον, ἢ προσοδιακὸν δίμετρον ἀκατάληκτον ἐκ χοριάμβου καὶ Ἰωνικοῦ. Τὸ ε' ἀναπαιστικὸν μονόμετρον. Τὸ ϛ' δακτυλικὸν ἑφθημιμερές, ὃ καλεῖται ἀκέφαλον διὰ τὸ ἔχειν βραχεῖαν τὴν α' συλλαβήν. Τὸ ζ' προσοδιακὸν δίμετρον ἀκατάληκτον. Τὸ η' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ θ' δακτυλικὸν πενθημιμερές. Τὸ ι' ἰαμβέλεγος, τοῦ α' ἰάμβου λελυμένου. ἔστι γὰρ ἐξ ἰαμβικοῦ καὶ δακτυλικοῦ πενθημιμερῶν. Τὸ ια' Ἰωνικὸν δίμετρον καταληκτικὸν ἀπὸ ἐλάσσονος. Τὸ ιβ' προσοδιακὸν δίμετρον καταληκτικὸν ἀπὸ ἐλάσσονος Ἰωνικοῦ καὶ χοριάμβου καταληκτικοῦ. Τὸ ιγ' τροχαϊκὸν τρίμετρον ἀκατάληκτον, ὃ καλεῖται Στησιχόρειον. Ἐπὶ τῷ τέλει τὰ συνήθη σημεῖα, ἤτοι ἐφ' ἑκάστῃ ἐπῳδῷ κορωνὶς καὶ παράγραφος, ἐπὶ δὲ τῷ τέλει τοῦ ᾄσματος ἀστερίσκος.

---

2 τὸ ια' — ἀκατ. om. ξ in spatio. — 3 στροφῶν καὶ ἀντιστροφῶν ι''. — 5 αἱ ἐπωδοὶ α'ι'', ἑκάστη ἐπωδὸς cett. — ἑκάστη ex α' addidi. — 7 τὸ γ' τροχ. δίμ. ἀκατ. om. z. — 9 καὶ om. ι''. — 10 ἑφθημιμερὲς μ'. — 10. 11 βραχίαν z. — 15. 16 τὸ ιβ' — ἐλάσσ. om. z. — 19 τοῦ om. ι''.

Th. Ταύτην τὴν ᾠδήν φασιν ἀνακεῖσθαι χρυσοῖς γράμμασιν ἐν τῷ τῆς Λιναίας Ἀθηνᾶς ἱερῷ· ἀνέθεσαν δὲ ἢ Πίνδαρον τιμῶντες ἢ Διαγόραν.

M. Ταύτην τὴν ᾠδὴν ἀνακεῖσθαί φησι Γόργων ἐν τῷ τῆς Λιναίας Ἀθηνᾶς ἱερῷ χρυσοῖς γράμμασιν. ἐνίκησε δὲ καὶ Πύθια καὶ Ἴσθμια.

gl. 1. ** Τὸ προοίμιον ἐκ παραδείγματος. — ποτήριον. — ** ὥσπερ. — ** ἄνθρωπος. — 2. εὐδαίμονος. — τῆς αὐτοῦ. — *† λαβών. — 3. οἱονεὶ πηδῶσαν, ὥσπερ ἔστιν ὁρᾶν ἐν τοῖς καλλίστοις τῶν οἴνων. — 4. ἤτοι οἴνῳ. — δῶρον παράσχοι ταύτην. — 5. αὐτοῦ. — πρῶτος ἐκ ταύτης γευόμενος. — 7. *† ἐξαίρετον τῶν ἄλλων κτημάτων. — 8. τὴν ἡδονήν. — *† τὴν αὐτοῦ συγγένειαν. — 9. τὸ ἴδιον. — σὺν τούτοις δέ. — τῶν ἐν τῷ συμποσίῳ. — 10. ** παρόντων. — *† ἐποίησε. — αὐτὸν τὸν γαμβρόν. — 11. * μακαριστόν. — συγγενικῆς. — *† ἕνεκα τοῦ λέχους· — ** τοῦ λέχους. — 12. θεῖον πόμα ἤτοι ὕμνον. — ῥευστόν.

1—12. *Germ.* Ἡ σύνταξις αὕτη. ὡς εἴ τις ἄνθρωπος ἑλὼν ἀπὸ χειρὸς ἀφνειᾶς φιάλην πάγχρυσον κορυφὴν τῶν κτεάνων καχλάζουσαν ἔνδον ἐν δρόσῳ τῆς ἀμπέλου προπίνων δωρήσεται

1 Scholiis inscriptio σχόλια τῶν αὐτῶν præfixa est in z'' μ' ξ' φ'. — 1—3 om. z. — 2 λιναίας ΓΑ, ληναίας cett. codd. et edd. ante Beckium, qui primus Λινδίας edidit. — 4 Scholium Mosch. ex scholiis veteribus excerptum, quod etiam Γ liber inter glossas, ι'' μ' φ' inter scholium Thomanum ad v. 11 et eorundem versuum paraphr. Mosch. exhibent, ex *aq*, in quibus tamen separatum a reliquis legitur, edidi. — ἀνακεῖσθαι φησὶ codd. — 5 ληνέας ἀθηνᾶς *a*, omm. z μ' φ'. — δὲ διαγόρας καὶ z ι'' μ' φ'. — καὶ νέμεα z. — 9 in Α ἐξελὼν est pro λαβών, quod paraphrasis Thomana tuetur. — 13 Ad v. 9 hæc schol. Bodl. β: σύναπτε τὴν ἐν μετὰ τοῦ θῆκε, ἵν' ᾖ ἐνέθηκε. — 16 Glossæ Thomanæ in ΓΑ male dispositæ sunt: θεῖον πόμα, — ῥευστὸν ἤτοι ὕμνον. — 18 Post Ἡ delevi δὲ voculam.

τῷ νεανίᾳ γαμβρῷ οἴκοθεν οἴκαδε διὰ τὴν ὁμόφρονα εὐνήν, τιμήσας τὴν χάριν τε τοῦ συμποσίου τὸ κῆδός τε τὸ ἑόν, παρεόντων δὲ τῶν φίλων ἐνέθηκέ μιν ζηλωτόν· οὕτω καὶ ἐγὼ τὸ νέκταρ τὸ χυτόν, καὶ τἄλλα.

gl. 13. αὗται γὰρ τοὺς λόγους παρέσχον μοι. — ἀγωνισταῖς, ἤτοι τῷ Διαγόρᾳ. — 14. τοῖς γὰρ δεχομένοις ὁ ἔπαινος γλυκύς. — 15. * τῆς ἐμῆς. — ἱλαροὺς καὶ χαρίεντας αὐτοὺς ποιῶ διὰ τοῦ ὕμνου. — 16. ἐν ἀμφοτέροις γὰρ τούτοις ἐνίκησε Διαγόρας.

1—17. *Th.* Ὥσπερ εἴ τις ἄνθρωπος ἑλὼν καὶ λαβὼν ἀπὸ τῆς ἀφνειᾶς καὶ ἐνδόξου χειρὸς αὐτοῦ φιάλην καὶ ποτήριον πάγχρυσον, κορυφὴν καὶ ἐξαίρετον τῶν ἄλλων κτεάνων καὶ κτημάτων, καχλάζουσαν καὶ κινουμένην ἔνδον ἐν δρόσῳ ἀμπέλου, ἤτοι οἴνῳ, δωρήσεται καὶ δῶρον ταύτην παράσχοι νεανίᾳ (5) γαμβρῷ αὐτοῦ οἴκοθεν οἴκαδε· ἑαυτοῦ γὰρ οὖσαν γαμβρῷ ἑαυτοῦ ἔδωκε· προπίνων καὶ πρῶτος γευόμενος ἀπὸ ταύτης, τιμήσας καὶ τὴν χάριν τοῦ συμποσίου καὶ τὸ ἑὸν (9) καὶ ἴδιον κῆδος καὶ συγγένειαν, τουτέστι τίμιον τὸ συμπόσιον τῇ φιλοδωρίᾳ ποιήσας, καὶ ὅτι τὸ αὐτὸν συγγενῆ ἔχειν πλείστου ἄξιόν ἐστιν, ἐπειδὴ τοιαῦτα χαρίζεται· ἐν δέ,

---

2 χάριν τὲ U. — κῆδος τὲ U. — 3 ἐνέθηκε μὲν U. — οὕτω scripsi pro οὗτος. — 10 Scholium Thomanum om. *z*. — σύνταξις α′ μ′ in marg., ξ′ et Boeckh in textu. — Lemma φιάλαν ὡς εἴ τις omisi cum ΓΛ. — ἑλὼν καὶ omm. edd. — 11 καὶ ἐνδόξου omm. edd. — αὐτοῦ χειρὸς edd. — φιάλαν ξ′. — 12 κτεάνων καὶ κτημάτων codd. excepto Γ, qui om. κτεάνων καί, in edd. καὶ κτημ. deest. — 13 ἐν omm. edd. — δρόσου Λ. — οἴνου ex οἴνῳ Γ. — 14 καὶ δῶρον (δῶρα Γ) et παράσχοι (παρέχει Γ) omm. edd. — ταύτῃ φ′. — ἑαυτοῦ edd. — 15 οἴκοθεν — ἔδωκε omm. edd. — ἑαυτοῦ γαμβρῷ Γ. — 15. 16 προσπίνων ξ′, προπίνων φ′. — 16 καὶ πρῶτος (πρώτως Γ, πρῶτον μ′ ξ′ φ′) γενόμενος (γινόμενος μ′) omm. edd. — 17 ἴδιον] ἤτοι τὸ ἴδιον ι′, τὸ ἴδιον ξ′. — 18 τὸ συμπ. om. ξ′. — καὶ omm. edd. — τὸ αὐτὸ ξ′. — 18. 19 ὅτι τὸν αὐτὸν σ. ἔχει edd. — 19 πλεῖστον μ′ ξ′ φ′. — ἄξιός ἐστιν [Λ?] edd.

ἤγουν σὺν τούτοις ἔθηκέ μιν καὶ αὐτόν, τὸν γαμβρόν, παρόντων τῶν φίλων ζηλωτὸν καὶ μακαριστὸν ἕνεκα τῆς εὐνῆς καὶ τοῦ λέχους οὗπερ ἠξίωται, τῆς ὁμόφρονος καὶ συγγενικῆς· καὶ ἐγὼ πέμπων τοῖς ἀεθλοφόροις καὶ ἀγωνισταῖς ἀνδράσι (14) νικώντεσσι καὶ νικῶσιν ἐν Ὀλυμπίᾳ καὶ ἐν Πυθοῖ, νέκταρ χυτὸν καὶ ῥευστόν, ἤτοι ὕμνον, δόσιν Μουσῶν, γλυκὺν καρπὸν τῆς ἐμῆς φρενός, ἱλάσκομαι καὶ ἱλαροὺς καὶ χαρίεντας αὐτοὺς τίθημι. εἰ δὲ οὕτως ἐστὶν ἡ τῆς παραβολῆς ταύτης ἀπόδοσις, μὴ θαυμάσῃς· πολλὰ γὰρ ἂν τοιαῦτα ζητῶν εὑρήσεις.

Th. Τὸ φιάλαν εἰ μὲν συνάψεις πρὸς τὸ πάγχρυσον, κορυφὴν αὐτὴν τῶν ἄλλων κτεάνων νοήσεις, οὐχ ὡς ποτήριον, ἀλλ' ὡς χρυσῆν. ἔφη γὰρ πρόσθεν (Ol. III, 44)· Κτεάνων δὲ χρυσὸς αἰδοιέστατος. εἰ δὲ συνάψεις τὸ πάγχρυσον πρὸς τὸ τιμήσαις, εἴποις οὕτω· τιμήσας τὴν πάγχρυσος κορυφὴν τῶν κτεάνων, τουτέστι τὸν αὐτῷ προσόντα χρυσόν· διότι οὐχ ἕτερόν τι κτῆμα, ἀλλὰ φιάλην ἐκ χρυσοῦ ἐχαρίσατο. τὸ δὲ ἀφνειᾶς ἀπὸ χειρὸς ἢ πρὸς τὸ ἑλὼν σύναπτε, ἢ πρὸς τὸ δωρήσεται· κρεῖττον δέ ἐστι τὸ πρῶτον, ὅπερ ἀγνοοῦντές τινες διὰ τὸ ἔχειν τινὰ

---

2 τῶν omm. edd. — ζηλωτὸν om. ξ'. — 3 λέγχους ξ. — οὕτω ante καὶ ἐγὼ add. edd. — 4 ἀεθλ. ΓΔα' ι', ἀθλ. cett. — καὶ ἀγωνισταῖς (καὶ συναγων. ξ') omm. edd. — νικώντεσι Δξ, νικώντεσσι καὶ om. ι'. — 5 ἐν post καὶ omm. ι' μ' φ'. — 5. 6 καὶ ἀρεστὸν edd. — 6 Inter Μουσῶν et γλυκὺν in edd. τουτέστιν ἣν αἱ Μοῦσαι διδόασιν, ἤγουν τόκον τῆς ἐμῆς γνώσεως e paraphrasi Mosch. insertum est. — 7 καὶ χαρίεντας omm. edd. — 8 οὕτως Γ, μὴ οὕτως Δ, τοιαύτη cett. — 10 Scholium Thomanum om. z. — φίλαν edd. ante Heynium. — 11 In α' ante corr. αὐτὴν post κτεάνων legebatur. — νόει edd. — 12 πρόσθε φ'. — 13 αἰδοιαίστατος ι'. — εἰ δὲ οὐ συνάψεις codd. — 14 τιμήσεις Γ. — οὕτως ξ'. — 15 οὐδέτερον edd. — τι ex ΓΔ accessit. — 16 Inde ab τὸ δὲ novum comma incipit in μ' φ'. — ἀλφειᾶς ξ'. — 18 δ' ἔστι edd.

ἀσάφειαν οὐ δέχονται. τὸ δ' οὕτως ἔχει· ἑλὼν ἀφνειᾶς ἀπὸ χειρός, τουτέστιν αὐτὸς ταύτην κατέχων, ἐπεὶ ἑτέρῳ ἔδωκεν, ὥσπερ ἀπὸ τῆς κατεχούσης αὐτὴν χειρὸς ταύτην ἀφεῖλε τὴν κύλικα. τὸ δὲ κῆδος ἢ ὡς ἔφαμεν λέγε, ἢ κῆδος ἑὸν νόει τὸν ἴδιον γαμβρόν· ἵν' ᾖ τὸ κῆδος τιμάσαις ἑὸν καὶ τὸ ἐν δέ μιν ζηλωτὸν ἔθηκε ταυτόν. πρὸς δὲ τὸ εὐνᾶς εἰ καὶ τὸ ἕνεκα ἔξωθεν ἐλάβομεν, ἀλλὰ κατὰ τὴν κοινὴν συνήθειαν· ἔστι γὰρ ἡ τοιαύτη γενικὴ πρὸς τὸ ζηλωτός. εἰ γὰρ ἡ εὐνὴ ζηλωτὸν ἐκεῖνον ἐποίησε, πῶς οὐκ εἰκός ἐστι λέγειν ζηλωτὸν εὐνῆς; ὥσπερ γὰρ ῥεῦμα πηγῆς λέγομεν, οὕτω καὶ τοῦτο. ὅπερ εἰ μὴ δέχεταί τις, οὐδεὶς ἡμῖν λόγος. τὸ δὲ ἱλάσκομαι εἶπεν ἐκ μεταφορᾶς τῶν ἱκετευομένων, οὓς οἱ ἱκετεύοντες τῷ συνεχεῖ τῆς ἱκεσίας πρὸς οἶκτον καὶ ἔλεον αὐτῶν μαλθάσσουσιν.

M. Ὥσπερ εἴ τις φιάλην λαβὼν διόλου χρυσῆν, κορυφὴν κτεάνων, ἤγουν ἐξαίρετον κτῆμα τῶν κτημάτων, καχλάζουσαν ἔνδον δρόσῳ ἀμπέλου, τουτέστιν οἴνῳ, ἀντὶ τοῦ οἶνον ἔχουσαν ἔνδον ἀναπηδῶντα τῇ ἑαυτοῦ φυσικῇ θέρμῃ, διὰ χειρὸς πλουσιοδώρου δωρήσεται, ἤγουν χαρίσεται νεανίᾳ (5) γαμβρῷ ἑαυτοῦ προπίνων, τουτέστιν ἅμα τῷ πόματι καὶ τὴν φιάλην χαριζόμενος, οἴκοθεν, ἤγουν ἀπὸ τοῦ ἰδίου οἴκου, ὥστε ἐνεγκεῖν τὸν νεανίαν εἰς

---

3 κατ. χ. αὐτὴν ταύτην ξ'. — ἀφεῖλε ΓΔ α' ι'', ἀφεῖναι cett. — 4 ἔφημεν Δ. — 4. 5 ἢ ὡς — ἵν' ᾖ τὸ κῆδος om. ξ'. — 5 τιμάσαις ΓΔ, τιμήσας cett. — 6 ταυτόν ΓΔ, ταυτό cett. — εὐνὰν Δ, εὐνὰς ξ'. — ἕνεκα om. ξ'. — 8 εἰ] ἡ φ'. — ἡ om. ξ'. — 8. 9 εἰ γὰρ — εὐνῆς om. ι''. — 12 οἱ om. Γ. — οἰκεσίας Δ. — 13 ἔλαιον Γ. — μαλθάσουσι ι'', μανθάνουσιν φ'. — 14 Lemma ἄλλως est apud Beckium et Heynium, ἄλλως. σύνταξις apud Bœckhium, ἄλλως. φιάλαν ὡς εἴ τις in cett. edd., φιάλαν in z, φιάλαν ὡς in ι'', φιάλαν ὡς εἴ τις in cett. codd. mixtis (σύνταξις præcedit in φ', idem habet μ' in marg.). — χρυσὴν α ξ'. — 15 ἐξ. χρῆμα z. — 16. 17 ἔνδον ἔχουσαν z. — 17 φυσικη θέρμη q. — 19 φιάλην] φήμην ξ'. — 20 Post ἐνεγκεῖν in ι'' μ' ξ' φ' αὐτήν, in z αὐτόν legitur. — τῷ νεανίᾳ z μ' ξ' φ'.

τὴν ἑαυτου οἰκίαν, τὸ ἐπαγωγόν τε τοῦ συμποσίου τιμήσας, περιφραστικῶς, τουτέστι τὸ συμπόσιον καὶ τὴν συγγένειαν τὴν ἑαυτοῦ (9)· φίλων δὲ συμπαρόντων ἐποίησεν αὐτόν, ἤγουν τὸν ἑαυτοῦ γαμβρόν, ζηλωτόν, τουτέστι μακαριστὸν ἕνεκα τῆς συναφείας τῆς γαμικῆς, ᾗ ἐξ ἀνάγκης ἕπεται ἡ ὁμοφροσύνη· οὕτω δηλονότι καὶ ἐγὼ νέκταρ χυτόν, λέγω δόσιν Μουσῶν, τουτέστιν ἣν αἱ Μοῦσαι διδόασι, γλυκὺν καρπόν, ἤγουν τόκον τῆς ἐμῆς γνώσεως πέμπων ἀνδράσιν (14) ἀθλοφόροις, ἤτοι νικηταῖς ἐν Ὀλυμπίᾳ καὶ Πυθοῖ νικῶσιν, ἀντὶ τοῦ νικήσασιν, ἱλάσκομαι αὐτοὺς δηλονότι, ἤγουν ἱλαρούς, χαρωποὺς ποιῶ.

17. *Th.* Εἰ μὲν ὀξύνεις τὸ ὅ, οὕτως ἐρεῖς· ὅδε καὶ οὗτος ὑπάρχει ὄλβιος καὶ εὐδαίμων, ὃν κατέχουσι φῆμαι ἀγαθαί· εἰ δὲ καθ' ὁμαλισμὸν γράφεις, οὕτως· ὁ δὲ ὄλβιος αὐτός ἐστιν, ὃν φῆμαι κατέχουσιν ἀγαθαί.

gl. 17. εὐδαίμων. — 18. ἤγουν ὃν πάντες θαυμάζουσιν. — 19. ἐν ἄλλῳ καιρῷ. — ἄνθρωπον. — ἐπιβλέπει. — νίκης εὐτυχία. — 20. θάλλειν καὶ ζῆν αὐτὸν ποιοῦσα εἰς τὸ ἑξῆς. — γλυκυτάτῃ.

21. *Th.* Πολυφθόγγοις διὰ τὰς ἐν αὐτοῖς ὀπάς. λέγει δὲ

---

1 τι ι'', τὲ α, τι q, omm. cett. — Confer glossatorem libri b: συμποσίου τε χάριν τιμήσας τουτέστι τὸ συμπόσιον, καὶ ἔστι τὸ σχῆμα περίφρασις. — 2 τουτέστι] ἀντὶ τοῦ q, ἤγουν z. — 3 δέ om. a. — γαυρὸν q. — 5 ἐξαν. aqξ'. — οὕτως ξ'. — 8 ἤγουν ι''. — νενικηταῖς q. — 9 νενικήκασιν q. — 10 χαροποὺς q ξ' φ', χαραποὺς a, χαροποιοὺς z, χαρωποὺς cett. — 11 Totum scholium om. z, a miniatore in margine adscriptum exhibet ξ'. — Lemma Ὅδ' ὄλβιος omisi cum ΓΔ. — 14 κατέχουσι φῆμαι ἀγ. ξ'. — 19 Lemma παμφώνοισί τε omisi cum ΓΔ. — ἤτοι ante πολ. add. ξ'. — ἐν αὐτοῖς ι'', ἐν αὐ α', ἐν αὐτῇ Δ, ἑαυτῶν Γ, qui verba πολυφθ. — ὀπὰς inter glossas exhibet, ἐν αὐτὸ ξ', ἐν αὐτῷ cett. codd. et edd. ante Heynium, qui primus ἐν αὐλῷ, quod Beck coniecit, recepit. — ὀπὰς μ'. — δέ om. Γ.

ὅτι ἡ κατορθωθεῖσά τινι νίκη εἰ ἐπαίνου τεύξεται, ἀδιαλείπτως αὐτή τε θάλλει καὶ ὥσπερ ζῇ οὐχ ὑπὸ λήθης ἀφανιζομένη, καὶ τὸν ποιήσαντα ταύτην τοιοῦτον τοῖς ἑξῆς παρίστησι. τὸ δὲ φόρμιγγι καὶ τὸ αὐλοῖς λέγει, ἐπειδὴ διὰ τοιούτων αὐτὸς ᾖδε τὰ ἔπη.

gl. 21. ἀδιαλείπτως· σύναπτε δὲ πρὸς τὸ ζωθάλμιος. — * * κιθάρᾳ. — * * πολυφθόγγοις. — 22. ἤτοι αὐλοῖς ἐντεταμένως ἠχοῦσιν.

17—22. M. Οὗτος δὲ μακάριος, ὃν κατέχουσι φῆμαι ἀγαθαί, τουτέστι διαλαλήσεις χρησταί, ἃς οἱ ὕμνοι δηλονότι ποιοῦσι. τὸ γὰρ ἐπαγόμενον τοῦτο δίδωσι συνυπακούεσθαι. ἐπάγεται γάρ· ἄλλοτε (19) δ' ἄλλον ἐποπτεύει χάρις ζωθάλμιος, ἀντὶ τοῦ ἄλλοτε δὲ ἄλλον θάλπει, περιέπει τὸ ἐπαγωγὸν τῶν ὕμνων τὸ θαλερᾶς ζωῆς πάροχον, ἅμα μὲν (21) καὶ σὺν φόρμιγγι ἡδέα μέλη ἐργαζομένη καὶ ἐν ἔντεσιν, ἤγουν κατασκευάσμασιν αὐλῶν. περιφραστικῶς ἀντὶ τοῦ καὶ ἐν αὐλοῖς παμφώνοις, τουτέστι ποικίλως φωνοῦσιν.

gl. 23. * * δή. — * τῆς φόρμιγγος καὶ τῶν αὐλῶν. — 24. τῷ νῦν προκειμένῳ εἰς ὕμνον. — * θαλασσίαν.

25. Th. Λέγουσί τινες τὴν Ῥόδον, ἧς ἡ νῆσος ἐπώνυμος, παῖδα μὲν Ἀφροδίτης εἶναι, γυναῖκα δὲ Ἡλίου, βεβαιοῦντες

---

1 ἡ ex ΓΛ α' ι'' addidi. — νίκῃ μ'. — εἰς ἐπαίνου ε μ' φ'. — 2 τε om. ι''. — 3 πονήσαντα Heyne, Bœckh, errore. — τοῖς] τὸ Γ. omm. edd. — 4 διὰ τούτων ε μ'. — 9 Lemma ὁ δ' ὄλβιος, cui σύνταξις in ed. Bœckh., σύνταξις τῆς ὄπισθεν σελίδος in μ' præfixum est, delevi cum aqz. — 10 ἃς] ἄνθρωποι a. — οἱ om. a. — δηλονότι ex q ει'' μ' ξ φ' addidi. — 12 ἀλλ' ἐπ. a. — χ. ἡ ζωθ. ξ'. — 13 δὲ aει''ξ'φ', δ' cett. — ἄλλως μ'. — 14 καὶ om. ι''. — 15 ἐν om. q. — 16 καὶ omm. ε μ'. — 18 Ad καί νυν in a δὴ μετὰ glossa extat. — 20 Lemma παῖδ' Ἀφροδίτας (-δίτης εξ', -δίτας (η) μ') omisi cum ΓΛ. — 21 ἡλίου Λ.

τοῦτο ἀπὸ τοῦ νύμφην· ἄλλοι παῖδ' Ἀφροδίτης καὶ Ἡλίου. σὺ δὲ τοῖς πρώτοις πείθου· μαρτυρήσει δὲ καὶ Πίνδαρος προϊών. ποντίαν δὲ λέγει διὰ τὸ τὴν ἐξ αὐτῆς ὀνομασθεῖσαν Ῥόδον ἐν θαλάσσῃ εἶναι καὶ ταύτην ἐν αὐτῇ κατοικεῖν. τὸ δὲ εὐθυμάχαν ἢ πρὸς τὸ Ῥόδον νόει, ὡς καὶ ὄπισθεν ἔφη τὸ Θήβαν πλήξιππον (Ol. VI, 85), *ἢ πρὸς τὸ ἄνδρα. εὐθυμάχης δὲ ἀνὴρ ὁ ὁμόσε τῇ μάχῃ χωρῶν καὶ μηδαμῶς εἰς δειλίαν νεύων. διὰ τοῦτο δὲ εἶπε τὸ ὑμνέων τὴν Ῥόδον, διὰ τὸ τὸν Διαγόραν Ῥόδιον εἶναι.*

gl. 25. * * *ὑμνῶν.* — * * *τὴν θυγατέρα.* — 26. * * *τοῦ Ἡλίου.* — * † *τὴν γυναῖκα.* — 27. *τὴν ἡρωίδα λέγει, ἧς ἡ νῆσος ἐπώνυμος.*

28. *Germ. Εὐθυμάχαν τὸν ἀντιπροσωποῦντα τοὺς συναγωνιστὰς καὶ μὴ παρακάμπτοντα καὶ παραγκωνίζοντα.*

gl. 28. *ἵνα.* — * *τὸν μεγαλόσωμον Διαγόραν ἢ οὗ ἐν Ὀλυμπίᾳ ἀνδριὰς ἵσταται πηχῶν δ' καὶ δακτύλων ε'.* — * * *τὸν Διαγόραν.* — 29. *τῇ Ὀλυμπίᾳ.* — 30. * * *ὑμνήσω.* — *δι' ἧς ἐνταῦθα ἐνίκησε.* — *δῶρα.* — 31. *ἤτοι ἐν Πυθίᾳ· ἐνταῦθα γὰρ ἡ Κασταλία πηγή.* — 32. *τὸν αὐτοῦ.* — *ἀρέσκοντα τῇ δικαιοσύνῃ, ἤτοι τὸν δικαιότατον.*

---

1 Post *ἄλλοι* delevi *δὲ* vocem *ΓΑ* secutus. — *παῖδα Γ.* — *ἡλίου Α.* — 2 *πρώτοις ΓΑ, προτέροις* cett. — 3 *ποντίας ξ', ποντίοις μ'.* — *διομ.*] *ὄνομα πόλιν z.* — 4 *το* (sic) ante *κατ.* add. *ι''.* — 5 *πρ. τὴν ῥ. z.* — *ἐ* littera ante *ὄπ.* deleta est in *ι''*, cuius librarius idem quod Beck desideravit *ἔμπροσθεν* scribere voluit. — 6 *πρ. τὸν ἄνδρα z.* — 7 *ὁμόσαι ι''* ante corr. *z μ' ξ' φ'.* — *μηδ.*] *μὴ Α.* — 8 *τὸν ῥ. ι''.* — *διὰ τὸ τὸν* om. *ξ'.* — 11 Ad *νύμφαν Ῥόδον* glossa *τὴν ἡρώδα* (sic) *λέγει· συμπεριλαμβάνει δὲ αὐτῇ καὶ τὴν νῆσον* legitur in *α.* — 13 Post *εὐθυμ.* delevi *δέ.* — *συναιστάς U.* — 15 Glossa Thomana in *α'*, codd. mixtis et edd. præmissis verbis *πελώριον ἄνδρα· ἤτοι (ἤγουν ι'')* inter scholia legitur. — 16 *πηχῶν ΓΑ, πηχέων* Heyne, Bœckh, *πήχεων* cett.

33. *Germ.* *Ἔμβολος τὸ ἀπὸ πλατέος εἰς ὀξὺ λῆγον, ὥσπερ ἐστὶν ἀπὸ μέσης νηὸς μέχρι καὶ τέλους, λέγεται.*

gl. 33. *μείζων γὰρ αὕτη Λιβύης καὶ Εὐρώπης.*

34. *Th.* *Ἐτέθη ταῖς πόλεσι τὰ ὀνόματα ἀπὸ τῶν τοῦ Ἡλίου υἱωνῶν, Λίνδου, Ἰηλυσοῦ, Καμείρου. γράφεται δὲ καὶ Ἐμβόλου καὶ Ἐμβόλῳ· καὶ τὸ μὲν Ἐμβόλου οὕτως ἀποδώσεις· ναίοντας τὴν τρίπολιν νῆσον πέλας τοῦ Ἐμβόλου τῆς εὐρυχώρου Ἀσίας. ἀντικρὺ γὰρ Ῥόδου Λυκία, ἥτις ἐστὶ τῆς Ἀσίας, ἐν δὲ τῇ Λυκίᾳ χωρίον τι Ἔμβολος καλούμενον διὰ τὸ εἰς ὀξὺ λήγειν τε καὶ στενὸν καὶ προήκειν εἰς θάλατταν. τὸ δὲ Ἐμβόλῳ οὕτω· ναίοντας τὴν τρίπολιν νῆσον ἐν Ἐμβόλῳ πέλας τῆς εὐρυχώρου Ἀσίας. μέρος γάρ τι τῆς Ῥόδου τὸ πρὸς Ἀσίαν εἰς ὀξὺ καὶ στενὸν παρατέταται, ὡς ἐοικέναι ἐμβόλῳ νηός. ἔμβολα γὰρ τὰ τῶν πλοίων ὀξέα, ἃ δὴ καὶ πρῷραι καλοῦνται.*

gl. 34. *τὴν τρεῖς ἔχουσαν πόλεις, Λίνδον, Ἰηλυσὸν καὶ Κάμειρον. — * Ῥόδον. — 35. * τῆς Λυκίας, ἤτοι τῷ ἄκρῳ*

---

1 *πλατέος* scripsi pro *πλατέως*. — 4 *τρίπολιν νᾶσον* [*νῆσον ι''*]) *τὴν τρεῖς ἔχουσαν πόλεις· Λίνδον, Ἰηλυσὸν καὶ Κάμειρον* (*λ. κάμ. ἰηλυσόν τε ξ'*). *ἐτέθη δέ* etc. *α'*, codd. mixti et edd. ex glossa ad v. 34, quæ etiam in *α'* legitur. — *τὰ ὀν. ταῖς πόλ.* *Γ*. — *πόλισι ι''*. — 5 *υἱῶν Γzι''μ' ξ' φ'*. — *ἰηλυσσοῦ ΓΑ*. — *λ. καμ. καὶ ἰηλ. ξ'*. — *καὶ καμείρου* codd. et edd. *ΓΑ* exceptis (*καμείρος ι''*, *καμάρου z*). — *γράφε* codd. ut vid. omnes (de *z* non notavi). — 5. 6 *ἐμβούλου ξ'*, *Ἐμβόλω* Heyne. — *τῆς εὐρυχώρου* (*-χόρου* Heyne, Boeckh) post *Ἐμβόλου* insertum habent edd. — 6 *ἐμβούλω ξ'*, *ἐμβίλω φ'*. — 7 *ἐμβούλου ξ'*. — *εὐρυχόρου z α' μ' φ'*. — 8 *ἄντικρυ ξ'*. — 9 *καλ. ΓΑ α' ι''*, *λεγόμενον* cett. — *λήγειν Γα'ι''μ'ξ'φ'*, *λέγειν Α*, *λῆγον* cett. — 10 *θάλατταν ΓΑ*, *θάλασσαν* cett. — *τῷ δέ Γ*, *τὸ δέ* bis legitur in *ι''*. — 11 *ναίον ξ'*. — *πέρας ξ'*. — 11. 12 *εὐρυχόρου α' ι'' μ' ξ' φ'*, *εὐρυχά*[ο]*ρου z*. — 13 *παρατέτταται ξ'*. — 14 *τῶν* omm. *z μ' ξ' φ'*. — *πρῷραι μ'* fort. recte, *πρῶρα ξ'*. — 16 Glossa Thomana ad v. 35 in solo *Γ* extat, in quo *Λυσίας* est pro *Λυκίας*.

αὐτῆς τῆς Ῥόδου. — τὸν πατέρα καὶ τὸν υἱόν. — οἱ γὰρ μετὰ Τληπολέμου ἐνταῦθα οἰκήσαντες Ἀργεῖοι.

23—35. **M.** *Καὶ δὴ μετ' ἀμφοτέρων, ἤγουν τῆς φόρμιγγος καὶ τῶν αὐλῶν, ἦλθον σὺν τῷ Διαγόρᾳ τῷ νικηφόρῳ, τουτέστι τοῦ Διαγόρου τὴν ὁδὸν ἡγουμένου· οὗτος γὰρ νικήσας ἐγένετο αἴτιος τῆς ὁδοῦ ταύτης· ὑμνῶν (25) τὴν Ῥόδον τὴν θαλασσίαν τὴν παῖδα τῆς Ἀφροδίτης, καὶ νύμφην, ἤγουν γυναῖκα τοῦ Ἡλίου· ὅπως (28) ἄνδρα πελώριον, ἤτοι πάνυ μέγαν, αὐτὸν τὸν Διαγόραν δηλονότι, εὐθυμάχαν, ἤγουν ἄτρεπτον ἐν μάχαις, ὁμόσε χωροῦντα, ἐν τῇ Πίσῃ στεφανωσάμενον, τουτέστι νικήσαντα, καὶ (31) ἐν τῇ Κασταλίᾳ τῇ ἐν Πυθοῖ, ἐπαινέσω ἄποινα, ἀντὶ τοῦ εἰς ἀμοιβὴν τῆς πυγμῆς, καὶ τὸν πατέρα αὐτοῦ τὸν Δαμάγητον τὸν ἀρεστὸν γεγονότα τῇ δίκῃ, ἤτοι τὸν τιμήσαντα τὴν δίκην, τοὺς ναίοντας, ἀντὶ τοῦ τοὺς κατοικήσαντας σὺν αἰχμῇ, τουτέστι δυνάμει, στρατιᾷ Ἀργείᾳ τὴν νῆσον τὴν τρίπολιν, ἤγουν τὴν Ῥόδον, ἐφ' ᾗ τρεῖς ἦσαν πόλεις, Λίνδος, Ἰηλυσὸς καὶ Κάμειρος, πέλας, ἤτοι πλησίον τοῦ ἐμβόλου τῆς Ἀσίας τῆς εὐρυχόρου, τουτέστι τῆς ἐπὶ πολὺ πλάτος κατὰ κύκλον ἀνοιγομένης.*

---

2 *νικήσαντες ΓΛ.* — In *b* glossator hæc de voce *ἔμβολος* annotavit: *ἔμβολος ἐλέγετο χωρίον τὸ ἱερὸν τῆς Λυκίας, ὅπερ ἐστὶν ἄντικρυς τῆς Ῥόδου.* — 3 Libros *aq* secutus delevi lemma *καὶ νυν (καὶ νῦν ι') ὑπ' ἀμφοτέρων*, cui *σύνταξις* adscriptum est in marg. *εμ'*, præcedit in textu *ξ'* Bœckh. — *καὶ — ἀμφ.* om. *ι'*. — *τῆς*] *ἐκ τῆς εμ' ξ φ'*. — 4 *ἦλθον* om. *q*. — 5, 6 *ἐγένετον αἴ τῆς ὁδοῦ q*. — 7 Post *Ἡλίου* in codd. mixtis et edd. glossa Moschopulea ad v. 26. 27 *τὴν ἡρωίδα δὲ (δὲ* om. *ε) λέγει· συμπεριλαμβάνει δὲ αὐτῇ καὶ τὴν νῆσον* inserta legitur. — 9 *εὐθὺ μάχην q*. — *ἄτερπτον ξ'*. — *ἐν ταῖς μ. ι'*. — *ὁμόσαι ε*. — 10 *π. καὶ στεφ. ξ'*. — 11 *τῇ ἐν τῇ πυθοῖ ι'*. — *ἐπ. εἰς ἄποινα* codd. et edd. *aqξ'* exceptis. — 13 *ἤγουν ι'*. — 14 *τοὺς* omm. *q ι'*. — *κατοικοῦντας ξ'*. — 15 *τὴν νῆσον* — 18 om. *ε*. — 16 *πόλεις* om. *a*. — *Λίνδος — Κάμ.* om. *ι'*. — *ἰήλυσος a, ἰηλυσσός q*. — *ἤγουν ι'*. — 17 *εὐρυχώρου ι'*. — 17. 18 *ἐπιπολὺ μ'* post corr.

gl. 36. *τῷ Διαγόρᾳ καὶ Δημαγήτῳ καὶ τοῖς ἄλλοις Ῥοδίοις* — † *ἕνεκα τῶν.* — 38. *κοινόν·* — * * *πᾶσιν ἀνθρώποις.* — *μηνύων ἤγουν ἱστορῶν.* — *ἀποδοῦναι.* — 40. *τῇ ἰσχυροτάτῃ.*

36—40. *Th.* *Ἐθελήσω ὀρθῶσαι καὶ ἀποδοῦναι τοῖσι καὶ τούτοις, Διαγόρᾳ, Δημαγήτῳ καὶ τοῖς ἄλλοις Ῥοδίοις, λόγον ξυνὸν καὶ κοινὸν τῇ εὐρυσθενεῖ γέννᾳ τοῦ Ἡρακλέους, ἀγγέλλων ἐξ ἀρχῆς ἀπὸ Τληπολέμου· τουτέστι δείξω τοὺς Ῥοδίους ἐξ Ἡρακλέους τὸ γένος κατάγοντας, ἀρξάμενος τῆς κατὰ Τληπόλεμον διηγήσεως. τὸ δὲ ἀπὸ Τληπολέμου ὥσπερ μεθερμηνευτικόν ἐστι τοῦ ἐξ ἀρχῆς.*

41. *Th.* *Τληπόλεμος ὁ τῶν Ῥοδίων πρόγονος υἱὸς ἦν Ἡρακλέους καὶ Ἀστυδαμείας. λέγει οὖν τοὺς Ῥοδίους ἐκ μὲν τοῦ πατρὸς τοῦ Τληπολέμου εἰς Δία ἀνάγειν τὸ γένος, εἴπερ Ῥόδιοι μὲν ἐκ Τληπολέμου, ἐξ Ἡρακλέους δὲ Τληπόλεμος, ἐκ Διὸς δὲ Ἡρακλῆς· ἐκ δὲ τῆς μητρὸς αὐτοῦ Ἀστυδαμείας εἰς Ἀμύντορα· Ἀμύντωρ γὰρ ὁ τῆς Ἀστυδαμείας πατήρ.*

gl. 42. *εἶναι.* — *ἀπόγονοι Ἀμύντορος.*

43. *Germ.* *Τὸ δὲ* ματρόθεν] *ποιητικῶς ἐπακολουθεῖ τὸ* Ἀστυδαμείας *τῷ ἐπιῤῥήματι τοῦ* ματρόθεν *ἐπαναλύσει.*

---

4 Scholium Thomanum om. *z*. — Lemma *ἐθελήσω τοῖσιν* est in *ξ'*, *σύνταξις* (quod *μ'* in marg., *ξ'* ante corr. in textu habet) est in ed. Bœckh. — *διορθῶσαι* Heyne. — **5** Post *Διαγ.* cum *ΓΑ* delevi *καί*. — *δαμαγήτῳ Α* et edd. inde a Beckio. — **6** *καὶ κοινὸν* omm. edd. — *ἡρακλέους Γι''μ'ξ'φ'*, *ἡρακλέος* cett. — *ἀγγέλων μ' ξ'*. — **7** *ἐξαρχῆς Α*. — **8** *τὸ γένους Α*. — *κ. τληπόλεμον ΓΑ α' ι''*, *κ. τληπολέμου* cett. — **9** *δὲ* om. *ξ'*. — **10** *ἐξαρχῆς Α*. — **11** In marg. *z* et in textu edd. ante Bœckhium *ἱστορία*, in marg. *α' ι'' μ' ξ' φ'* et in textu ed. Bœckh. *ἱστορία ὅθεν οἱ Ῥόδιοι* legitur. — Lemma *τὸ μὲν γὰρ πατρόθεν* est in *z ι'' μ' φ'* et in edd. ante Bœckhium. — *πρόγορος φ'*. — **12** *ἀστυδαμίας z*. — **13** *ἐκ τληπολέμους z*. — **15** *τῆς ἀστ. ξ'*. — **16** *ἀστυδαμίας z*.

Th. *Τὸ μητρόθεν πρὸς τὸ τόδε συναπτέον, τὸ δὲ Ἀμυντορίδαι διὰ μέσου.*

gl. 43. *θυγατρὸς Ἀμύντορος.* — *ὑπεραπολογεῖται Τληπολέμου.* — 44. *ἁμαρτίαι·* — *ἤγουν οἱ ἄνθρωποι ἁμαρτίαις ὑπόκεινται καὶ οὐκ ἐπὶ τοῦ αὐτοῦ βαίνουσιν.* — 45. * * *ἐπίκεινται.* — 46. *ἄπορόν ἐστιν.* — *τινά.* — 47. * *ὅπερ.* — 48. * *κάλλιστον.* — * *τούτου.*

46—48. *Th.* *Ἀμήχανον δὲ ὑπάρχει εὑρεῖν τοῦτο ὅτι καὶ ὅπερ ὑπάρχει φέρτατον καὶ κράτιστον νῦν ἀνδρὶ τυχεῖν τούτου καὶ ἐν τῇ τελευτῇ, τουτέστιν οὐδεὶς οἶδεν, ὡς εἴ τῳ πάρεστι νῦν εὐδαιμονία, καὶ ὕστερον ταύτης τεύξεται. τοῦτο δὲ λέγει ὑπὲρ Τληπολέμου πρῶτον μὲν εὐτυχοῦντος, ὕστερον δὲ φόνον πεποιηκότος, εἰ καὶ μετὰ ταῦτα πάλιν εὐδαιμονέστατος γέγονε, Ῥοδίων βασιλεὺς καταστάς. ἡ δὲ ἱστορία ἔχει οὕτω. Λικύμνιον*

1 Scholium Thomanum in *Γ* inter glossas legitur. — *ματρόθεν* *Γ*. — *πρὸς τὸ (τὸ* supra lin. in *α′) τόδε (τὸ δε ι″* ante corr.) *ΓΔ α′ ι″ μ′ ξ′ φ′* (in textu plerique codd. *τόδ᾽*, non *τὸ δ᾽* exhibent), *πρὸς τόδε z*, *πρὸς τῷ δὲ* cett. — *σύναψον δὲ τὸ ἀμφὶ μετὰ τοῦ κρέμανται, ἵν᾽ ᾖ ἀμφικρέμανται* Schol. Bodl. *βγ*. — 8 Lemma *τοῦτο δ᾽ (δὲ ι″) ἀμήχανον εὑρεῖν (εὑρεῖν* omm. *ξ′* et edd.) est in codd. mixtis et in edd. ante Beckium. — *ἱστορία z* in marg. — *ἀδύνατον* edd. — *δὲ* om. *z*. — *καὶ* om. *Γ*, *ὅτι καὶ* omm. edd. — 9 *νῦν* ante *φέρτ.* est in edd. — *κράτιστον* *Γ* et edd., *κρεῖτον* *Δ*, *κρεῖττον* cett. — 9, 10 *κρ.* (om. *νῦν) συμβέβηκεν ἀνθρώπῳ τούτου κ. ἐν τ. τ.* (om. *τυχεῖν)* edd. — 10 *ὡς* om. *ι″*. — *πάρεστιν* (om. *νῦν) ι″*. — 11 *ταύτην z*. — 12 *ὑπὲρ τοῦ τλ. ι″*. — *δυστυχήσαντος* inter *δὲ* et *φόνον* insertum legitur in edd. — *εὐμονέστατος* *Δ*. — 14 *καταστὰς* om. *Γ*. — Ante *ἡ δὲ* in edd. ante Bœckhium *ἱστορία*, in ed. Bœckh. idem quod *α′ ι″* (hic quidem Latinis verbis) *ξ′ φ′* in marg. exhibent, *ἱστορία ὅπως ἐν Ῥόδῳ Τληπόλεμος ᾤκησεν* legitur — *οὕτως ΓΔ*.

νόθον κασίγνητον Ἀλκμήνης ἐκ τῆς πατρίδος αὐτοῦ ἐλθόντα εἰς Τίρυνθα Τληπόλεμος στασιάσας πρὸς αὐτὸν ἀπέκτεινεν ἐλαΐνῳ ῥοπάλῳ βαλὼν πόῤῥωθεν. οἱ δέ φασιν, ὅτι βοῦν πλῆξαι θέλων καὶ ῥάβδον πόῤῥωθεν ῥίψας πρὸς ταύτην ἀποτυχὼν ταύτης βάλλει Λικύμνιον καὶ ἀναιρεῖ. ἐλθόντι οὖν εἰς Δελφοὺς καὶ ἀπαλλαγὴν τοῦ μίσους ζητοῦντι ἔχρησεν Ἀπόλλων Ἀργείους παραλαβόντα μετοικίζειν εἰς Ῥόδον. νόθος δὲ ἀδελφὸς τῆς Ἀλκμήνης ὁ Λικύμνιος οὕτως ἦν· Ἠλεκτρυὼν γὰρ Λυσιδίκην τὴν Πέλοπος ἀδελφὴν λαβὼν κατὰ νόμους ποιεῖ Ἀλκμήνην, Μηδέᾳ δὲ πορνικῶς συνελθὼν ποιεῖ Λικύμνιον.

36—48. M. *Ἐθελήσω ἀγγέλλων, ἤγουν διηγούμενος, διορθῶσαι, τουτέστιν ὀρθῶς εἰπεῖν, ἰθῦναι κοινὸν πᾶσιν ἀνθρώποις λόγον χάριν τῶν ἐξ ἀρχῆς ἀπὸ τοῦ Τληπολέμου καταγομένων, ἤγουν τῶν Ῥοδίων, λέγω τῆς γενεᾶς τοῦ Ἡρακλέος τῆς εὐρυσθενοῦς* (40), *τουτέστι τῆς κατὰ πολὺ ἰσχυρᾶς. κατὰ μὲν γὰρ τὸ μέρος τὸ ἀπὸ τοῦ πατρὸς ἐκ τοῦ Διὸς εὔχονται εἶναι, ἀντὶ τοῦ μετὰ τοῦ σεμνύνεσθαι λέγουσιν οἱ Ῥόδιοι· ἀπὸ τοῦ εὔχομαι τὸ*

1 *τῆς ἀλκμ.* ι''. — *ἐλθόντα* ex *ΓΔ α' ι''* accessit, et *ἐλθόντα* vel simile participium deesse vidit Beck, Heyne post *Τίρυνθα* lacunæ signa fixit, Bœckh *παραγενόμενον* inseruit. — 2 *τίρυνθον* z. — 3 Verbis *οἱ δέ φασιν* explicit prima pars codicis *α'*. — 4 *ῥᾶβδον Γ ι'' μ' ξ' φ'* et edd. ante Beckium. — *πρὸς ταύτην* omm. edd. — *ἀπὸ τυχὼν Δ*. — 5 *ἐλθόντα Γ*. — 6 *μίσους Γ Δ z μ' ξ' φ'*, *μύσους* cett., fort. recte. — *ὁ Ἀπ.* [*Δ*] edd. — 8 *οὗτος Δ z ξ'*, *οὗτος* (ω superscr.) *φ'*. — *ἠλεκτρυὼν ΓΔ ξ'* Beck, Heyne, *ἠλεκτριὼν z ι'' μ' φ'*, *ἠλεκτρύων* Bœckh. — *δὲ* z. — *λυσυδίκην Γ*. — *τ. τοῦ πέλ.* z. — 9 *λαβὼν* ex *ΓΔ ι''* addidi. — *ἔχων* post *νόμους* inserunt codd. et edd. *ΓΔ ι'' ξ'* exceptis. — *μηδέᾳ Γ Δ z μ' ξ' φ'* (in hoc *η* ex corr. est) et edd. ante Beckium, atque *Μηδέας* in textu legitur in nonnullis codd. Thomanis, *Μιδέᾳ* cett. — 11 *σύνταξις μ' ξ'* in marg., Bœckh in textu. — *ἀγγέλων μ' ξ'*. — 13 *ἐξαρχῆς q*. — *τοῦ* ex *a q ι'' μ' ξ'* addidi. — 14 *ἡρακλέος a*, *ἡρακλέους* cett. — 15 *κατὰ πολὺ ι'' ξ'*, Beck, Heyne, *καταπολὺ* cett.

καυχῶμαι· κατὰ δὲ τὸ ἀπὸ τῆς μητρὸς μέρος Ἀμυντορίδαι εὔχονται εἶναι ἀπὸ τῆς Ἀστυδαμείας. ταῖς φρεσὶ δέ, ἀντὶ τοῦ ταῖς ψυχαῖς τῶν ἀνθρώπων περικρέμανται ἀμπλακίαι, ἤγουν ἁμαρτίαι ἀναρίθμητοι (45), *ἀντὶ τοῦ πλεῖσται, μυρίαι, τουτέστι μυρίαι δὲ ἁμαρτίαι περικρέμανται ἑκάστῃ ψυχῇ ἀνθρώπου, ὧν εἴς τινα δηλονότι ἀνάγκη αὐτὴν ἐμπεσεῖσθαι. τοῦτο δὲ ἀμήχανον, ἤγουν ἀδύνατον εὑρεῖν, λέγω ὅπερ νῦν κράτιστον συμβέβηκεν ἀνθρώπῳ, τὸ αὐτὸ καὶ ἐν τῇ τελευτῇ, ἤγουν τῷ θανάτῳ αὐτοῦ τυχεῖν, τουτέστι συμβῆναι, εὑρεθῆναι.*

gl. 49. * † *ἀδελφόν.* — 50. * *οὐ νόμιμον.* — * † *ῥάβδῳ.* — * † *τύπτων.* — 51. * *τοιοῦτον γὰρ τὸ φυτόν.* — 52. * *πόλει Ἄργους.* — 53. * † *οἴκων.* — * † *τῆς μητρὸς αὐτοῦ.* — 54. * *τῆς τῶν Ῥοδίων.* — * *ὁ Τληπόλεμος.* — * *τὸ χολωθεὶς πρὸς τὸ ἔκτανε συναπτέον.*

49—54. *Germ.* *Ἡ σύνταξις αὕτη. καὶ γὰρ ὁπότε ὁ οἰκιστὴρ τῆσδε τῆς χθονὸς χολωθεὶς καὶ ὀργισθεὶς τὸν Λικύμνιον τὸν νόθον κασίγνητον τῆς Ἀλκμήνης τὸν ἐλθόντα ἐκ τῶν θαλάμων τῆς Μιδέας ἔκτανεν ἐν τῇ Τίρυνθι θένων ἐν σκήπτῳ τῆς σκληρᾶς ἐλαίας.*

gl. 55. * *γάρ.* — *στάσεις· λέγει δὲ νῦν τὸν θυμόν.* — 56. *ἐξήγαγον τοῦ καθεστηκότος.*

49—56. *M.* *Καὶ γὰρ ὁ οἰκιστὴς ταύτης τῆς γῆς, ἤγουν τῆς*

1 *τῆς* om. *ε.* — 2 *εὔχονται* ex *a q ι'' ξ'* accessit. — *ἀπὸ τῆς ἀστ.* om. *ι'.* — *ἀστυδαμιας* *ε.* — 4 *μυρίαι τουτ.* om. *a.* — 4. 5 *ἀναρ.* — *ἁμ.* om. *ε.* — 5 *περικρέμαν* *a.* — *ψυχὴ* *q.* — *ἀνθρώπων* *a* ante corr. — 6 *ὧν δηλ. εἴς τινα* *q.* — 7 *ἤτοι* *ι'.* — *ἐῤῥεῖν* *ξ'.* — *κράτιστον* (quod etiam inter glossas codd. mixtt. legitur) ex *a q ι''* accessit. — 8 *ἤγουν τῷ θανάτῳ* omm. edd. — 15 Post *Ἡ* delevi *δέ.* — *ὁ* Mommsen addidit. — 18 *θενὼν* Mommsen edidit. — 20 Ad v. 56 hæc Bodl. *β* et glossator libri *b*: *ἰστέον ὅτι ἀπὸ τοῦ πλάζω, ὃ σημαίνει τὸ πλανῶ, ποιεῖται* (*ποιεῖ b*) *ὁ μέλλων πλάξω, ὁ ἀόριστος ἔπλαξα, καὶ τὸ* (*τὸ* om. *b*) *τρίτον τῶν πληθυντικῶν ἔπλαξαν καὶ παρέπλαξαν.*

Ῥόδου, ὁ Τληπόλεμος δηλονότι, χολωθείς, ἤτοι ὀργισθείς ποτε ἔκτανε τὸν Λικύμνιον τὸν νόθον ἀδελφὸν τῆς Ἀλκμήνης, ἐν Τίρυνθι· πόλις δὲ τοῦ Ἄργους ἡ Τίρυνς· ἐλθόντα ἐκ (53) τῶν θαλάμων, ἤγουν τῶν οἴκων τῆς Μιδέας, τῆς μητρὸς αὐτοῦ, θένων τουτέστι τύπτων αὐτὸν ῥάβδῳ ἀπὸ σκληρᾶς ἐλαίας. αἱ δὲ φρενῶν ταραχαί, ἤγουν αἱ δὲ προπετεῖς καὶ ἀκρατεῖς ὀργαί, παρέπλαξαν καὶ σοφόν, τουτέστιν ἐξήνεγκαν τοῦ ὀρθοῦ καὶ φρονίμου. ἀπὸ τοῦ πλάζω τοῦ πλανῶ τὸ παρέπλαξαν.

gl. 57. περὶ τῆς τοῦ φόνου ἀπαλλαγῆς. — τὸν Ἀπόλλωνα. — ὁ Τληπόλεμος. — 58. * ὁ χρυσᾶς κόμας ἔχων Ἀπόλλων. — 59. τεθυμιασμένου. — τοῦ μὴ πολλοῖς εἰσβατοῦ νεώ. — 60. Ἀργείας· Λέρνη γὰρ ἐκεῖσε πηγή. — 61. ἐξ εὐθείας ποιήσασθαι· — ** οὐ χρὴ γράφειν εὐθὺν πρὸς τὸ πλόον· ἀσύντακτον

---

22 *καὶ γὰρ ἀλκμήνας (ἀλκμήνης φ')* est lemma in codd. mixtis et edd., nisi quod lemma omm. Beck et Heyne; lemmati *σύνταξις* praefixum legitur in *ε ξ'* et ed. Bœckh., in marg. habet *μ'*. — *οἰκιστὴρ ξ'* post corr.

1 *δηλονότι* om. *ι''*. — *χολ. ἤτοι ὀργ.* codd. excepto *ι''*, qui om. *ἤτοι ὀργ.*, eadam vocabula desunt in edd. ante Oxx., qui *ὀργισθεὶς* pro *χολ.* scripserunt, utrumque coniunxerunt *(χολ. ὀργ.)* edd. inde a Beckio. — *ποτε* omm. *q ι''*. — 2 *τὸν* om. *ι''*. — *ἀλκαμήνης q*. — 2. 3 *τὸν νόθον — Τίρυνθι* om. *ι''*. — 3 *πόλις — Τίρυνς*] *τίρυνς πόλις ἄργους ι''*. — *τίρυς q* et (ex *τίρυνς*) *a*, *τίρυυς μ' φ'*. — 3—5 *ἐλθόντα — ἐλαίας* om. *ι''*. — 3. 4 *ἐκ τοῦ θαλάμου ε*. — 4 Post *ἤγουν* omisi *ἐκ* cum *aqεμ' ξ'*. — *τοῦ οἴκου ε*. — *μηδέας q ε μ' ξ' φ'* ed. Ro. — 5 *τουτέστι* ex *a q ε μ' ξ' φ'* accessit. — 6 *δὲ* om. *ι''*. — *προπ. καὶ ἀκρ.* codd., Heyne, Bœckh, *ἀκρατεῖς* Oxx., *προπετεῖς* cett. edd. — *ὁρμαί q*. — 6, 7 *παρέπλα.* (sic) *ι''*, qui om. *καὶ σοφόν*. — 7. 8 *καὶ φρονίμου ε ι'' μ' φ'*. — 8 *τὸ πλανῶ a ι'' ξ' φ'*. — *τὸ παρέπλ.* om. *ι''*. — 11 *ὁ ἄδυτος ὁ μὴ εἰσβατος πολλοῖς* Schol. Bodl. *β*. — 13 Glossam Triclinianam Bœckh ex Mosc. *B*, Vrat. *A* edidit, ego ex eodem illo libro Vrat. et ex *ξ' φ'* novi, in quibus in marg. scripta est.

*γὰρ τοῦτο· ἀλλὰ στέλλε ἤγουν στέλλου· οὕτω γὰρ ἔχει ὀρθῶς. — περίῤῥυτον. — 62. οἴκησιν· λέγει δὲ τὴν Ῥόδον. — 63. *† ὁ Ζεύς. — 64. ** συνίζησις. — ὑετοῖς. — τὸ πόλιν καὶ τὸ ἔνθα ἐκ παραλλήλου· ἢ καθ' ὅλον καὶ μέρος, ἵν' ᾖ τὸ ἔνθα ὅλον, τὸ δὲ πόλιν μέρος.*

65. *Th.* *Διαιρεθείσης τῆς τοῦ Διὸς κεφαλῆς ὑπὸ Ἡφαίστου καὶ Ἀθηνᾶς ἐξελθούσης· ἐκεῖ γὰρ αὐτὴν ὤδινεν, ἐλθὼν Ἥλιος εἶπε Ῥοδίοις πρώτους θῦσαι αὐτῇ ὡς ἀναγκαῖον ὂν ἐκεῖ ταύτην οἰκῆσαι παρ' οἷς ἂν πρώτοις θυσία αὐτῇ γένηται. ἀνελθόντες οὖν εἰς τὴν ἀκρόπολιν Ῥόδιοι θῦσαι αὐτῇ, ἐπελάθοντο καὶ πῦρ συμπαραλαβεῖν τοῖς ἐναγίσμασι, καὶ ἀπύρως ἔθυσαν· διὸ συνέβη Ἀθηναίους πρώτους θύσαντας πυρὶ ἐν αὐτοῖς τὴν θεὸν οἰκεῖν ἠξιῶσθαι. Ζεὺς οὖν Ῥοδίων τὴν γνώμην ἀποδεξάμενος χρυσὸν ὑετὸν αὐτοῖς κατέχεεν.*

Th. *Τὸ ἡνίκα ἄνω καὶ πρὸς τὸ ἔνθα ἔχει τὴν ἀπόδοσιν καὶ οὐ πρὸς τὸ τότε· ἔστι γὰρ ἐνταῦθα τὸ τότε παραπλήσιον ὥσπερ ποιεῖ Ὅμηρος ἔν τισι τῶν παραβολῶν ἄνω μὲν ἐχούσαις*

---

1 *ἤγουν* Vrat. ξ' φ', *ἢ* Bœckh edidit. — **6** In codd. mixtis et edd. lemma *ἀνίχ' ἀφαίστου* legitur, cui in edd. *ἱστορία*, quod *ε* in marg. habet, in *ε ξ' φ' ἱστορία ὅπως πρῶτοι ῥόδιοι ἔθυσαν (ῥ. πρ. ἔθ. ξ') τῇ ἀθηνᾷ* præfixum legitur, idem habet *μ'* in marg.; in *ι''* libri marg.: «Historia *πῶς* primi Rhodii *ἀθηνᾶ ἔθυσαν*» legitur. — **7** *ἐξελθούσης, ἐκ τῆς κεφαλῆς γὰρ* edd. — *αὐτὴν* om. *Δ*. — *ὤδινε Δ*. — **7. 8** *ὁ ἥλιος εἶπερ ῥοδίοις ξ'*. — **8** *θύσαι φ'*. — *αὐτὴ ξ'*. — **9** *πρώτης θ*. *αὐτῆς ξ'*. — *αὐτῇ θυσία Γ*. — *γεγένηται Δ*. — **10** *θύσαι ε*. — *καὶ τὸ πῦρ ξ'*. — **11** *συμπαραβαλεῖν φ'* et edd. ante Beckium. — *τῷ ἐναγίσματι φ'*. — *ἀπείρως Δ*. — **12** *ἀθηναίοις Γ*. — *πυρὶ ΓΔ, μετὰ πυρὸς* celt. — **13** *οὖν τὴν ῥόδων* (sic) *γνάμην ι''*. — **13. 14** *χρυσοῦν* edd. inde a Beckio. — **14** *ὑετὸν* om. *ι''*. — *ἐν αὐτοῖς ΓΓ''*. — *κατέχεεν*] pluit *ι''*. — **14. 15** *κατέχεεν. τὸ ἡνίκα δὲ* etc. codd. mixti et edd. — **15** *καὶ* omm. *ΓΓ''*. — *ἀπόδωσιν Γ*. — **16** *οὐ* om. *Γ*. — *ἔστι γάρ — τότε* omm. edd. — *παραπλησίον ξ'*. — **17** *παραβαλῶν ξ'*.

τὴν ἀπόδοσιν, ὅμως δὲ ἐπάγει ὕστερον καὶ τὸ οὕτως οὐκ εἰς ἀπόδοσιν τῆς παραβολῆς, ἀλλὰ διὰ τὴν ἑξῆς ἔννοιαν.

gl. 65. ὁπότε. — 66. σιδηρῷ. — 67. τοῦ Διός. — * * ἤγουν εἰς τὴν ἀκρόπολιν. — 68. ὁρμήσασα, ἐξελθοῦσα. — ἐβόησε. — 69. * μεγάλῃ· δείκνυσι δὲ ἐντεῦθεν τὸ πολεμικὸν τῆς θεοῦ ἢ ὅτι μέγας λόγος ἀνθρώποις ὑπὲρ αὐτῆς ἔσται. — 70. συνέσταλται. — αὐτήν. — * † πάντων. — 71. ὁ φωτίζων τοὺς βροτοὺς ταῖς ἀκτῖσιν ἥλιος. — 72. ὁ υἱὸς τοῦ Ὑπερίονος, ὃς ἦν εἷς τῶν Τιτάνων.

73. Th. Μέλλον χρέος λέγει διὰ τοῦτο, διότι ἀναγκαίως ἔμελλεν ἐκεῖσε τὴν θεὸν οἰκῆσειν ἐν οἷς ἂν πρώτοις θυσία αὐτῇ γένηται.

gl. 73. προσέταξε τηρῆσαι καὶ μὴ ἀμελῆσαι. — 74. τοῖς ἐκγόνοις αὐτοῦ Ῥοδίοις. — 75. * * τῇ Ἀθηνᾷ. — * * ἀνοικοδομήσαιεν. — 76. λαμπρόν. — 77. εὐσεβῆ, μεγάλην.

78. Th. Εἰ μέν ἐστιν ἰάναιεν, σαφής ἐστιν ἡ σύνταξις· εἰ δέ ἐστιν ἰάναι· πλέον γὰρ τοῦτο ἢ ἐκεῖνο εὕρηται· τοῦτο ἔχει τὴν ζήτησιν. φαμὲν οὖν, ὅτι ἐπειδὴ τὸ ὡς ἂν καὶ πρὸς

---

1 τὸ om. ξ'. — 5 μεγάλῃ glossa etiam in codd. mixtis legitur. — 5. 6 πολ. τοῦ βοᾶν καὶ ὅτι ὁ μ. λ. Γ. — 10 Scholium Thomanum om. ε. — Lemma Μέλλον ἔντειλε addunt edd. — τὸ μ. χρ. codd. mixti et edd. — 11 ἐκεῖσε ΓΔ, ἐκεῖ cett. — οἰκῆσαι μ' ante corr. — 13 αὐτῇ Γ. — Ad μέλλον χρέος in cod. b scholium τουτέστι τὴν οἴκησιν, ἣν ἔμελλεν ἡ Ἀθηνᾶ ποιήσειν ἐν τοῖς Ῥοδίοις· καὶ μὴ γένηταί τις ἐμπόδιον πρὸς τὸ μὴ οἰκῆσαι ἐν αὐτοῖς extat. — 16 Scholium Thomanum Mommsen (Germani Schol. p. 34) primus edidit ex Aug. B. — μέν ἐστιν ΓΔ, qui e meis codicibus soli hoc scholium servaverunt. — ἰάνειεν Mommseni ed. — 17 δέ ἐστιν ΓΔ. — ἰᾶναι pro ἰάναι etiam in nonnullis bonis codicibus obvio scribendum fuisse vidit Mommsen. — ἢ ἐκ. om. Mommsen. — καὶ ante τοῦτο ἔχει inseri iussit Mommsen, qui τὴν σύνταξιν pro eo quod certe in ΓΔ legitur τὴν ζήτησιν edidit. — 18 ἔχῃ Γ. — ὅτι om. Mommsen.

εὐκτικὸν καὶ πρὸς ἀπαρέμφατον συντάσσομεν (λέγομεν γὰρ ὡς ἂν ποιήσαιεν καὶ ὡς ἂν ποιῆσαι) διὰ τοῦτο καὶ πρὸς εὐκτικὸν καὶ πρὸς ἀπαρέμφατον ἀπεδόθη τῷ Πινδάρῳ ἡ σύνταξις· ἔστι δὲ ὅμοιον τῷ παρὰ Θουκυδίδῃ (III, 21)· *ὥστε πάροδον μὴ εἶναι παρὰ πύργον, ἀλλὰ δι' αὐτῶν μέσων διῄεσαν.*

gl. 78. *τῷ Διί. — ψυχήν. — εὐφράναιεν. — τῇ Ἀθηνᾷ. —* 79. *τῇ τὸ ἔγχος σειούσῃ, ἤτοι τῇ πολεμικῇ.*

56—79. *M. Ἀπελθὼν δὲ εἰς τὸν θεὸν ἐμαντεύσατο, ἤγουν μαντείαν ᾔτησεν. εἰς τὸν θεὸν δὲ εἰπὼν ἀδήλως, διὰ τοῦ ἐπαγομένου δῆλον ποιεῖ, ὅτι εἰς τὸν Ἀπόλλωνα λέγει αὐτὸν ἀπελθεῖν. ἐπάγει γάρ· τῷ μὲν εἶπεν ὁ Χρυσοκόμας. δῆλον δὲ πᾶσίν ἐστιν, ὅτι τὸ Χρυσοκόμης οὐκ ἄλλου τινός ἐστιν ἐπίθετον ἢ τοῦ Ἀπόλλωνος. τούτῳ μὲν ὁ Ἀπόλλων ὁ χρυσῆν ἔχων κόμην εἶπεν ἐκ τοῦ ἀδύτου, ἤγουν τοῦ ναοῦ τοῦ εὐωδίας πεπληρωμένου· στέλλε* (61) *πλοῦν, ἀντὶ τοῦ στέλλου ἀπὸ τῆς ἀκτῆς, ἀντὶ τοῦ τοῦ αἰγιαλοῦ τῆς Λέρνης, τουτέστιν ἀπὸ τοῦ Ἄργους, εἰς τὸν νομόν, ἤγουν τὴν διατριβήν, τὸν τόπον τὸν ἀμφιθάλασσον, τουτέστι τὸν ὑπὸ θαλάσσης περιλαμβανόμενον, εἰς τὴν Ῥόδον λέγω, ὅπου ποτὲ ὁ βασιλεὺς τῶν θεῶν ὁ μέγας, ἤγουν ὁ Ζεύς,*

---

2 *ποιήσειεν* Mommseni ed. — *διατοῦτο ΓΑ.* — **2. 3** *καὶ πρ. εὐκτ. κ. πρ. ἀπαρ.*] *πρὸς ἀμφότερον* Mommseni ed. — **4** *ὅμ. τὸ Γ, τὸ* om. Momms. — **5** *διὰ πῦργον Α.* — **8** Lemma *μαντεύσατο δ' ἐς θεὸν ἐλθὼν* omisi cum *α q ι''*. — *σύνταξις* est in marg. *ε μ' ξ'*. — *ἀπελθὼν — θεὸν* om. *ι''*. — *μαντ. ι''*. — **10** *εἰς τ. ἀπόλλωνι ι''*. — *αὐτὸν* om. *ε*. — **11** *τῷ μὲν εἶπεν* om. *ι''*. — **13. 14** *τούτῳ — πεπληρ.* om. *ι''*. — **13** *τοῦτο μὲν ξ'*. — *χρυσὴν q ξ'*. — *κόμην ἔχων ε*. — **14** *ναοῦ τῆς εὐωδ. μ' φ'*. — **15** *πλοῦν* om. *ι''*. — *ἀ. ἀντὶ τοῦ* codd., *ἀ. ἤγουν* edd. — *τοῦ* omm. *α ε ξ' φ'*. — **15. 16** *ἀπὸ — αἰγιαλοῦ τῆς* om. *ι''*. — **17** *τὴν* omm. *ι''* et edd. omnes, *ἤγ. τ. διατρ.* omm. edd. ante Oxx. — *τὸν τόπον* codd., *καὶ τόπον* edd. — *τὸν* omm. *ε ι''*. — *ἀμφιθάλασσαν ξ'* ante corr. — **17. 18** *τουτέστι τὸν* om. *ι''*. — **18** *ἀπὸ τῆς θαλ. q.* — **19** *ὁ βασ. τ. θ. ὁ μ. ἤγουν* om. *ι''*.

ἔβρεχε τὴν πόλιν ἀντὶ τοῦ ἔβρεξε διὰ νιφάδων χρυσῶν, ἤγουν διὰ ψηγμάτων χρυσοῦ ἀπὸ νεφῶν καταῤῥηγνυμένων, ὁπηνίκα ταῖς τέχναις τοῦ Ἡφαίστου, ἀντὶ τοῦ τῷ ὀργάνῳ, τῷ τῇ τέχνῃ τοῦ Ἡφαίστου κατασκευασθέντι (66), λέγω τῷ ὑπὸ σιδήρου ἠλασμένῳ πελέκει, ἡ Ἀθηνᾶ ἀνορούσασα, ἤγουν ἀνορμήσασα κατὰ τὸ ἄκρον τῆς κορυφῆς τοῦ πατρὸς αὐτῆς τοῦ Διὸς ἠλάλαξε, τουτέστι πολεμικὸν ἐβόησε κατὰ βοὴν ὑπερμήκη, ἤγουν ὑπερβολικῶς ὑψηλήν. ὑπερβολικῶς· ὁ οὐρανὸς δὲ ἔφριξεν αὐτήν, τουτέστι συνεστάλη, ἐφοβήθη, καὶ ἡ γῆ ἡ μήτηρ πάντων. τότε καὶ ὁ θεὸς ὁ φῶς τοῖς ἀνθρώποις φέρων, ὁ Ὑπεριονίδης, ἤγουν ὁ υἱὸς τοῦ Ὑπερίονος, τουτέστιν ὁ Ἥλιος, ἐνετείλατο τοῖς παισὶν αὐτοῦ τοῖς προσφιλέσιν, ἤτοι τοῖς Ῥοδίοις, χρέος μέλλον (73), τουτέστι πρᾶγμα ἐξ ἀνάγκης γενησόμενον παραφυλάξασθαι, ἤγουν τὴν γέννησιν τῆς Ἀθηνᾶς, ὅπως ἂν χάριν αὐτῆς τῆς θεᾶς τῆς γεννηθησομένης πρῶτοι κτίσωσι βωμόν, ἤγουν θυσιαστήριον, ναὸν ἐναργῆ, τουτέστι μετέωρον, περιφανῆ, καὶ σεμνὴν θυσίαν ἐν αὐτῷ ποιήσαντες τὴν ψυχήν τε εὐφράνωσιν τοῦ

1 ἔβρεξε τ. π. (om. ἀντὶ τοῦ — χρυσῶν ἤγουν) edd. — 2 διὰ om. ι″. — ψυγμ. z ξ′. — ἀπὸ ν. καταῤῥ. om. ι″. — νεφελῶν z μ′ φ′. — καταῤῥηγνυμέναν q. — 3 τῷ ante ὀργ. omm. q ι″. — 4. 5 Voci κατασκ. in marg. q κατεσκευασμένῳ adscriptum est. — λέγω τῷ (τὸ ξ′) ὑπὸ (το ῦ add. q) σιδήρου ἠλασμένῳ (ἠλ. a, ἐλ. z ξ′ φ′) omm. edd. — Conf. glossatorem libri b: λέγω δὲ τῷ ὀργάνῳ τῷ κατασκευασθέντι ὑπὸ τῆς τέχνης τοῦ ἡφαίστου. — 5 ἀθηνᾷ μ′. — ἀνορ. ἤγ. omm. edd. — 7. 8 ἐβόησεν (om. κατὰ — ὑψηλὴν) edd. — 8 ὁ om. q. — ἔφρυξε z. — 9 τουτέστιν (om. συνεστ.) edd. — τῶν πάντων ξ′. — Ante τότε lemma ὅπως ὁ ζεὺς ἔβρεξε τοῖς ῥοδίοις χρυσὸν est in φ′, et novum comma inde a voce τότε incipiunt codd. mixti (σύνταξις marg. z μ′). — 10. 11 ἤγουν — Ὑπερίονος omm. edd. — 11 ἐνετείλατος ι″. — 12 τοῖς post αὐτοῦ omm. z μ′ ξ′ φ′. — ἤτοι] τουτέστι ι″. — 13 ἐξανάγκης aq. — παραφυλάξαι z μ′ φ′. — 14 γένησιν ξ′. — 15 γενηθ. q, γεννηθησομένοις ξ′. — κτήσωσι q. — ἤτοι ι″. — θυσιαστ. ex codd. addidi.

πατρός, ἤγουν τοῦ Διός, τοῦ γενησομένου πατρὸς αὐτῆς, καὶ τῆς κόρης, ἤτοι τῆς θυγατρός, τουτέστι καὶ αὐτῆς τῆς Ἀθηνᾶς τῆς γενησομένης θυγατρὸς αὐτοῦ τοῦ Διός, τῆς ἐγχειβρόμου, ἤγουν τῆς περὶ τὸν ἠχητικὸν πόλεμον εὐφυοῦς, γενησομένης δηλονότι.

79. Germ. Ἐν δ' ἀρετὰν ἔβαλεν] ἡ αἰδὼς δὲ τοῦ Προμηθέως ἐνέβαλεν ἐν τοῖς ἀνθρώποις ἀρετὴν καὶ χάρματα.

Th. Τουτέστιν ὁ μετὰ τοῦ προβεβουλεῦσθαι ποιῶν τι ὁμοῦ τε κατορθοῖ τοῦτο καὶ ἡδονὴν ἔχει ἅτε κατωρθωκώς. τὸ δὲ αἰδὼς Προμηθέως λέγει, διότι πᾶς ὁ χρώμενος προμηθείᾳ οἱονεὶ τὸν Προμηθέα αἰδεῖται καὶ τιμᾷ.

gl. 80. ἡδονάς. — 82. ἀνθρώποις. — δή. — 83. ἄσκοπον. — σκοτισμός. — 84. * παρασύρει καὶ μεταφέρει τοὺς ἀνθρώπους, ἤγουν ἔξω τοῦ ὀρθοῦ καὶ προσήκοντος τίθησιν. ἔστι δὲ αὕτη ἡ παραγωγὴ ἔξω φρενῶν· — * * παρασύρει. — 86. οἱ Ῥόδιοι. — * † καυστικῆς. — 87 * * σπινθῆρα. — ἐν τῇ ἀκροπόλει. — σύναπτε τὸ οὐ πρὸς τὸ ἔχοντες. — 88. ἐποίησαν. — οὐκ ἔχουσι πῦρ. — θύμασι. — 89. ναὸν καὶ βωμὸν τῇ Ἀθηνᾷ. — * διὰ τὸ ἐκ Διὸς κεφαλῆς γεγενῆσθαι τὴν Ἀθηνᾶν ἐν ἀκροπόλει ἔθυον.

---

1. 2 τοῦ γεν. — τουτέστι omm. edd. —γεννησ. ξ', γεννησαμένου ex γεννησαμένου μ'. — 2 ἤγουν ι'. — 3 ἐγχηβρ. edd. ante Beck. — 4 ἤτοι q. — ἐφυοῦς q. — 5 δηλονότι om. ξ'. — 8 Hoc schol. om. z. — Lemma Προμηθέως αἰδώς omisi cum. ΓΑ. — 9 τε] τὲ μ' ξ' φ'. — κατορθ. ι' μ' ξ' φ'. — 10 προμηθέος Α. — ὁ χρόνος ι'. — 12 δὲ Α, δὴ codd. mixti, om. Γ. — 13 σκοτιασμός Γ, σκοτασμὸς codd. mixti. — Glossa Thomana præfixo lemmate καὶ παρέλκει πραγμάτων (πραγμ. omm. edd. ante Beck.) in codd. mixtis (excepto z) et edd. inter scholia legitur. — παρασύρει omm. edd. — 19 Glossa Thomana in ι'' μ' ξ' φ' inter scholia legitur.

79—89. M. Ἐμβάλλει δὲ τοῖς ἀνθρώποις, ἤγουν ἐμποιεῖ ἀρετῆς τιμὴν καὶ χαρὰν τοῦ Προμηθέως, τουτέστι τῆς προβουλεύσεως τὸ αἰδέσιμον, ἤτοι ἡ αἰδὼς ἡ ἑπομένη τῷ Προμηθεῖ, περιφραστικῶς ἀντὶ τοῦ ὁ Προμηθεὺς ὁ αἰδέσιμος, ἀλλ' ἐπιβαίνει (82), ἤγουν ἐπέρχεται καὶ νέφος τι λήθης ἀτέκμαρτον, τουτέστιν ἀπροσδόκητον, καὶ παρέλκει, ἤγουν παρατρέπει, ἐκκρούει, τὴν ὀρθὴν μέθοδον τῶν πραγμάτων ἔξω τῶν λογισμῶν. καὶ οὗτοι γὰρ (86), οἱ τοῦ Ἡλίου δηλονότι παῖδες, ἀνέβησαν οὐκ ἔχοντες, ἤγουν οὐ φέροντες σπέρμα φλογὸς καυστικῆς, τουτέστι πῦρ, ὃ τὴν καυστικὴν αὔξει φλόγα. ἀνέβησαν δὲ εἰπὼν ἀδήλως διὰ τῶν ἐπαγομένων δῆλον ποιεῖ ὅτι εἰς τὴν ἀκρόπολιν λέγει αὐτοὺς ἀναβῆναι. ἐπάγει γάρ· τεῦξαν δ' ἀπύροις ἱεροῖς ἄλσος ἐν ἀκροπόλει, ἤγουν κατεσκεύασαν δὲ ἐν τῇ ἀκροπόλει ναὸν σὺν θυσίαις ἀπύροις, τουτέστιν ἅμα καὶ θυσίας πυρὸς ἀμετόχους τελέσαντες.

gl. 89. τοῖς Ῥοδίοις. — 90. πυρώδη· τοιοῦτος γὰρ ὁ χρόνος. — 91. * † ἔβρεξε. — * ἤγουν ἡ Ἀθηνᾶ. — 92. *† αὐτοῖς τοῖς Ῥοδίοις. — 93. * ἀνθρώπων. — 94. Ἀθηνᾶ. — * καλλιέργοις· — * * καλλίστοις ἔργοις.

---

1 Lemma ἐν δ' ἀρετὰν ἔβαλεν (ἔβ. omm. ξ φ') omisi cum aq. — σύνταξις est in marg. z μ' ξ' φ'. — ἐμβάλλει ι'' φ' et edd. ante Oxx., ἐμβάλει cett. codd., ἐμποιεῖ cett. edd. — ἤγουν ἐμποιεῖ omm. edd. — 2 τοῦ om. z. — τῆς bis est in q. — τουτ. καὶ τῆς z μ' ξ' φ'. — 3 ἤγουν ι''. — ἡ αἰδὸς q. — Προμηθεῖ] προθύμω z. — 5 ἤγ. ἐπέρχ. omm. edd. — 6 ἐκκρούει a q ι'', ἐκκρίνει cett. codd., ἐκκλίνει edd. — 8 γὰρ ἤγουν οἱ ι'', qui om. δηλονότι. — οἱ] ἡ a. — 9 οὐ a q z et glossa Mosch. in codd. mixtis, μὴ edd., omm. cett. codd. — καυστικῆς πυρός, τουτ. ὃ τ. z. — 10 δέ om. z. — 11 ἀπαγ. z φ'. — 12 τ. εὐαπύροις q τ. ἀπειρίοις ξ'. — ἄλσος ἐν ἀκρ. omm. edd. — 14 ἀπείροις q ξ'. — θυσίαις q.

92—94. *Th.* Τὸ τεχνᾶν πασᾶν πρὸς τὸ ἀριστοπόνοις χερσὶ συναπτέον οὕτως· ὤπασέ σφισιν ἡ Ἀθηνᾶ, ἐπεὶ ἡ φρόνησις μηχανᾶται τὰς τέχνας, κρατεῖν τῶν ἐπιχθονίων ἀνθρώπων, ἐν ἀριστοπόνοις χερσὶ πασᾶν τεχνᾶν. λέγει δὲ τὸ χερσὶ τεχνῶν, ἐπειδὴ αἱ χεῖρες τὰς τέχνας ἐργάζονται ἢ τὸ ἐπιχθονίων πρὸς τὸ τεχνᾶν, ἵν' ᾖ τῶν ἐπιχθονίων πασῶν.

95. *Th.* Ῥόδιοι οὕτως ἄριστοι ἀνδριαντοποιοὶ ἦσαν, ὡς ζῶσιν ἐοικότας ἀνδριάντας κατασκευάζειν καὶ δεσμεῖν αὐτοὺς τοῖς ποσὶν ὥσπερ δεδοικότας μὴ τοῖν ποδοῖν χρησάμενοι φύγοιεν· ἐδόκουν γὰρ ὥσπερ κινεῖσθαι. τοιοῦτοι καὶ οὓς Δαίδαλος ἐποίει. μὴ εἴποις δὲ τὸ τε ἀργόν, ὥσπερ τινές, ἀλλ' οὕτω· καὶ φέρον δὲ ἔργα.

gl. 95. * ἀνδριάντας· — * * τοὺς ἀνδριάντας λέγει. — ζῶσιν. — * * ἀρίστην γὰρ τῶν ἀνδριάντων δημιουργίαν ἐξεῦρον. — κινουμένοις· τὰ γὰρ ζῶντα κινοῦνται. — 96. * * καί. — αἱ τῶν Ῥοδίων ἀγυιαί. — 97. φέρουσιν· ἀντιχρονικῶς. — * * ἐστί. — τῶν ἔργων καὶ τοῦ πλούτου. — 98. μέγα. — τῷ μαθόντι εὐφυεῖ.

---

1 τὸ om. edd. — τεχνᾶν πασᾶν ΓΔ, τέχναν πᾶσαν cett. — 2 ὤπασε σφίσιν Δ ε ι'' μ' ξ' φ' et edd. ante Beckium. — ἡ ante Ἀθ. om. ι''. — 3 ἐπιχθ. ἤτοι (ἤγουν ι'') τῶν ἀνθρ. codd. mixti et edd. — 4 χ. κατὰ πᾶσαν τέχναν codd. mixti et edd. — χερσὶν codd. mixti et edd., qui omm. τεχνῶν. — 5 ταῖς τέχναις ξ'. — 5. 6 ἢ — πασῶν sic ΓΔ, nisi quod τεχνῶν ἵν' ᾖ τὸ ἐπ. Γ et οὐσῶν pro πασῶν Δ, ἢ οὕτως· ὤπασε δὲ αὐτοῖς ἡ ἀθηνᾶ (ἀθηνὰ ξ') πᾶσαν τέχνην ὥστε κρατεῖν τῶν ἐπιχθονίων ἐν ἀριστοπόνοις χερσὶν codd. mixti, omnia hæc desunt in edd. — 7 Lemma ἔργα δὲ ζωοῖσιν (ζ. omm. ι'' μ' ξ' φ') omisi cum ΓΔ. — οἱ ῥ. codd. mixti et edd. — 9 δεδιότας ι''. — τοῖς ποδοῖν ι''. — 10 καὶ οὓς Γ Δι'' μ' ξ' φ', οὓς καὶ cett. — 11 εἴποις ΓΔ μ' ξ' φ', εἴπῃς cett. — ὥσπερ τινὲς ex ΓΔ accessit. — καὶ φέρουσι (φέρων ι'', φέρον μ' ξ' φ') δὲ αἱ κέλευθοι ἔργα ὅμοια ζῶσι καὶ ἕρπουσιν codd. mixti et edd.

99. *Germ.* *Μείζων ἄδολος]* *διότι οἱ πρὶν ἀγράπτως τὴν σοφίαν ἐδέχοντο κατὰ διαδοχὴν τούτων γενομένην πατέρων τοῖς παισίν.*

Th. *Τὸ καὶ ἢ Ἀττικόν, ὥσπερ φαμὲν τὸ τί καὶ ποιήσω; ἢ οὕτω· καὶ τῷ δαέντι δὲ καὶ τῷ μαθόντι εὐφυεῖ τελέθει καὶ ὑπάρχει σοφία μείζων τῆς ἐξ εὐφυΐας μόνης, ἄκρατος καὶ ἄδολος· τουτέστιν εἴ τις ὢν εὐφυὴς προσλάβῃ καὶ μάθησιν, οὗτός ἐστιν ὁ τῷ ὄντι σοφός. λέγει δὲ διὰ τοὺς Ῥοδίους ὡς ὄντας καὶ δραστηρίους τῷ νῷ καὶ παρὰ τῆς Ἀθηνᾶς διδαχθέντας.*

gl. 99. *τῆς ἐξ εὐφυΐας μόνης. — ἄκρατος.*

89—99. *M.* *Κείνοις μέν, ἤγουν χάριν μὲν ἐκείνων τουτέστι τῶν Ῥοδίων, ξανθὴν νεφέλην ἀγαγὼν ὁ Ζεὺς δηλονότι χρυσὸν ἔβρεξεν· αὐτὴ δὲ ἡ γλαυκῶπις, ἤγουν ἡ Ἀθηνᾶ ἡ ὀξὺ ὁρῶσα καὶ στιλπνόν, παρέσχεν αὐτοῖς (92) κρατεῖν, τουτέστι τὸ κράτος ἔχειν τῶν ἐπιχθονίων, ἤγουν τῶν ἀνθρώπων, κατὰ πᾶσαν τέχνην*

---

1 Ante *μ. ἄδ.* delevi *ἢ οὕτως* (sic *U*, *ἢ οὕτω* Mommsen edidit). — 4 Lemma *καὶ σοφία* est in codd. mixtis, *δαέντι δὲ καὶ σοφία* in edd. — 5 *δὲ]* *ἤγουν* edd., omm. *z μ' ξ' φ'*. — *καὶ τὸ δαμασθέντι εὐφυεῖ ξ'*. — *τῷ* omm. *z ι'' μ'*. — 5. 6 *ὑπ. καὶ σοφία z μ' ξ' φ'*, *ὑπ. καὶ ἡ σοφία* edd. — 6 *ἐξευφυΐας z*, *ἐξεφυΐας Γ*, *ἐξὐφυΐας ι''*. — «f. *ἀκράτου καὶ ἀδόλου*. Nec tamen sic multum proficias; etiamsi in poeta 99 *ἀδόλου* refinxeris» *Heyne*, — «Heynius et Valck. ad Ammon. p. 90. coniiciunt *ἀκράτου καὶ ἀδόλου*, atque hic etiam Pindaro obtrudit suum *ἀδόλου*. Ego non magnopere laboro in Byzantinorum nugis examinandis; sed arbitror commate post *μόνης* posito ferri vulgatam posse» *Boeckh*. — 7. 8 *τουτέστιν* — *σοφὸς* omm. edd. — 7 *οὕτως μ' ξ'*, *οὗτος* (ω supra) *φ'*. — 8 *ὁ τ. ὄντι]* *ὄντως z ι'' μ' ξ*, *ὄντος φ'*. — *ὡς ὂν μ'*. — 11 Lemma *Κείνοισι (᾽κείνοισι z) μὲν ξανθὰν* est in *z μ' φ'*, *κείνοισι μὲν* in cett. codd. mixtis et edd. — *σύνταξις* margo *μ'*. — *ἐκείνοις μὲν* edd., omm. *ι'' ξ'*. — *μὲν* ex *aq* accessit. — *τουτέστι* omm edd. — 12 *δηλονότι ὁ ζεὺς a*. — 13 *αὐτη a*. — 14 *στιλπὸν q*. — *παρεῖχεν* edd. — 15 *ἐπιχθ.]* *ἀνθρώπων z*. — *ἤγ. τ. ἀνθρ.* omm. *z* et edd.

διὰ χειρῶν ἀριστοπόνων, ἤγουν ἄριστα ἔργα κατασκευαζουσῶν. ἔργα δὲ αἱ κέλευθοι, ἤγουν αἱ ὁδοὶ τῆς Ῥόδου δηλονότι ἔφερον, (97) τουτέστιν ἐπικείμενα αὐταῖς εἶχον ὅμοια ζῶσι καὶ ἕρπουσιν, ἀντὶ τοῦ βαδίζουσιν· ἦν δὲ κλέος βαθύ, ἀντὶ τοῦ πολύ, ἀπὸ μεταφορᾶς τῆς βαθείας ὕλης, ἤγουν δασείας. τῷ δαέντι δέ, ἤγουν τῷ διδαχθέντι ὑπ' αὐτῶν τῶν Ῥοδίων, καὶ ἡ φρόνησις ἡ ἄδολος, ἤγουν ἡ φυσική, μείζων γίνεται, τουτέστιν εἰ καὶ φυσική ἐστιν αὐτῷ σοφία, ἥτις ἀεὶ κρατεῖ τῆς ἀπὸ μαθήσεως, ἐπίδοσιν καὶ αὐτὴ λαμβάνει διὰ τὴν ὑπερβολὴν τοῦ κάλλους καὶ τῆς ποικιλίας τῆς τέχνης.

100. *Th.* Φασὶν ὡς ἡνίκα Ζεὺς μετὰ τῶν θεῶν μερισμὸν ἐποιεῖτο τοῦ κόσμου, οἱ μὲν ἄλλοι τούτων κλήρους ἔλαβον, Ἥλιος δὲ μὴ παρατυχὼν ἐν τῷ μερισμῷ ἀκλήρωτος ἔμεινε. βουλομένου οὖν τοῦ Διὸς πάλον ἐκ δευτέρου ποιήσασθαι οὐκ εἴασεν Ἥλιος εἰπὼν τὴν ἐκ θαλάττης ἀναδοθεῖσαν νῆσον αὐτῷ δεδόσθαι. ἦν δὲ ἡ Ῥόδος.

gl. 100. φασι. — * δέον παλαιῶν εἰπεῖν πρὸς τὸ ἀνθρώπων, παλαιαὶ εἶπε πρὸς τὸ ῥήσιες. — 101. * † λόγοι. — 102. ἐμερίζοντο πρὸς ἀλλήλους. — * ἤτοι ἄλλοι θεοί. — 103. δήλην

---

1 κατασκευάζουσιν q. — 2 ἔφερον δηλονότι q. — 3 ὁμοῖα φ'. — 5 τῷ omm. edd. — δὲ] γοῦν ι'. — 6 ὑπ' αὐτῶν τῶν Ῥοδίων uncis inclusit Heyne. — 7 ἡ om. z. — μεῖζον q. — τουτέστι (om. εἰ) q, in α εἰ καὶ ex καὶ εἰ correctum esse videtur. — 7. 8 καὶ ἡ φυσ. αὐτῷ ἐστὶ σοφία q. — 8 ἀεὶ ι'. — τῆς] τὴν z. — ἐπιδίδοσιν ι' μ'. — 9 καὶ καὶ αὐτὴ μ'. — κάλους q. — τὴν ποικιλίαν z. — 11 Lemma φαντὶ δ' (δὲ ξ) ἀνθρώπων (hoc om. ξ) omisi cum ΓΛ; ἱστορία ὅπως τὴν ῥόδον ἥλιος ἐκληρώσατο margo ι'. — ὡς om. z. — 12 τούτων om. Γ. — 13 παρατυχὸν ξ. — τῷ om. ι'. — 14 πάλιν z. — ποιήσασθαι ΓΛι', ποιῆσαι cett. — Ἥλιος omm. z et edd. — 15 θαλάττης ΓΛ, θαλάσσης cett. — 17 Glossa Thomana præfixo lemmate παλαιαὶ ῥήσιες in codd. mixtis et edd. inter scholia legitur.

εἰς τὴν ἐπιφάνειαν. — 104. * † θαλασσίῳ. — 105. * αὐτὴν τὴν Ῥόδον. — 106. διὰ τὸ ἀνύτειν τὸν ἴδιον δρόμον. — τῶν θεῶν. — 107. κλῆρον καὶ μερίδα. — 108. αὐτὸν τὸν Ἥλιον. — ἀμέτοχον κλήρου. — 109. καθαρόν, φωστικόν.

100—109. *M.* Φασὶ δὲ λόγοι ἀνθρώπων ἐκ παλαιοῦ χρόνου ᾀδόμενοι οὔπω φανερὰν εἶναι τὴν Ῥόδον ἐν τῷ πελάγει τῷ θαλασσίῳ, ὅτε ὁ Ζεύς τε καὶ οἱ θεοὶ οἱ ἄλλοι διεμερίζοντο ἑαυτοῖς τὴν γῆν· κεκρυμμένην δὲ εἶναι τὴν νῆσον, τουτέστιν αὐτὴν τὴν Ῥόδον, ἐν τοῖς βένθεσι τοῖς ἁλμυροῖς (105), ἀντὶ τοῦ ἐν τοῖς βαθέσι μυχοῖς τῆς ἁλμυρᾶς θαλάττης· ἀπόντος δὲ τοῦ Ἡλίου ἐν τῷ ὑπὸ γῆν δηλονότι ἡμισφαιρίῳ οὐδεὶς ἔνδειξεν, ἀντὶ τοῦ ὑπέδειξε, τουτέστιν ὑπέμνησε, τὸν Δία δηλονότι, διὰ λάχος, ἤγουν κλῆρον αὐτοῦ, ἤτοι τοῦ Ἡλίου. καὶ δὴ (108) κατέλιπον αὐτὸν τὸν ἀγνὸν θεόν· ἀγνὸν δὲ λέγουσιν αὐτὸν διὰ τὸ ἁγνίζειν δύνασθαι ταῖς αὐτοῦ ἀκτῖσι· χώρας ἀκλήρωτον, ἤγουν ἄμοιρον.

110. *Th.* Ἡ τοιαύτη δοτικὴ τὸ μνησθέντι πρὸς τὸ θέμεν ἔχει τὴν δύναμιν.

gl. 110. μνημονεύσαντι τῷ Ἡλίῳ κλήρου. — * ἐκ δευτέρου κλῆρον. — 111. * † θεῖναι. — * † αὐτὸν τὸν Δία. — 112.

---

5 Lemma φαντὶ δὲ est in μ' ξ' φ' et edd. ante Bœckhium, φαντὶ in ι''; — totum scholium deest in ε. — σύνταξις ξ' in marg. — 6 φαιδρὰν εἶναι ξ'. — πλάτει (suprascr. πελάγει) q, πλάτει cett. codd. — 7 διεμερίσαντο legitur in glossa Mosch. codicum mixtorum. — 9 βένθ. τοῖς om. a. — τοῖς ἁλμ. omm. edd. ante Bœckhium. — ἁλμ. ξ' φ'. — 10 ἐν om. q. — βένθεσι (sic) ι''. — τῆς] τοῖς τῆς a. — ἁλμ. q ξ' φ'. — θαλάττης a q, θαλάσσης cett. — 11 ἔδειξεν codd. mixti et edd. ante Beck. — 12 ἀντὶ τοῦ ὑπέδειξε (— ξεν edd.) Beck ex cod. Bodl. addidit. — διὰ uncis inclusit Heyne, delevit Bœckh. — 15 αὐτοῦ a, αὐτοῦ cett. codd., ἑαυτοῦ edd. — 17 Scholium Thomanum Γ inter glossas, ξ' in marg. exter., Δ ι'' μ' et edd. inter scholia servaverunt.

** *ἀφῆκεν.* — *λευκῆς ἢ τῆς γηραιᾶς.* — 113. ** *ὁ Ἥλιος.* — ** *βλέπειν.* — 114. *ἀναγομένην.* — *ἤγουν ἐκ τοῦ τῆς θαλάσσης πυθμένος.* — 116. *εὐφραντικὴν τοῖς θρέμμασιν.*

110—116. **M.** *Μνησθέντι δὲ ἀντὶ τοῦ ἀναμνησθέντος, ἤγουν εἰς ἀνάμνησιν ἐλθόντος, τοῦ Ἡλίου δηλονότι, ὁ Ζεὺς ἄμπαλον, ἤγουν ἀναμερισμὸν ἔμελλε θεῖναι, ἀντὶ τοῦ τιθέναι, ἤγουν ποιεῖν, ἀλλ' οὐκ εἴασεν* (112) *αὐτόν, τὸν Δία δηλονότι, ὁ Ἥλιος· ἐπεὶ εἶπεν ὁρᾶν αὐτὸς ἔνδον τῆς θαλάσσης τῆς λευκῆς τινα γῆν πολύβοσκον ἀνθρώποις, ἀντὶ τοῦ ἀνθρώπων, τουτέστι πολυειδῶς τρέφειν ἀνθρώπους δυναμένην, καὶ ἡδεῖαν μήλοις, ἀντὶ τοῦ πᾶσι τοῖς ἀλόγοις ζώοις, αὐξομένην, ἀντὶ τοῦ ἀναθιδομένην, πεδόθεν, τουτέστιν ἀπὸ τοῦ πυθμένος.*

gl. 117. * *ὁ Ἥλιος.* — 118. * *χρυσῆν περικεφαλαίαν ἔχουσαν.* — *μία τῶν Μοιρῶν αὕτη.* — 119. * *ὅρκος θεῶν ἦν τὸ τῆς Στυγὸς ὕδωρ.*

118. 119. *Th. Εἰκότως εἶπε τὸ Λάχεσις, ἐπειδὴ περὶ κλήρου ἦν ὁ λόγος. τὸ δὲ χεῖρας ἀντεῖναι εἶπεν ἀντὶ τοῦ χειροτονῆσαι, ἐκ μεταφορᾶς τῶν δικαστηρίων. ἐκεῖ γὰρ ἡνίκα τις νόμον ἢ ψήφισμα περὶ τοῦ κοινοῦ ἐποιεῖτο, εἰ καλὸν καὶ συμφέρον ἔδοξε τοῖς πρυτάνεσιν εἶναι, τὰς χεῖρας ἀνέτεινον βεβαιοῦντες αὐτό.*

gl. 120. *παραβῆναι.*

119. 120. *Th. Ἐκ τοῦ εἰπεῖν θεῶν ὅρκον μὴ παρφά-*

---

4 Paraphrasin Moschopuleam om. *z.* — *μνασθέντι* [φ'] edd. — *ἀναμνησθέτος* μ'. — **5** *ἤτοι* ι''. — **6** *ἤτοι* ι''. — *ἀντὶ τοῦ τιθέναι* om. ι''. — *θέναι* μ'. — **8** *τῆς* et *τῆς λευκῆς* om. ι''. — **9** *τοῦ* om. ι''. — **11** *ἀντὶ τοῦ* post *αὐξ.* omm. edd. — **11. 12** *ἀναθεδ.* μ'. — **12** *τουτέστιν* om. ι''. — In marg. μ' ξ' vocabula *πολύβοσκον ἀνθρώποις* et *εὔφρονα μήλοις* ita lineis transversum ductis coniuncta sunt, ut *πολύβοσκον* ad *μήλοις*, *εὔφρονα* ad *ἀνθρώποις* spectare significaretur. — **14** De glossa Thom. conf. adnotationem ad p. 269, 2. — **16** Scholium Thomanum om. *z.* — *λάχεσιν Γ.* — **17** *ἀνακτεῖναι* ξ'. — **23** *ὅρκων* φ'.

μὲν δείκνυσιν, ὡς οὐ μόνον τὰς χεῖρας ἀνέτεινεν ἡ Λάχεσις, ἀλλὰ καὶ ὤμοσε τὸ τῆς Στυγὸς ὕδωρ.

gl. 121. * τῷ Διί. — 122. * * λαμπρόν· συνίζησις. — ἤτοι εἰς τὴν ἐπιφάνειαν. — * τὴν νῆσον. — 123. * τῇ αὐτοῦ. — 124. εἰς τὸ μέλλον. — * * τιμήν. — ἐτελέσθησαν.

125. *Th.* Μὴ εἴπῃς τελεύτασαν δὲ καὶ ἐτελέσθησαν κορυφαὶ καὶ τέλη τῶν λόγων πετοῖσαι καὶ πεσοῦσαι ἐν ἀληθείᾳ, τουτέστιν οἱ τοῦ Διὸς πρὸς Ἥλιον λόγοι οὐ παρεβάθησαν, ἀλλ' ἐπληρώθησαν. ἔστι δὲ τὸ ἐτελεύτησαν κορυφαὶ λόγων καὶ τὸ ἐν ἀληθείᾳ πετοῖσαι ταυτόν· οἱ γὰρ πληρούμενοι λόγοι ἀληθεύουσιν, οἱ δὲ μὴ πληρούμενοι οὐκ ἀληθεύουσιν.

gl. 125. τῶν τοῦ Διὸς πρὸς Ἥλιον. — τέλη. — 126. * πεσοῦσαι, ἤτοι ἀληθεύσασαι. — 127. * † ἀνεδόθη. — ἀδολεσχία τοῦτο. — 128. * Ῥόδος. — * † αὐτὴν. — 129. ταχυτάτων. — * † ὁ γεννήτωρ· ἔστι δὲ ταυτὸν τῷ πατήρ. — 130. * † ἡνίοχος. — Λάμπου καὶ Φαέθωνος.

117—130. *M.* Ἐκέλευσε δὲ ὁ Ἥλιος, ἀντὶ τοῦ εἶπεν, ἐζήτησεν αὐτίκα τὴν Μοῖραν μὲν τὴν Λάχεσιν, ἤγουν τὴν τοὺς κλή-

1 οὐ om. Δ. — 2 ἔμοσε φ'. — Post ὕδωρ glossa Thomana ὅρκος γὰρ ἦν τῶν θεῶν τὸ τῆς Στυγὸς ὕδωρ additur in codd. mixtis et edd. — 6 εἴποις Δ. — μὴ εἴπῃς τὸ κορυφαὶ μετὰ (τοῦ add. ξ) ἄρθρον, ἀλλ' οὕτω· τελ. etc. codd. mixti et edd. — τελεύτησαν ξ', τελεύταν ed. Ro. — καὶ ἐτελέσθησαν (ἐτελεύτησαν Γι') omm. edd. — 7 καὶ τέλη omm. edd. — πετοῦσαι ε μ' ξ φ'. — 8 οἱ] ἡ Γ. — παρεβάθησαν ΓΔι', παρέβησαν cett. — 9 ἐτελεύθησαν ι'. — 11 οἱ δὲ — ἀληθ. om. ι'. — In Aug. B hoc scholium sic scriptum est: ἐτελέσθησαν, ἐπληρώθησαν καὶ οὐ παρεβάθησαν. τόδε ἐστὶ ταὐτὸν (τῷ addendum esse vidit Mommsen) ἐν ἀληθείᾳ πετοῖσαι. οἱ γὰρ πληρούμενοι λόγοι ἀληθεύουσιν. — 17 σύνταξις ε μ' in marg., ξ' et Bœckh in textu. — — δὴ ὁ ι'. — 18 μὲν om. ι'. — τοὺς omm. ε μ' ξ' φ', et a prima manu deletum est in ι'.

ρους διανέμουσαν, τὴν χρυσῆν περικεφαλαίαν φοροῦσαν, τὰς χεῖρας ἀνατεῖναι, ἀντὶ τοῦ τὴν ἑαυτῆς ψῆφον δοῦναι, ὅρκον δὲ τῶν θεῶν μέγαν γενέσθαι, μὴ παρφάμεν, ἤγουν μὴ ἄλλο τι βουλεύσασθαι αὐτούς, ἀλλὰ σὺν τῷ παιδὶ τοῦ Κρόνου τῷ Διῒ κατανεῦσαι, πεμφθεῖσαν αὐτὴν τὴν νῆσον, ἤγουν ἀναδοθεῖσαν εἰς τὸν αἰθέρα, ἀντὶ τοῦ τὸν ἀέρα (122), *τὸν λαμπρόν, γέρας ἔσεσθαι ἐξοπίσω, τουτέστιν εἰς τὸ ἐπιόν, τῇ ἑαυτοῦ κεφαλῇ, ἀντὶ τοῦ αὐτῷ τῷ Ἡλίῳ δηλονότι. ἐτελεύτησαν δέ, ἤγουν ἐτελειώθησαν αἱ κορυφαί, τουτέστι τὰ τέλη, αἱ ἀποκαταστάσεις τῶν λόγων, ἐν ἀληθείᾳ πεσοῦσαι, ἀντὶ τοῦ ἀποβᾶσαι· λέγω ἐβλάστησε μέν, ἀντὶ τοῦ ἀνεδόθη ἐκ τῆς θαλάσσης τῆς ὑγρᾶς ἡ νῆσος* (128), *ἔχει τε αὐτὴν ὁ πατὴρ ὁ γεννήτωρ τῶν ἀκτίνων τῶν ὀξειῶν, τουτέστι τῶν καυστικῶν ἢ τῶν ταχειῶν, ἤτοι ὁ Ἥλιος ὁ ἀρχός, ἀντὶ τοῦ ὁ ἡνίοχος τῶν ἵππων τῶν πνεόντων πῦρ.*

gl. 131. ** *ὅπου.* — * † *τῇ ἡρωΐδι.* — ** *ἑνωθεὶς γαμικῶς.*

132. *Th. Το ἑπτὰ πρὸς τὸ παῖδας συναπτέον οὕτω· τέκεν ἑπτὰ παῖδας παραδεξαμένους ἢ ἀπὸ τοῦ Ἡλίου ἢ ἀπ᾽ ἄλλων διδασκάλων σοφώτατα νοήματα, ἤγουν σοφωτάτους γενομένους ἐπὶ τῶν προτέρων ἀνδρῶν, ἤτοι ἐπὶ τῶν ὑπαρχόντων ἐν τοῖς χρόνοις ἐκείνοις ἀνθρώπων. τῶν δὲ παίδων τὰ ὀνόματά εἰσι ταῦτα·*

---

1 *χρυσὴν* ξ'. — *περικεφαλαῖαν* μ'. — 2 *ἀντὶ τοῦ — δοῦναι* omm. *z μ' ξ' φ'*. — 3 *παραφάμεν q*. — *ἄλλό τι a q z μ'* ed. Ro. — 4 *αὐτοὺς*] *αὐτὰ a*, om. *q*. — 6 Post *αἰθέρα* Bœckh *φαεινόν* inseruit, fort. recte. — 8 *τῷ ἡλίων* ξ'. — 10 *ἀντὶ τοῦ* omm. *z ι' μ' ξ' φ'*. — 11 *ἐνεδόθη a*. — 12 *γενήτωρ* ξ'. — *τῶν ἀκτ.* om. *a*. — *τῶν* ante *ὀξ.* om. *ι'*. — 13 *ἢ*] *ἤγουν q*. — 13. 14 *ἀντὶ τ. ὁ*] *καὶ φ'*. — *ἀντὶ τοῦ ὁ ἡν.* omm. *μ' ξ'* et edd. ante Beck. — 14 *πν. τὸ πῦρ* ed. Bœckh. — 17 Totum scholium om. *z*. — 20. 21 *ἐν τοῖς χρ. ἐκ.* *ΓΔ*, *ἐν ἐκείνοις τοῖς χρ.* cett. — 21 *ἀνθρώπων* om. *ι'*. — *τὰ* omm. [*Γ?*] et edd. inde a Beckio.

Κέρκαφος, Όχιμος, Ἀκτίς, Μακαρεύς, Τενάγης, Τριόπης, Φαέθων.

gl. 132. * * *ἔτεκεν.* — * * *παῖδας.* — 133. *ἤγουν τῶν ἐν ἐκείνοις ὑπαρχόντων χρόνοις.* — 134. *ἢ ἀπὸ τοῦ Ἡλίου ἢ ἀπό τινων ἄλλων διδασκάλων.* — 135. *τῶν παίδων.* — * *ὁ Κέρκαφος.* — 136. *προγενέστερον Καμείρου καὶ Λίνδου.* — † *ἀντὶ τοῦ πρώτιστον.* — 137. *ἐκ Κυδίππης.* — * *μακρὰν κωλύουσι.* — * * *μακρὰν κεχωρισμένως.* — 138. *εἰς τρία.* — 139. *μερίσαντες.* — * * *πατρικήν.*

140. *Th. Μὴ εἴπῃς τὸ σφὶν ἀντὶ τοῦ σφῶν, ὥς τινές φασιν ἀπατώμενοι ἀπὸ τοῦ ἕδραι, ἀλλ' ἔστιν ἡ τοιαύτη δοτικὴ πρὸς τὸ κέκληνται οὕτως· αἱ ἕδραι δὲ κέκληνται καὶ ἐκλήθησαν σφὶν καὶ αὐτοῖς, τῷ Λίνδῳ, τῷ Ἰαλύσῳ, τῷ Καμείρῳ, τουτέστι πρὸς τὰ τούτων ὀνόματα καὶ αὗται τὴν προσηγορίαν ἐσχήκασιν.*

gl. 140. *ἀστέων] τοῦτο πρὸς τὸ ἔχοντι.* — *ἐκλήθησαν αὐτοῖς αἱ καθέδραι, ἤτοι αἱ πόλεις.*

131—140. *M. Ἔνθα, ἤγουν ἐν τῇ Ῥόδῳ τῇ νήσῳ, μιγείς ποτε αὐτὸς ὁ Ἥλιος τῇ Ῥόδῳ τῇ ἡρωΐδι ἐγέννησεν ἑπτὰ παῖδας*

---

1 *κέκαρφος* μ' ξ' φ' et edd. usque ad Beck., nisi quod *κέκρφας* (sic) est in Ro., idem *κέκαρφος* est in glossa Mosch. in codd. mixtis. — *ἔχιμος* Δ. — *μακαρὲς* Γ, *καμαρεὺς* ι' μ' ξ' φ'. — *τριόπους* Γι' ξ' et edd. ante Heynium, *τρόπους* μ' φ'. — 2 *φλέθων* Δ. — 6 *καμείρου* Δ, *ἰαλύσου* Γ', *λίνδου καὶ καμ.* est in codd. mixtis. — 8 Ad v. 138 hæc adscripsit glossator in *b*: † *σύναψον τὴν διὰ μετὰ τοῦ δασσάμενοι, ἵνα ᾖ διαδασσάμενοι ἤγουν διὰ μερισάμενοι.* — 10 *εἴποις* Γφ'. — *τὸ σφῖν* Δ, *τὸ σφῖν* ι'. — 11 *ἕδρας* Γ. — 12. 13 *αἱ ἕδραι κεκλήρωνται (κέκληνται* ι'*) καὶ ἐκληρώθησάν σφιν (— σαν σφῖν* ξ' φ'*) καὶ αὐτοῖς* codd. mixti et edd. — 13 *σφὶν* etiam Δ, *σφῖν* ι'. — *καὶ τῷ ἰαλ.* ι'. — *ἰαλισσῷ* ΓΔ. — *καὶ τῷ κ.* codd. mixti et edd. — 14 *τὴν* om. ι'. — 18 *σύνταξις* μ'ξ' in marg. — Lemma *ἔνθα ῥόδῳ ποτὲ μιχθεὶς* est in ξ'. — *τῇ νήσῳ* om. ι'. — 19 *αὐτὸς* om. ι'. — *ἐγένησεν* q.

τοὺς παραδεξαμένους ἐπὶ τοῦ χρόνου τῶν προτέρων ἀνθρώπων σοφώτατα νοήματα, ἤγουν ἐπιτηδεύματα, μαθήματα, ἀφ' ὧν εἷς μὲν (135) ὁ πρῶτος Κέρκαφος τὸν Κάμειρον ἐγέννησε καὶ πρεσβύτατον τὸν Ἰάλυσον, ἐπιρρηματικῶς ἀντὶ τοῦ καὶ τὸν Ἰάλυσον πρώτιστα ἐγέννησε, καὶ τὸν Λίνδον. ἀπάτερθε δέ, ἤγουν χωρίς, ἰδίᾳ, εἶχον μερίδα ἀστέων, ἤτοι πόλεων, ἕκαστος εἰς τρεῖς μοίρας διαμερισάμενοι τὴν πατρῴαν γῆν· καλοῦνται δὲ αἱ ἕδραι, ἤγουν αἱ καθέδραι, τὰ φρούρια, ἔνθα ἕκαστος ἐνεθρόνιατο, αὐτοῖς, ἀντὶ τοῦ ἀπὸ τῶν ὀνομάτων αὐτῶν.

gl. 141. *ὅπου. — * παῦσιν. — * ἔσχεν. — τοῦ μιάσματος, ὃ διὰ τὸν φόνον ἔσχεν. — 142. τοῦτο εἶπεν ἐπειδὴ γλυκὺ τὸ ἁμαρτίας πεπαῦσθαι. — 143. † ἀντὶ τοῦ ἐγένετο. —** τῶν Τίρυνθον οἰκούντων. — 144. βασιλεῖ. — 145. ἵσταται. — * ἐκ θυσίας γινομένη πανήγυρις· — † κνίσσης μετέχουσα ἑορτὴ γίνεται δηλονότι. — 146. * περί. — † ἐπὶ τοῖς ἀγῶσι γίνεται.

147. Th. Ὅτε οἱ Ἕλληνες εἰς Τροίαν ἐστράτευσαν, ἦν καὶ Τληπόλεμος οὗτος μετὰ Ῥοδίων. ἀποθανόντος οὖν ἐκεῖ ἤγαγον τὰ ὀστᾶ αὐτοῦ εἰς Ῥόδον ὡς οἰκιστοῦ ταύτης, καὶ ναὸν αὐτῷ ποιήσαντες πανήγυριν κατ' ἐνιαυτὸν ἄγουσι τὰ λεγόμενα Τληπολέμια. ἔστι δὲ τὸ τῶν ἀγώνων ἆθλον λεύκινος στέφανος, ὃν

2 ἤγουν — μαθήματα om. ι'. — μαθήματα om. α. — 3 κέκραφος q, ὁ κίρκαφος ε, ὁ κίκαρφος μ' ξ' φ'. — κάμοιρον α. — ἐγέννησε omm. ε μ' ξ' φ'. — 4 τὸν] καὶ ε. — 4. 5 ἐπιῤῥ. ἀ. τ. κ. τ. Ἰάλ. om. ξ'. — 5 τὴν λίνδον α. — ἀπάτερθεν δὲ ε μ' φ'. — 6 ἤτοι ι'. — 7 μοίρας α q ι', μερίδας cett. — 7. 8 δὲ καὶ αἱ q. — 8 ἤγουν αἱ καθέδραι omm. ε ι' μ' ξ' φ'. — 9 αὐτῶν om. α. — 13 τίρυνθον codd. omnes. — 17 ἱστορία, quod ε in marg. habet, est lemma in edd., περὶ τληπολέμου in ε, ἱστορία περὶ τληπολέμου, quod μ' in marg. habet, in ξ' φ', historia de tlepolemo ι' in marg. — ὅτι ε. — 19 ὀστᾶ ε μ'. — 20. 21 τληπολέμια Γ Δ ξ', τληπολέμεια cett. — 21 ἄθλον λ. ι'.

δὶς ἔσχε Διαγόρας νικήσας. εἰς δὲ τὸ ἄνθεσι καὶ στεφάνῳ ἐστεφανώσατο ἔξωθεν νόει ἀπὸ τοῦ στεφάνῳ. ἀγνοοῦντες δέ τινες οὕτω γράφουσιν· ὧν ἄνθεσι Διαγόρας ἐστεφανώσατο δίς. καὶ σὺ ἐν παλαιοῖς καὶ πολλοῖς βιβλίοις ἐξετάσας ὡς καὶ ἡμεῖς στεφάνῳ εὑρήσεις.

gl. 147. * μὴ λάβῃς εἰς τὸ τῶν ἔξωθεν τὸ ἀπό, ἀλλὰ πρὸς τὸ ἄνθεσίν ἐστιν ἡ γενική· τῶν γὰρ ἀγώνων ἦσαν τὰ ἄνθη δι' αὐτοὺς διδόμενα. — 148. ἐνδόξῳ. — τῷ τῆς Πελοποννήσου. — 149. νικῶν. — 150. ἐστεφανώσατο. — νίκην εὐτυχῶν.

151. Th. Τὸ κρανααῖς ἐν Ἀθήναις λέγει ἢ διὰ τὴν τῶν Παναθηναίων ἑορτὴν ἢ τῶν Ἐλευσινίων ἢ τῶν Ἡρακλείων. διὰ δὲ τὸ εἶναι τὴν Ἀττικὴν κατάξηρον καὶ λεπτόγυιον τὸ κρανααῖς εἶπεν.

gl. 151. καταξήροις, λεπτογυίοις. — ἐστεφανώσατο εὐτυχῶν.

152. Th. Ἐν τῷ Ἄργει πανήγυρίς ἐστι τῆς Ἥρας τὰ λεγόμενα Ἥραια ἢ Ἑκατόμβαια. θύονται γὰρ ἑκατὸν βόες τῇ θεῷ. τὸ δὲ ἔπαθλον τῶν ἀγώνων χαλκῆ ἀσπὶς καὶ στέφανος ἐκ μυρσίνης. τὸ δὲ ἐν Ἀρκαδίᾳ ἔργα ἀντὶ τοῦ τὰ ἐκεῖ διδόμενα χαλκᾶ σκεύη τοῖς νικῶσιν ἐν τῇ τοῦ Λυκαίου Διὸς πανηγύρει.

1—5 εἰς δὲ — εὑρήσεις ex ΓΔ addidi. — 6 Glossa Thomana præfixo lemmate τῶν ἄνθεσι in z (qui σύνταξις in marg. habet) ι'μ'ξ'φ' et edd. inter scholia legitur. — 11 Hoc scholium omm. zφ'. — 12 ἐλευσινείων Γ, λευσιν. ξ'. — 13 κατάξυρον Γ. — λεπτόγυιαν ξ', λεπτόγαιον edd. — 17 Hoc scholium deest in z. — Lemma ὅ τ' ἐν Ἄργει est in ι'. — 17. 18 Ἥρας τὰ Ἥραια τὰ καὶ Ἑκατόμβαια λεγόμενα dedit Bœckh «duce Mosc. B», immo Moschopulea Thomanis immiscens. — 18 ἢ] καὶ Beck, Heyne. — τῇ θεᾷ [φ' ?] Heyne, Bœckh. — 19 χαλκῆ] χαλκὸς ΓΔ, χαλκὴ ξ'. — 19. 20 μυρίνης codd. mixti et edd. ante Beck. — 20 Verba inde ab τὸ δὲ omm. edd. — τὸ δὲ τὰ ἐν codd mixti. — τὰ om. Γ. — χαλκὰ ξ'. — 21 τοῦ om. ξ'.

gl. 152. * *νικῶντα τὸν Διαγόραν.* — 153. * *ἔγνω αὐτὸν νικῶντα ὁ ἐν ταύτῃ χαλκός.* — † *τὰ δὲ ἔργα ἀπὸ κοινοῦ.*

154. *Th.* *Τελοῦνται ἐν Βοιωτίᾳ ἀγῶνες ἐν Θεσπιαῖσιν Ἐρώτια, ἐν δὲ Πλαταιαῖς τὰ Ἐλευθέρια πρὸς τὸν Δία διὰ τὸ ἐν ταύταις νικῆσαι τοὺς Μήδους, ἐν δὲ Λεβαδίᾳ τὰ Τροφώνια, ἐν δὲ Ὠρωπῷ τὰ Ἀμφιαρῆϊα.*

gl. 154. * *ἐν ταῖς Θήβαις τὰ Ἡράκλεια ἐτελεῖτο, ὧν ἄθλον ἦν χαλκὸς τρίπους.* — 155. *νενομισμένοι ἔγνωσαν αὐτόν.* — *ἔγνω αὐτόν.*

156. *Germ.* *Ἐν τῇ Πελλήνῃ τε καὶ ἐν τῇ Αἰγίνῃ ἐγνώσθη νικῶν ἑξάκις.*

Th. *Ἐν Πελλήνῃ τῆς Ἀχαΐας ἀγῶνές εἰσι Θεοξένια καὶ Ἕρμαια, ὧν τὸ ἆθλον χλαῖνα· ἐν δὲ Αἰγίνῃ τὰ Αἰάκεια, ὧν τὸ ἀθλόν ἐστι κρατήρ.*

157. *Th.* *Οἱ ἐν τοῖς Μεγάροις ἀγῶσι νικῶντες λιθίνης*

---

3 Hoc scholium omm. edd. ante Bœckh., qui ex Mosc. B edidit. — *τελ. δὲ ἐν* codd. mixti et ed., in quibus glossa Thomana ad v. 154 præcedit. — *ἀγῶνες* — *Ἐρώτια* om. *ε*. — *θεσπιέσιν Δ*, *θεσπειαῖς ι''*, *θεσπιαῖς* cett. — 4 *τὰ ἐρώτιας* codd. mixti (*τὰ ἐρώτεια μ'*) et ed. — *δὲ* ex *ΓΔ* accessit. — *πλατιαῖς φ'*. — 4. 5 *ἐν τ.*] *ἐνταῦθα* Bœckh (et Mosc. B ?). — 5 *μήδας Γ*. — *λεβαδέαν ε*, *λεβαδεία ι''*, *λεβαδία ξ'*. — *τροφόνια ξ'*. — 6 *ὀῤῥωπῷ Γ*, *ὀρωπῷ Δ*, *ὠῤῥωπῷ ε μ' φ'*. — *ἀμφιάρια Γξ'*, *ἀμφιάρηα Δ*. — 7 Glossa Thomana in codd. mixtis et ed. Bœckh. scholio ad v. 154 præfixum est, in cett. edd. deest. — *ταῖς* om. *ξ'*. — *τὰ* omm. *ξ'* et ed. Bœckh. — 8 *χαλκὸς ΓΔ ε*, *χαλκοῦς* cett. — 10 In initio scholii delevi *ἢ οὕτως*. — *τὲ U*. — Post *Αἰγ.* in *U τὲ* supra lineam additur. — 12 Scholium ad v. 156. 157 Bœckh primus ex Mosc. B edidit. — *παλήνη Γ*. — 13 *ἕρμεα Γ*. — *αἰάκια ε ι'' μ' ξ' φ'*. — 15 In ed. Bœckh. [et Mosc. B ?] hoc scholium antecedenti continuatur. — Ante *Μεγ.* in *Δ* supra lineam, in *ι'' μ'* in textu *ἐν* additur. — *ἀγῶσι* om. *ξ'*.

ἠξιοῦντο στήλης διὰ ψηφίσματος, ἐν αἷς τὸ αὐτῶν ὄνομα ἐνεκόλαπτον καὶ τὸ ὑπὲρ αὐτῶν ψήφισμα.

gl. 158. ἢ τὸν αὐτοῦ.

159. *Pal.* Ψῆφος ὁ λίθος διὰ τὸ δέχεσθαι τὰ ψηφίσματα, ἤγουν ὀνόματα τῶν νικώντων.

gl. 159. ἡ διὰ ψηφίσματος τοῖς νικῶσι γινομένη στήλη.

141—159. *M.* Τόθι, ἤγουν ὅπου, ἐν τῇ Ῥόδῳ δηλονότι, ἵσταται τῷ Τληπολέμῳ τῷ ποτε ἀρχηγέτῃ τῶν Τιρυνθίων, ἀντὶ τοῦ ἐγένετο, λύτρον, ἀντὶ τοῦ παῦλα, ἐλευθερία ἡδεῖα τῆς συμφορᾶς τῆς οἰκτρᾶς, ἤγουν τῆς πλάνης ἧς ἐπλανήθη· ἐβασίλευσε γὰρ ἐκεῖ· ὅπου ἵσταται αὐτῷ, ἤγουν γίνεται ὥσπερ θεῷ, καὶ πομπή (145), ἤτοι ἑορτή, τιμὴ κνίσσης μετέχουσα, ἣν πρόβατα σφαγιαζόμενα καὶ καιόμενα ποιεῖ· τουτέστιν ὅπου γίνεται αὐτῷ ὥσπερ θεῷ καὶ τιμὴ διὰ θυσιῶν, ὅπου γίνεται αὐτῷ ἀπὸ κοινοῦ, καὶ κρίσις ἐπ᾽ ἀγῶσιν. ἐτελεῖτο γὰρ αὐτῷ ἀγὼν τὰ Τληπολέμεια, ὁ δὲ νικήσας αὐτὰ λεύκην ἐλάμβανε στέφανον. τῶν ἄνθεσιν, ὧντινων, ἤγουν τῶν Τληπολεμείων, τοῖς στεφάνοις

1 ψηφίσματο (sic) ἐν ᾗ ι''. — αὐτὸ Mosc. B. — 1. 2 ὄνομα ἦν. ἐκόλαπτον ed. Bœckh. [et Mosc. B?] — ἐνεκόλαπτο Γ. — 6 Ad v. 159 hæc habet *b*: λοιπόν, ὦ Ζεῦ δηλονότι, εἴ τι λυπηρὸν συμβέβηκε τῇ φυλῇ τοῦ Διαγόρου, ταχέως τρέψον ἐπὶ τὸ κρεῖττον. — 7 σύνταξις μ' φ' in marg. — 8 τῷ ante ποτε om. ι''. — τῷ (ὁ) π. ξ', τῶ (πο) τοτὲ *q*. — τῶν ἀτρυνθίων *q*. — 9 παῦρα ξ'. — ἐλευτερία *a*. — ἡδεῖα] ἡ διὰ *q*. — 10 οἰτρᾶς *a*. — 12 ἤγουν ἑορτή *z* ι''. — ἣν] ἤγουν *q* et edd. ante Bœckhium, qui ἣν τὰ post ἤγουν addidit et hæc annotavit: »Iam supersedeas coniecturis Heynii, qui ποιεῖ in πυρὶ mutat et Fæhsii Syllog. p. 403, cui placet ποίμνια pro verbo ποιεῖ. — 13 τουτέστιν omm. *z* ξ' φ'. — γίνεται *a q* φ', fit ι'', γίγνεται cett. — 13. 14 τουτέστιν — θυσιῶν om. μ'. — 14 ὥσπερ — γίνεται omm. ξ' φ'. — αὐτοῖ *q*. — 15 κρίσεις *q*. — ἀγὼν] ἑορτή *q*. — 17 τληπολέμια *z* ξ'. — 17 τῶν ἄνθεσιν (τ. ἄνθεσι ι'', Beck, Heyne) om. Bœckh. — σύνταξις margo μ'. — 17 — 276, 8 τῶν ἀνθ. — νενικηκώς, quæ in codd. mixtis et edd. separatum scholium efficiunt, om. *s*. — 17 τῶν post ἤγουν om. *q*. — τληπολεμίων ξ.

ὁ Διαγόρας ἐστεφανώσατο δίς, καὶ ἐν τῇ ἐνδόξῳ Ἰσθμῷ ἐστεφανώσατο τετράκις εὐτυχῶν, ἤγουν ἐπιτυγχάνων, νικῶν, καὶ ἐν τῇ Νεμέᾳ (150) *ἄλλην ἐπ' ἄλλῃ στεφανηφορίαν δηλονότι, τουτέστι διττὰς στεφανηφορίας ἐστεφανώσατο· καὶ ἐν ταῖς Ἀθήναις ταῖς κρανααῖς, ἀντὶ τοῦ καὶ ἐν τῇ Ἀττικῇ τῇ πετρώδει καὶ καταξήρῳ, ἔνθα ἐτελεῖτο τὰ Παναθήναια, τὰ Ἡράκλεια, τὰ Ἐλευσίνια, τὰ Πανελλήνια, ἐστεφανώσατο, ἕνα τινὰ τούτων τῶν ἀγώνων δηλονότι ἢ καὶ πάντας νενικηκώς. καὶ ὁ χαλκός* (152), *τουτέστιν ἡ ἀσπὶς ἡ χαλκῆ ἡ διδομένη ἐν Ἄργει· ἔνθα ἐτελεῖτο τὰ Ἥραια τὰ καὶ Ἑκατόμβαια λεγόμενα· ἔγνω αὐτόν, ἀντὶ τοῦ ἐδεξιώσατο αὐτὸν νενικηκότα. καὶ τὰ ἔργα τὰ ἐν Ἀρκαδίᾳ ἔγνω αὐτόν· ἐτελεῖτο γὰρ ἐν Ἀρκαδίᾳ ἀγὼν τὰ Λύκαια τῷ Λυκαίῳ Διῒ ἀνακείμενος· οἱ δὲ νικῶντες σκεύεσι χαλκοῖς ἐτιμῶντο. καὶ τὰ ἔργα τὰ ἐν Θήβαις ἔγνω αὐτόν· τὰ Ἡράκλεια τὰ καὶ Ἰολάεια ἐτελεῖτο ἐν ταῖς Θήβαις, ἐδίδοτο δὲ τῷ νικήσαντι τρίπους χαλκοῦς· καὶ οἱ ἀγῶνες οἱ Βοιώτιοι* (155), *ἤγουν οἱ ἐν τῇ Βοιωτίᾳ, οἱ*

---

5 *καὶ* ante *καταξ.* om. ξ'. — 6 *ἐλευσόνια* ξ'. — 8 *καὶ* om. ι''. — Ante *καὶ ὁ* in codd. mixtis et edd. *ὅ τ' ἐν Ἄργει χαλκός* lemma legitur. — 9 *ἡ* ante *χαλκῆ* (*χαλκὴ q z*) om. ι''. — 9. 10 Inter *Ἄργει* et *ἔγνω* in edd. hæc leguntur: *ἐν τῷ Ἄργει πανήγυρίς ἐστι τῆς Ἥρας τὰ καὶ Ἑκατόμβαια λεγόμενα· θύονται γὰρ ἑκατὸν βόες τῇ θεῷ* (*θεᾷ* Bœckh)· *τὸ δὲ ἔπαθλον τῶν ἀγώνων χαλκῆ ἀσπὶς καὶ στέφανος ἐκ μυρίνης* (*μυρσίνης* edd. inde a Beckio); vide scholium Thomanum ad v. 152. — 10 *τὰ* om. *z*, *καὶ* om. μ'. — *καὶ* ante *ἔγνω* insertum est in *q*. — 11 Ante *καὶ* lemma *τά τ' ἐν Ἀρκαδίᾳ* est in edd. — *τὰ* ante *ἐν* om. ι''. — 13 *νικῶντες* codd. mixti et Bœckh e Beckii coni., *τιμῶντες* cett. codd. et edd. — *σκ. κακοῖς z*. — *ἐτίμων* edd. ante Bœckhium, qui ex libris correxit; *ἐτιμῶντο* coni. etiam Beck. — Ante *καὶ* lemma *καὶ Θήβαις* est in edd. — 14 *τὰ καὶ ἠρ. q*. — *τὰ καὶ* codd. excepto ι', qui *καὶ τὰ* habet; edd. *καὶ* (om. *τά*) exhibent. — *ἰολάïα* ι''. — 15 *ἐδίδετο* ξ. — 17 Ante *καὶ* lemma *ἀγῶνές τ' ἔννομοι Βοιώτιοι* est in edd. exceptis Beckiana et Heyniana. — *οἱ Β. ἤγουν* omm. edd. ante Bœckhium. — *βιώτιοι* μ' ξ'. — *τῇ* omm. ι'' ξ φ'. — *οἱ τῇ ἐν β. q*.

ἔννομοι, τουτέστιν οἱ συνήθως κατὰ νόμους τελούμενοι ἔγνωσαν αὐτόν· ἐτελοῦντο δὲ ἐν τῇ Βοιωτίᾳ διάφοροι ἀγῶνες, ἐν μὲν Θεσπιαῖς τὰ Ἐρώτια, ἐν δὲ Πλαταιαῖς τὰ Ἐλευθέρια, ἐν δὲ Λεβαδείᾳ τὰ Τροφώνεια, ἐν δὲ Ὠρωπῷ τὰ Ἀμφιαράϊα. καὶ ἡ Αἴγινα, ἔνθα ἐτελεῖτο ἀγὼν τὰ Αἰάκια, ἔγνω αὐτόν, καὶ ἡ Πελλήνη, ἔνθα ἐτελεῖτο τὰ Θεοξένια καὶ τὰ Ἕρμαια· τὸ δὲ ἆθλον ἦν χλαῖνα· ἔγνω αὐτὸν νικῶντα ἑξάκις. καὶ ἐν τοῖς Μεγάροις (157) οὐχ ἕτερον ὄνομα ἐπιγεγραμμένον φέρει ἡ ψῆφος ἡ λιθίνη, τουτέστιν ἡ στήλη, ἀλλ' ἢ τὸ τοῦ Διαγόρου. ἀπὸ τοῦ πλεονάζοντος δὲ τοῦτό φησι· ψῆφον δὲ λέγει τὴν στήλην διὰ τὸ περιέχειν τὰ τῶν κριτῶν ψηφίσματα.

gl. 160. ὄρος Σικελίας, ἐν ᾧ χαλκαῖ βόες εἰσὶ μηκώμεναι, ὅταν τι γενήσεται ἄτοπον.

161. *Germ.* Τίμα μὲν κατὰ τὸν τεθμὸν τοῦ ὕμνου τὸν Ὀλυμπιονίκην ἄνδρα, τὸν εὑρόντα τὴν ἀρετὴν κατὰ τὸ πύξ.

162. *Th.* Ἢ ἀποδέχου τὸν κατὰ νόμους τοῖς ἀγωνισταῖς

---

1 οἱ] ἡ a. — κατὰ τοὺς ν. codd. et edd. a ι'' exceptis. — 3 θεσπειαῖς ι''. — ἐράτια a. — πλατειαῖς ξ'. — 4 λιβαδία ξ', λεβαδία ε μ'. — τροφώνια ε ι'' et edd., τροφάνια ξ'. — ὠρρωπῷ μ' ξ' φ'. — 5 Ante καὶ ἡ lemma Πελλάνα τ' Αἰγινά τε (Αἰγίνα τε Bœckh) legitur in edd. Beckiana et Heyniana exceptis. — αἰάκεια Heyne, Bœckh. — 6 πελήνη ξ'. — 7 ἑξάκις. κατὰ τὰ Μέγαρα ἔθος ἐστὶ τῶν νικηφόρων τὰ ὀνόματα λίθοις ἐγκολάπτεσθαι. φησὶν οὖν ὅτι (καὶ add Bœckh) ἐν τοῖς Μεγάροις (hic punctum est in edd. ante Oxx., qui addunt lemma Ἐν Μεγάροισιν τ' οὐχ' ἕτερον.) οὐχ ἕτερον ὄνομα etc. est in edd. — 8 Post ἐπιγεγρ. edd. addunt ἢ ἐγκεκολαμμένον. — 9 τοῦ] αὐτοῦ ξ', qui cum ε μ' φ' om. Διαγόρου. — 9. 10 Διαγόρου. εἶχε δὲ ἡ στήλη καὶ ἄλλων τινῶν ἀγωνιστῶν ὀνόματα, ἀλλ' ἀπὸ τοῦ πλ. edd. inde a Beckio e codd. Bodl. — 10 δέ post πλεον. omm. Heyne, Bœckh. — 11 τῶν omm. ε μ' ξ' φ'. — 12 μυκώμεναι μ', recte. — 16 Scholium Thomanum Mommsen (Schol. Germ. p. 37) ex Aug. B edidit.

διδόμενον ὕμνον, ἢ νικῶντας δείκνυε, ἵνα καὶ ὕμνοι σπουδάζωνται.

gl. 162. * νόμον. — 163. τίμα. — ** τὸν Διαγόραν. — διὰ πυγμῆς. — νίκην καὶ θαῦμα· λέγω δὴ τὸν Διαγόραν. — 164. τῷ Διαγόρᾳ. — ἤγουν αἰδέσιμον εἶναι διὰ τὰς νίκας. — 165. παρὰ πολιτῶν. — παρά. — 166. * τῆς ἀδικίας. — 167. δικαιοσύνην. — κάλλιστα πορεύεται. — 168. * † μαθών. — ἅτινα. — αὐτῷ. — 169. αἱ ὀρθῶς τὰ πράγματα κρίνουσαι. — * τὸ φρένες ἢ αὐτοῦ νόει ἢ πρὸς τὸ πατέρων, ἵν' ᾖ τὸ ἐξ ἀγαθῶν πρὸς τὸ πράγματα. — 170. ὑπετίθεσαν· ἤγουν τοὺς αὐτοῦ πατέρας μιμούμενος τοιοῦτός ἐστιν. — * ἤγουν μὴ ἀφάνιζε τὴν γένεσιν τοῦ Διαγόρου, τὴν ἔχουσαν κοινωνίαν ἀπὸ Καλλιάνακτος ἤτοι καταγομένην.

171. *Th.* Ἤγουν σὺν ταῖς εὐτυχίαις τοῦ Διαγόρου καὶ τῶν αὐτοῦ προγόνων καὶ ἡ πόλις ἡ Ῥόδος ἔχει θαλίας καὶ πανηγύρεις καὶ εὐφροσύνας ἑτέρας.

gl. 172. Ἐραστείδης πρόγονος αὐτοῦ. — * εὐτυχίᾳ.

173. *Pal.* Αὖραι] πνοαί· ἤγουν ἐν βραχεῖ χρόνῳ ἄλλοτε ἄλλως διατίθεται τὰ πράγματα. τοῦτο δὲ λέγει ὡς πρὸ ὀλίγου λυπηροῦ τινος αὐτῷ συμβάντος.

---

8 σύναπτε τὴν (τὸ Bodl. β) ἐξ μετὰ τοῦ ἔχραον Bodl. β et gloss. *b*. — Glossae Thomanae ad v. 169 et 170 in codd. mixtis (*z* excepto) et in ed. Boeckh. inter scholia leguntur. — 10 τὸ om. *i''*. — 11 Lemma μὴ κρύπτε (κρ. om. *μ'*) ante ἤγουν est in codd. mixtis et ed. — 12 ἤγουν *i''*. — 14 Hoc scholium Boeckh ex Mosc. B edidit, Guil. Canterus ut ex Thomae Magistri scholiis ediderat in Novis Lectionibus III 17, in *i'' μ' ξ' φ'* (om. *z*) in calce scholiorum ad hunc hymnum legitur. — ἤγουν] σὺν χαρίτεσσιν εὐτυχίαις ἤγ. codd. mixti et edd., Ἐ (sic) εὐτυχίαις ἤγ. *A*. — ἤτοι edd. — 17 Ἐρασστείδης *ΓA*, Ἐρατίδης codd. mixti e Triclinii sententia. — 18. 19 Lemma et ὡς voculam ego addidi.

gl. 173. *εὐφροσύνας ἑτέρας.* — *ἡ Ῥόδος.* — 174. *ἤγουν ἐν μιᾷ καιροῦ ῥοπῇ ὁ μὲν λυπεῖται, ὁ δὲ εὐφραίνεται.* — 175. *τοῦτο λέγει διά τινα συμβᾶσαν λύπην Διαγόρᾳ.* — * *ὁρμῶσι.* — * * *πνοαί.*

159—175. M. *Ἀλλά, ὦ Ζεῦ πάτερ ὁ βασιλεύων τῶν νώτων ἀντὶ τοῦ τῆς κορυφῆς τοῦ Ἀταβυρίου ὄρους· τοῦτο δὲ λέγει διὰ τὸ ἱδρῦσθαι αὐτὸν ἐπὶ τῇ κορυφῇ τοῦ Ἀταβυρίου· τίμα μὲν τὸν νόμον τοῦ ὕμνου, ἤγουν τὴν συνήθειαν, τίμα καὶ τὸν ἄνδρα τὸν Ὀλυμπιονίκην, τὸν εὑρόντα ἀρετήν, ἀντὶ τοῦ εὐφημίαν ἕνεκα ἀρετῆς, πύξ, τουτέστι διὰ τῆς πυκτικῆς, δίδου τε* (164) *αὐτῷ αἰδοίαν χάριν, ἀντὶ τοῦ τιμὴν αἰδεσίμου χάριτος, καὶ παρὰ τῶν ἀστῶν, ἤγουν τῶν πολιτῶν, καὶ παρὰ τῶν ξένων, τουτέστι τῶν ἀπ᾽ ἀλλοτρίου τόπου, ἐπεὶ ὁδὸν εὐθυπορεῖ, ἤγουν κατ᾽ εὐθεῖαν πορεύεται οὐκ ἐκτρεπόμενος, ἐχθράν, τουτέστι ξένην, ἀλλοτρίαν ὕβρεως, ἤτοι ἀδικίας, σάφα δαείς· πρὸς τὸν Δία καὶ τοῦτο· σαφῶς μαθών, ἅτινα αἱ τῶν ἀγαθῶν*

---

5 Lemma *ἀλλ᾽ ὦ ζεῦ* est in *ε μ' φ'*, *ἀλλ᾽ ὦ ζεῦ πάτερ* in *ξ'* et ed. Bœckh., *ἀλλ᾽ ὦ ζεῦ πάτερ νώτοισιν* in edd. ante Beck., omm. *a q ι''* Beck, Heyne. — Lemmati *σύνταξις*, quod in marg. *ι'' μ'* legitur, præfixum est in *ξ'* et ed. Bœckh. — *ἀλλ᾽ a ι''*, omm. *ε μ' ξ' φ'*. — 6 *ἀρταβυρίου ξ'*. — 6. 7 *τοῦτο* — *Ἀταβυρίου* omm. edd. — 7 *ἱδρύσθαι a ε ξ'*, *ἱδρύσθαι q*. — *ἀρταβυρίου ξ'*. — 8 *συνήθεια ι''*. — 9 *ὀλυμπιονίκαν ξ'*. — *τὴν ἀρετὴν ι''*. — *ἀ. τ. τὴν εὐφ. ι''*. — *εὐφημίων q*. — *ἀντὶ τοῦ* omm. edd. ante Bœckhium. — 9. 10 *εὐφημίαν* — *τουτέστι* Beck ex codd. Bodl. addidit. — 10 *διὰ τῆς ἐν πυγμῇ νίκης* edd., in quibus hæc adduntur e schol. vett. excerpta: *νώτοισι δὲ εἶπεν Ἀταβυρίου, ὅτι ἐπάνω αὐτοῦ ἵδρυται ὁ Ζεύς· εἰσὶ δὲ χαλκαῖ βόες ἐν αὐτῷ, αἵτινες ὅταν μέλλῃ ἄτοπόν τι γενέσθαι μυκῶνται. ἔστι δὲ καὶ ἐν Σικελίᾳ ὄρος Ἀταβύριον, ὥς φησι Τίμαιος.* — Ante *δίδου* (*δίδου ε*) lemma *δίδου τέ οἱ* est in edd. — *τε*] *δὲ ι'' q*, *τὲ ξ' φ'*. — 11 *ἀντὶ* (om. *τοῦ*) *μὴν ξ'*. — *αἰδέσιμον ι'' ξ' φ'*. — 12 *καὶ ποτ᾽ ἀστῶν* inter *χάριτος* et *καὶ* est in edd. — 13 *ἐπ᾽ q* post corr. et edd. — 15 *ἤγουν ι'' ξ'*. — *σύνταξις* ante *σάφα* ed. Bœckh. et *ξ'* in textu, *μ'* in marg. — 16 *ἅτινα* bis scriptum est in *q*.

αὐτοῦ πατέρων ὀρθαί, ἤγουν ἀληθεῖς, δίκαιαι φρένες, ἐξέχραον, ἀντὶ τοῦ ἔχραον, ἤγουν ἔχρων, τουτέστιν ἐχρησμῴδουν, παρῄνουν αὐτῷ, ἀφ' ὧν πατέρων τοιοῦτος παῖς, αὐτὸς δηλονότι ἐβλάστησε, μὴ κρύπτε (170), *ἀντὶ τοῦ μὴ ἔα κρυβῆναι ἐν ἀδοξίᾳ, τὸ σπέρμα, ἤγουν τὸ γένος τὸ κοινόν, τουτέστι τὸ φανερὸν καὶ ἔνδοξον πᾶσι καὶ ὠφέλιμον, τὸ ἀπὸ τοῦ Καλλιάνακτος τοῦ προγόνου τοῦ Διαγόρου. καὶ σὺν ταῖς χάρισιν, ἀντὶ τοῦ διὰ τῶν χαρίτων, τουτέστι τῶν ἀνδραγαθημάτων τῶν Ἐρατιδῶν, ἤγουν τῆς ἐν Ῥόδῳ φυλῆς τῆς ἀπὸ τοῦ Ἐρατίδου τοῦ προγόνου τοῦ Διαγόρου, ἔχει ἡ πόλις θαλίας, ἤγουν εὐωχίας, εὐφροσύνας. ἐν δὲ μοίρᾳ χρόνου μιᾷ, τουτέστιν ἐν ὥρᾳ μιᾷ, ἐν καιρῷ ἑνὶ χρόνου, αὖραι, ἀντὶ τοῦ μεταβολαί, διαιθύσσουσιν, ἤγουν ὁρμῶσιν, ἄλλοτε ἄλλαι, καὶ εἴ τι συμβέβηκε δηλονότι καὶ τούτοις λυπηρόν, ταχέως ἐπὶ τὸ κρεῖττον τραπήσεται.*

---

1 in *ι''* *φρένες* post *ὀρθαὶ* legitur. — *δίκαια* *ξ'*. — 2 *ἀ. τ. ἔχραον* om. *a*. — 3 *τ. πατὴρ αὐτῶν δηλ.* *q* et edd. ante Bœckhium, qui ex Mosc. *B* *τ. παῖς δηλονότι αὐτὸς ἐβλ.* edidit; idem habent cett. codd., nisi quod *αὐτὸς δηλ.* est in *a ι''*. — 4 *εὐδοξίᾳ* *q* (?) edd. ante Oxx. — 6. 7 *τὸν διαγόραν* *ξ'*. — 7 *καὶ σὺν χαρίτεσσι* (*-εσσιν* *φ'*) *καὶ σὺν ταῖς χάρισιν* (*κ. σ. τ. χάρ.* om. *ι''*) *ἀντὶ τοῦ καὶ διὰ* codd. mixti et edd. — *τοῦ* om. *ι''*. — 10 *ἡ* om. *q*. — 11 *ἐν καιρῷ, ἑνὶ χρόνῳ* [*q*] edd. ante Bœckhium, qui ex Faehsii coniectura (Syll. p. 404) *ἑνὶ κ., ἑνὶ χρ.* edidit, *ἐν καιρῷ* (*καιροῦ* *φ'*) *ἑνὶ* (*ἐνὶ* *a*) *χρόνου* *a ι'' μ' ξ' φ'*. — 12 *διαθύσουσιν* *q μ' ξ' φ'*. *διαβύσσουσιν* *ε*, *διαθύσσουσιν* ed. Ro. — *ὁρμήσουσιν* [*q*] edd. — 12. 13 *εἴτε συμβ.* *ξ'*. — 14 *κρεῖττω* *a*. — *κρεῖττον καὶ ἄριστον τραπ.* Oxx., Beck, Heyne.

Ἐπίνικοι Ὀλυμπιονίκαις.

Ἀλκιμέδοντι Αἰγινήτῃ παιδὶ παλαιστῇ. Ὠιδὴ η΄.

[Δημητρίου Τρικλινίου]

περὶ τῶν κώλων τῶν στροφῶν καὶ ἀντιστροφῶν τοῦ η΄ εἴδους. ἔστι δὲ στροφῶν δ΄. Παλαιόν.

Τοῦ η΄ εἴδους αἱ στροφαὶ καὶ ἀντιστροφαὶ κώλων ἑκάστη θ΄. Τὸ α΄ τροχαϊκὸν δίμετρον καταληκτικόν, τοῦ γ΄ ποδὸς δακτύλου, ἢ χοριαμβικόν. οἱ δὲ λέγοντες τοῦτο τὸ μέτρον ἐπίτριτον οὐ καλῶς λέγουσιν· οὐ γάρ εἰσι δ΄ τροχαῖοι, ἵν᾽ ᾖ ἐπίτριτον. Τὸ β΄ Ἰωνικὸν ἀπ᾽ ἐλάσσονος δίμετρον καταληκτικόν. Τὸ γ΄ ἰαμβέλεγος πλεοναζούσης συλλαβῆς· ἐξ ἰαμβικοῦ γὰρ καὶ δακτυλικοῦ πενθημιμερῶν σύγκειται, ἔχει δὲ καὶ περισσὴν συλλαβήν. Τὸ δ΄ ἐπιχοριαμβικὸν ἑνδεκασύλλαβον, ὃ καλεῖται Σαπφικόν, διὰ τὸ ἔχειν τὸν α΄ πόδα τροχαϊκὸν ἑπτάσημον ἤτοι ἐπίτριτον. οὐ γάρ ἐστι Πινδαρικόν, ὡς λέγουσι. Τὸ ε΄ προσοδιακὸν δίμετρον ὑπερκατάληκτον ἐξ Ἰωνικοῦ ἀπὸ μείζονος καὶ χοριάμβου καὶ συλλαβῆς. τοῦτο δὲ καὶ ἀναπαιστικόν ἐστιν ἑφθημιμερὲς σπονδείου ἀρχομένου, ὡς ἐμοὶ δοκεῖ. Τὸ ς΄ προσοδιακὸν ἑτέρως τρίμετρον

Scholium metricum extat in Mosc. B (ex quo Bœckh primus edidit) *ε ι″ μ′ ξ′*. In *q* *τοῦ η′ εἴδους ἡ στροφὴ καὶ ἀντιστροφὴ κώλων θ′, ἡ δὲ ἐπωδὴ κώλων ια′* legitur. — **5** Verba *ἔστι δὲ στρ. δ′* ex *ι″* addidi. — *παλαιόν*, quod *ι″* in marg., *ξ′* ante *περὶ* habet, om. *ε*. — **6** *ἑκάστη* om. *ι″*. — **9** *ἵν᾽ εἴη μ′*. — **11** *γὰρ* om. *ι″*. — **11. 12** *πενθημιμεροῖς* Bœckh (ex Mosc. B?). — **12** *περιττὴν ξ′*. — **12. 13** *τὸ δ′ ἔστι χοριαμβ. ξ′*. — **15** *λέγουσιν* ed. Bœckh (ex Mosc. B?) — **16** *καὶ* ante *συλλ.* om. *ι″*. — **17** *καὶ* om. *ι″*. — **18** *ἀργομένου μ′*. — *ἕτερον* [Mosc. B *ξ′*] Bœckh.

καταληκτικὸν ἐκ χοριάμβου καὶ Ἰωνικοῦ ἀπ' ἐλάσσονος. Τὸ ζ' δακτυλικὸν πενθημιμερές. Τὸ η' Ἰωνικὸν ἀπ' ἐλάσσονος δίμετρον καταληκτικόν. Τὸ θ' τροχαϊκὸν δίμετρον καταληκτικὸν ἤτοι ἑφθημιμερές, ὃ καλεῖται Εὐριπίδειον ἢ ληκύθιον. Ἐπὶ τῷ τέλει τῆς στροφῆς καὶ ἀντιστροφῆς παράγραφος.

Περὶ τῶν κώλων τῶν ἐπῳδῶν.

Αἱ ἐπῳδοὶ κώλων ια'. Τὸ α' προσοδιακὸν τρίμετρον ἀκατάληκτον ἐξ Ἰωνικοῦ καὶ χοριάμβου καὶ διτροχαίου ἢ ἐπιτρίτου. Τὸ β' δακτυλικὸν τρίμετρον ἀκατάληκτον. Τὸ γ' χοριαμβικὸν δίμετρον καταληκτικόν. Τὸ δ' ἐγκωμιολογικὸν μιᾶς λειπούσης συλλαβῆς. τὸ γὰρ ἐγκωμιολογικὸν ἐκ δακτυλικοῦ καὶ ἰαμβικοῦ πενθημιμερῶν σύγκειται. Τὸ ε' ὅμοιον τῷ β', δακτυλικὸν ἢ προσοδιακὸν ἐκ χοριάμβου καὶ Ἰωνικοῦ ἀπ' ἐλάσσονος. Τὸ ϛ' ὅμοιον τούτῳ. Τὸ ζ' ὅμοιον τούτοις. Τὸ η' δακτυλικὸν πενθημιμερές, εἰ δὲ βούλει προσοδιακὸν δίμετρον καταληκτικὸν ἐκ χοριάμβου καὶ Ἰωνικοῦ καταληκτικοῦ. Τὸ θ' προσοδιακὸν τρίμετρον ἀκατάληκτον· ὁ α' δὲ πους τοῦ α' κώλου ἀντὶ Ἰωνικοῦ παίωνα β' ἔχει. Τὸ ι' Ἰωνικὸν ἀπ' ἐλάσσονος τρίμετρον βραχυκατάληκτον ἐκ τροχαϊκῆς συζυγίας καὶ παίωνος γ' κατὰ τὸ σύνηθες τῶν Ἰωνικῶν. Τὸ ια' ἰαμβικὸν δίμετρον ἀκατάληκτον. Ἐπὶ τῷ τέλει τὰ συνήθη σημεῖα.

Th. Γέγραπται ὁ ἐπινίκιος Ἀλκιμέδοντι παιδὶ παλαιστῇ, Τιμοσθένει ἀδελφῷ αὐτοῦ παλαιστῇ Νέμεα, καὶ Μελησίᾳ ἀλείπτῃ Ἀλκιμέδοντος. συμπαρέλαβε δὲ καὶ τοὺς τρεῖς, τὸν μὲν Ἀλκι-

3 ἤγουν ι'. — **4. 5** ἐπὶ — παρ. om. ξ'. — τῆς τε στρ. ι' μ'. — **7** αἱ ἐπῳδοὶ κ. ια' ι'', ἑκάστη ἐπῳδὸς κ. ια' cett. — **14** ὅμοιον τούτοις add. miniator in μ'. — **14. 15** τὸ η' — βούλει add. min. in μ'. — **17** ἀντιωνικοῦ ξ'. — **22** Inscriptio σχόλια τῶν αὐτῶν scholiis præmissa est in ει'' μ' φ'. — Scholium Thomanum, quod Boeckh primus edidit ex Mosc. B, extat etiam in Α ει'' μ' ξ' φ'. — **23** αὐτοῦ om. Α. — Νεμέα φ'. — καὶ om. Α.

μέδοντα ὡς Ὀλυμπιονίκην ἐν πάλῃ, τὸν δὲ Τιμοσθένην ὡς ἀδελφὸν αὐτοῦ Νεμέοις νικήσαντα πάλῃ, Μελησίαν δὲ ὡς ἀλείπτην Ἀλκιμέδοντος ἢ καὶ τοῦ ἀδελφοῦ. ἦσαν δὲ οὗτοι ἐξ Αἰγίνης νήσου.

gl. 1. πρώτη. — τῶν καλοὺς προξενούντων στεφάνους. — 2. τῶν ἄλλων τριῶν ἀγώνων.

3. *Th.* Δέσποιναν εἶπεν ἀληθείας τὴν Ὀλυμπίαν, ὅτι ἐκεῖ μαντεῖον ἦν Ἰαμιδῶν, ἐν ᾧ μαντευόμενοι τἀληθῆ ἐγίνωσκον, ὡς καὶ αὐτὸς ἤδη λέξει.

gl. 3. οἱονεὶ ταμεῖον. — ὅπου. — * οἱ Ἰαμίδαι. — 4. τοῖς ἐν πυρὶ θύμασι. — * † σκοποῦντες. — ἀπόπειραν λαμβάνουσιν. — 5. λαμπρὸν κέραυνον ἔχοντος ἢ ταχὺν κατὰ ἀντίφρασιν.

6. *Germ.* Εἴ τιν' ἔχει λόγον] ἀντὶ τοῦ φροντίδα, εἴτε συμφέροντα εἴτε ἀσύμφορον, περὶ τῶν μαιομένων καὶ ζητούντων ἐν θυμῷ μεγάλην ἀρετήν· καὶ γὰρ κινουμένου τοῦ θυμικοῦ ἐν τῇ καρδίᾳ, ὅθεν καὶ εὐκάρδιος, παρακινεῖταί τις πρὸς γενναιότητα, ὅθεν καὶ τὸν Ἀχιλλέα διὰ τὸ πάνυ εἶναι θυμικὸν εἶναι καὶ ἀνδρειότατον· ἥτις ἀρετὴ ὑπάρχει ἀναπνοὴ καὶ ἀνάπαυσις τῶνδε τῶν μόχθων καὶ τῶν κόπων· καὶ γὰρ ὁπότε συμφέρον ἀποφθέγξηται αὐτῷ εἶναι, τόδε τι πάντως χάριεν· ὁπότε δὲ οὐ

3 τοῦ] τὸ ξ'. — 6 Hoc scholium omm. z et edd. ante Bœckhium, qui ex Mosc. B edidit. — Lemma Δέσποιν' ἀλαθείας est in ξ' et apud Bœkh. — 7 τὰ ἀληθῆ Bœckh, *vera* ι'. — 9 οἱ Ἰαμίδαι in Γ solo extat. — 12 Altera paraphrasis scholii veteris ad ἵνα μάντιες ἄνδρες in *U* sic incipit: ἄλλως· ὦ δέσποινα καὶ διοικήτρια καὶ ἐξαγωγεύτρια τῆς ἀληθείας, ἀποπειρῶντα καὶ ἀπόπειραν ποιοῦσι καὶ πεῖραν ἤτοι γνῶσιν λαμβάνουσιν οἱ μάντεις κτλ. — Ante εἴ τιν' delevi τὸ δέ. — 12. 13 εἴτε συμφ. εἴτε *U*, tacite corr. Mommsen, qui ceterum hæc annotavit: «Videtur Schol. φροντίδος ἄξια, εἴτε συμφέροντα εἴτε ἀσύμφορα aut scribere aut intelligere voluisse»; ἀσύμφορον, quod ad λόγον spectat, ego scripsi pro ἀσύμφορα. — 13 περὶ ego addidi. — 14 ἀρετὴν scripsi pro ἀρετάν. — 15 ἐν ego addidi. — 15. 16 γενναιότητα scripsi pro γενναιότατα. — 16 εἶναι post θυμ. om. Mommsen. — 17 ἢ ante ἥτις delevit Mommsen, qui præterea ἡ post ἥτις inseruit. — 19 τό δέ τι *U*. — χαρίεν Mommsen.

συμφέρον ἀλλὰ μᾶλλον καὶ παραβλάπτον, καὶ οὕτω χάριεν· ἐκωλύθησαν γὰρ τῆς βλάβης.

gl. 6. * *ὁ Ζεύς.* — * † *φροντίδα.* — 7. *προθυμουμένων.* — *ἤτοι μέγα κλέος ἐκ τῆς νίκης.* — 8. *τὸ θυμῷ ἢ πρὸς τὸ λαβεῖν συναπτέον ἢ πρὸς τὸ μαιομένων.* — 9. *οὓς ὑφίστανται ἐν τοῖς ἀγῶσιν.* — *ἀναπνοὴν καὶ παραμυθίαν.*

10. *Tr. Οὐ χρὴ ἄνεται γράφειν οὐδ' εὐσεβείας, ἀλλὰ πληρέονται καὶ εὐσεβέων καὶ λιταί. οὕτω γὰρ ἔχει πρός τε τὴν σύνταξιν καὶ τὸ μέτρον ὀρθῶς. οὐ μόνον δὲ ταῦτα, ἀλλὰ καὶ πολλὰ ἕτερα ἐκαινοτομήθη τῷ σοφωτάτῳ Μοσχοπούλῳ κἀμοί, ἃς ἐξετάζων εὑρήσεις, ἀνοικείως ἔχοντα πρὸς τὸ μέτρον.*

gl. 10. * *ἀναδίδοται ἡ μαντεία ἢ ἡ ἀρετή.* — *ἀντάμειψιν.*

11. *Th. Εἰ μὲν συνάψεις τὸ ἀνδρῶν πρὸς τὸ λιταῖς, οὕτως ἐρεῖς· ἐν δὲ ταῖς λιταῖς τῶν ἀνδρῶν ἤτοι τῶν Ἰαμιδῶν ἀνύεται καὶ δίδοται ἡ μαντεία πρὸς χάριν εὐσεβείας, ἤγουν εἰς ἀνταμοιβὴν τῆς τῶν ἀγωνιζομένων πίστεως πρὸς τὸ θεῖον. εἰ δὲ τὸ ἀνδρῶν πρὸς τὸ εὐσεβείας συνάψεις, οὕτως· ἐν δὲ*

---

1 *παραβλάπτειν U*, tacite corr. Mommsen. — *χαρίεν* Mommsen. — 3 *ὁ Ζεὺς Γ* solus habet. — 7 Scholium Triclinianum Bœckh primus edidit ex Mosc. B. — *δημητρίου τοῦ τρικλίν* margo ξ', *τοῦ τρι* margo ''. — *οὐδὲ* ed. — *εὐσεβέας* ι''. — 14 Hoc scholium ex *ΓΔ* edidi; Mommsen (Scholia Germ. p. 38) ex Aug. B hæc edidit: *ἄνεται*] *ἀναδίδοται δὲ ἡ μαντεία.* — *χάριν*] *ἀντάμειψιν τῆς τῶν ἀγωνιζομένων πίστεως πρὸς τὸ θεῖον καὶ εὐσεβείας.* — *τὸ ἀνδρῶν ἢ πρὸς τὸ λιταῖς, ἢ πρὸς τὸ εὐσεβείας.* — *ἄνεται οὖν πρὸς χάριν εὐσεβείας τῶν ἀγωνιζομένων λιταῖς ἀνδριῶν τῶν Ἰαμίδων* (sic). *ἢ ἄνεται πρὸς χάριν εὐσεβείας ἀνδρῶν τῶν ἀγωνιζομένων, λιταῖς τῶν Ἰαμίδων.* — *λιταῖς*] *ἃς οἱ Ἰαμίδαι ὑπὲρ τῶν ἀθλούντων ποιοῦσιν. εἰ γὰρ δίκαιοί εἰσιν, ἐξάπτεται τὸ ἐν τοῖς μηροῖς πῦρ καὶ νίκην αὐτοῖς παριστᾷ· εἰ δὲ ἀσεβεῖς, οὐκ ἐξάπτεται.* — 16 *ἀνίεται ΓΔ.* — *δέδοται Γ.* — 18 *νοήσεις, οὕτω Δ.*

ταῖς λιταῖς, ἃς Ἰαμίδαι ὑπὲρ τῶν ἀθλούντων ποιοῦσιν, ἄνεται καὶ ἀναδίδοται παρὰ τοῦ πυρὸς ἡ μαντεία πρὸς χάριν καὶ ἀνταμοιβὴν τῆς τῶν ἀθλούντων ἀνδρῶν εὐσεβείας. τουτέστιν εἰ μὲν εὐσεβεῖς καὶ δίκαιοί εἰσιν οἱ ἀγωνιζόμενοι, ἐξάπτεται τὸ ἐν τοῖς μηροῖς πῦρ καὶ νίκην αὐτοῖς παριστᾷ· εἰ δὲ ἀσεβεῖς καὶ ἄδικοι, οὐκ ἐξάπτεται.

1—11. *M. Μᾶτερ ὦ χρυσοστεφάνων] ὦ Ὀλυμπία μῆτερ, τουτέστιν αἰτία τῶν βραβείων τῶν χρυσοστεφάνων, ἀντὶ τοῦ καλλιστεφάνων, ἤγουν τῶν κάλλιστον ἐχόντων κόσμον, τουτέστιν ὦ Ὀλυμπία, ἐν ᾗ δίδονται οἱ κάλλιστοι στέφανοι τῶν βραβείων, δέσποιν' ἀληθείας, ἤγουν ἀληθείας προϊσταμένη· εἶτα θέλων δηλῶσαι, ὅπως προΐσταται τῆς ἀληθείας, ἐπάγει· ὅπου ἄνδρες μάντεις, οἱ Ἰαμίδαι δηλονότι, ἐν ἐντόμοις θύμασι σκοποῦντες παραπειρῶνται, ἀντὶ τοῦ ἀποπειρῶνται, ἤγουν εἰς γνῶσιν ζητοῦσιν ἐλθεῖν τοῦ Διὸς τοῦ ἀργικεραύνου, τουτέστι τοῦ αἰτίου τῶν ταχέων κεραυνῶν· λέγω εἴ τινα* (6) *φροντίδα ἔχει αὐτὸς δηλονότι ὁ Ζεὺς περὶ τῶν ἀνθρώπων τῶν ζητούντων κατὰ ψυχὴν μεγάλην ἀρετὴν λαβεῖν, ἀντὶ τοῦ τιμὴν μεγάλης νίκης· τῶν δὲ μόχθων, ἤγουν τῶν καμάτων ἀνάπνευσιν, ἄνεσιν. πληροῦνται δὲ αἱ λιταί, ἤγουν αἱ δεήσεις τῶν εὐσεβῶν ἀνδρῶν τῶν Ἰαμιδῶν δηλονότι, πρὸς χάριν τουτέστι χαριέντως, θαυμασίως.*

---

2 *καὶ ἀναδίδοται* om. *Γ*. — *πυρὸς* om. *Γ* in spatio. — **4** *δίκαιοι εἰσὶν ΓΔ*. — **7** *σύνταξις* lemmati præfixum est in *z* et ed. Bœckh., idem in margine *μ'* legitur. — *ὦ χρυσ.* om. *ι'*. — **9** *ἤγ. τὸν κ. ι'*. — *καλλίστων a*. — **12** *δηλῶσαι* om. *ι'*. — **13** *οἱ ἀμίδαι q*. — *ἐν* om. *q*. — *ἐντόμοισι a*, in quo glossa *ἐν ἐντόμοισι* (sic) *θύμασι* ad vocem *ἐμπύροις* legitur, *ἐντίμοις μ' ξ' φ'*. — **15** *τοῦ* ante *ἀργ.* omm. [a] edd. — *τουτέστι* om. *z*. — **16** *ταχέων*] *ἀρχαίων z*. — **17. 18** *κατὰ τὴν ψ. z μ' ξ' φ'* et glossa Mosch. in codd. mixtis. — **18** In *a* verba *ἀντὶ τοῦ τιμὴν μεγάλης νίκης* in marg. ad v. 8 carminis adscripta sunt. — **19** *ἀνάπαυσιν ι'*. — *ἄνεσιν* om. *a*.

gl. 11. * τῶν ἀγωνιζομένων ἤτοι τῶν Ἰαμιδῶν. — * παρακλήσεσιν, ἃς ἐποιοῦντο ἐν τῇ θυσίᾳ πρὸς τὸν Δία. — 12. ἤγουν ὦ ἐν Ὀλυμπίᾳ Ζεῦ. — 13. τὸν νῦν ὕμνον. — τὴν δίκην στεφάνου διδομένην αὐτοῖς εὐφημίαν. — 14. ἤγουν εὐμενῶς. — ἔστιν ἐκείνῳ. — 15. * * ἄν. — στέφανος ἐκ τῆς αὐτόθι νίκης. — ἐπέλθῃ.

16. *Pal.* Τοῦτο λέγει, ὅτι ὁ μὲν Ἀλκιμέδων Ὀλύμπια ἐνίκησεν, ὁ δὲ Τιμοσθένης Νέμεα.

gl. 16. ἤγουν ὁ μὲν ἐν πάλῃ, ὁ δὲ ἐν πυγμῇ, ὁ δὲ ἐν δρόμοις νικᾷ. — 17. * ἤγουν πυλυσχιδής ἐστιν ἡ εὐτυχία καὶ ὁ μὲν τὴν ὁ δὲ τὴν μετὰ τῆς τῶν θεῶν βοηθείας κτᾶται. — * * γάρ. — 18. * *εὐτυχίας.

12—18. *M.* Ἀλλ' ὦ Πίσας εὔδενδρον] πρὸς τὴν Ὀλυμπίαν ἀποτείνων ἤρξατο, εἶτα πολλὰ διὰ μέσου θεὶς καὶ μὴ ἐπαγαγὼν τὴν ἀπόδοσιν ἐπαναλαμβάνει τὸν πρὸς αὐτὴν λόγον, καὶ οὕτως ἐπάγει προσεχῆ καὶ ῥᾳδίαν τὴν ἀπόδοσιν καί φησιν· ἀλλ' ὦ ἄλσος εὔδενδρον τῆς Πίσης τῆς ἐπὶ τῷ Ἀλφειῷ, ἤγουν ἀλλ' ὦ Ὀλυμπία, δέξαι τοῦτον τὸν κῶμον, τουτέστι τὸν μετὰ χορείας ὕμνον, καὶ ταύτην τὴν στεφανηφορίαν, ἤγουν τὴν ἐν στεφάνοις ἀνακήρυξιν· μεγάλη δόξα (14) ἀεί

---

10. 11 Glossa Thomana ἤγουν — κτᾶται præfixo lemmate πολλαὶ δ' ὁδοὶ in ι' μ' ξ' φ' post paraphrasin Moschopuleam versuum 12—18 inter scholia legitur. — **10** πολυσχεδής codd. — **13** σύνταξις ξ' in marg., μ' et Bœckh in textu. — εὔδενδρον om. ι' et Bœckh, totum lemma omm. Beck, Heyne. — **14** διὰ μέσων q. — **15** μὴ ἐμὴ ἐπαγ. ξ'. — ἐπαγωγών q. — πρὸς αὐτὸν q, πρὸς αὐτοῖ μ' ξ' φ'. — **17** τῆς ante ἐπὶ omm. codd. — **18** ἤγουν om. q. — **20** In a verba ἤγουν τοῖς (sic) ἐν στεφάνοις ἀνακήρυξις (sic ?) etiam in textu voci στεφανηφορίαν suprascripta leguntur. — **20** μέγα κλέος αἰεὶ ante μεγάλη insertum est in edd. — ἀεὶ α ι' μ' et edd. ante Beckium, αἰεί cett. — In textu a voci κλέος glossa ἐστι δηλονότι τῷ ἀνθρώπῳ ἐκείνῳ suprascripta est.

ἐστι, δηλονότι ἐκείνῳ τῷ ἀνθρώπῳ, ᾧ τινι ἂν ἕσπηται, ἤγουν ἀκολουθήσῃ τὸ σὸν γέρας, ἤτοι ἡ σὴ τιμὴ ἡ λαμπρά. ἄλλα δὲ (16) τῶν ἀγαθῶν, τουτέστιν ἄλλα δὲ ἀγαθὰ ἐπ' ἄλλους ἔβησαν ἀντὶ τοῦ ἔρχονται. πολλαὶ δὲ ὁδοί εἰσιν, ὧν ἑκάστη εἰς διάφορον εὐπραγίαν ἄγει βοηθούντων τῶν θεῶν, ἤγουν πολλαὶ δὲ καὶ διάφοροι εὐπραγίαι εἰσίν, ὧν ἄλλον ἄλλης ἐστὶ τυχεῖν βοηθούντων τῶν θεῶν.

19. *Th.* Ἐπειδὴ ὁ Ἀλκιμέδων καὶ ὁ Τιμοσθένης νεώτεροι ὄντες ἐνίκησαν, διὰ τοῦτό φησιν, ὅτι ἡ προσοῦσα ὑμῖν μοῖρα προσῳκείωσεν ὑμᾶς τῷ αἰτίῳ τῆς γεννήσεως Διί, τουτέστιν ἐξ ἁπαλῶν ὀνύχων εὐτυχεῖτε.

gl. 19. * * ὦ. — σὲ καὶ τὸν ἀδελφόν. — ὥσπερ ἀπὸ κλήρου ᾠκείωσεν. — ἡ εὐτυχία.

20. *Germ.* Ζηνὶ γενεθλίῳ] ὅτι ἀνάκειται τῷ Ζηνὶ ἡ τῶν παίδων ἥβη.

gl. 20. τῷ τῆς γεννήσεως αἰτίῳ. — * Ζεύς. — 21. φανερώτατον ἐν τῇ πάλῃ· — πρόφατον] * * διὰ τὸ μέτρον. — 22. * * τὸν σὸν ἀδελφόν. — * * ἤτοι ἐν τῇ Ὀλυμπίᾳ. — 23. ἐν πάλῃ. — 24. ἐστί. — * τινὰ αὐτόν. — εὐπρεπής, ὡραῖος. — ἐν τῇ πράξει. — 25. ἤγουν οὐ καταισχύνων τὸ κάλλος διὰ τῶν πράξεων, ἀλλ' ἐν ἀμφοτέροις θαυμαστός. — 26. ἀνεκήρυξεν. — ἐν τῇ Ὀλυμπίᾳ. — 27. ἐν. — τὴν δολιχὸν ἤγουν πολὺ ναυτικὸν ἔχουσαν. — * † πατρίδα ὑμῶν.

---

1. 2 ἐκ. τ. ἀνθρ., ἄν, ἤγ. ἀκολ., et ἤτοι — λαμπρὰ om. ι'. — 2 ἀκολουθήσει α ξ'. — 2. 3 ἄλλα δ' ἐπ' ἄλλον ἔβαν, τουτέστιν κτλ. edd. — 3 ἐπ' ἄλλον q, ἐπ' ἄλλον edd. — 4 Post ἔρχονται in edd. hæc leguntur: πολλαὶ δ' ὁδοὶ σὺν θεοῖς] πολλαὶ ὁδοὶ γίνονται εἰς τὸ εὖ πράσσειν τῶν θεῶν βουλομένων· ἢ πολλαὶ δὲ ὁδοί εἰσιν κτλ. — 8 Scholium Thomanum omm. edd. — ἐπεὶ δὲ ξ'. — 9 διὰ τοῦτο μ' ξ', διατοῦτο cett. — φησὶν codd. — ἡμῖν μ' ξ'. — μοίρα z. — 10 ἡμᾶς ξ'. — 11 ἀπαλλῶν ψ', ἀπαλῶν ξ'. — 14 Lemma ego addidi. — 20 Ad v. 25 hæc adscripsit glossator in *b*: † σύναψον τὴν κατὰ μετὰ τοῦ ἐλέγχων.

19—27. *M.* Ὦ Τιμόσθενες, ὑμᾶς δὲ ἐκλήρωσεν, ἤγουν ἔταξεν ἡ τύχη ἐν τῷ Ζηνὶ τῷ γενεθλίῳ, τουτέστιν ἐν τῇ νεότητι, ἐφ' ᾗ τιμᾶται γενέθλιος Ζεύς, ὡς ἔφορος δηλονότι τῆς γεννήσεως. ὃν μέν, ἤγουν ἔστι μὲν ὅν, τουτέστι σὲ ἐν τῇ Νεμέᾳ πρόφαντον (21), τουτέστιν ἔξοχον, λαμπρόν· τὸν Ἀλκιμέδοντα δὲ τὸν σὸν ἀδελφὸν ἐποίησεν ἡ τύχη Ὀλυμπιονίκην παρὰ τῷ λόφῳ τοῦ Κρόνου. ἦν δὲ ὁ Ἀλκιμέδων καλός, ἤγουν εὐειδὴς εἰς τὸ ὁρᾶν αὐτόν τινα (24), καὶ τῷ ἔργῳ, τουτέστι καὶ διὰ τῆς πράξεως οὐ κατελέγχων, ἤγουν οὐ καταισχύνων τὸ εἶδος ἤτοι τὴν μορφήν, ἐξένεπεν (26), ἤγουν ἀνεκήρυξεν, ἀντὶ τοῦ ἀνακηρυχθῆναι ἐποίησε νικῶν ἐν πάλῃ τὴν πατρίδα αὐτοῦ τὴν Αἴγιναν τὴν δολιχήρετμον, ἤγουν τὴν μακροῖς ἐρετμοῖς, ἤτοι μακραῖς κώπαις χρωμένην, τουτέστι τὴν ναυτικήν.

28. *Germ.* Οὕτως ἀποῤῥητέον. διὰ τί εἶπε ξενίου καὶ οὐχ εἶπε φιλίου; καὶ τῶν ἑτέρων τι παραδηλῶν σοφώτερον, ὅτι καὶ ξένιοι ἦσαν οἱ Αἰγινῆται καθὸ δικαιότατοι· παρακολούθημα δὲ τοῦ δικαίου, οὐχὶ τοῦ ἀδίκου, τὸ ξενοδοχεῖν.

---

1 Lemma *Τιμόσθενες, ὔμμε (ὔμμι* edd. ante Beck.) *δ' ἐκλάρωσεν (ἐκλάρωσε* edd. ante Beck.) est in edd., nisi quod omm. Beck, Heyne; — *σύνταξις* margo *μ' ξ'*. — *ἤτοι* edd. — 2 *ἐν* deleri voluit Heyne. — *διὶ μ'* in textu, *ζηνὶ* in marg. — *τουτέστι ζηνὶ ἐν z*. — 4 *ὃν μὲν ἐν Νεμέᾳ τουτέστι· σὲ ἐν τῇ Νεμέᾳ κτλ.* edd. — *ἤγουν ἔστι μὲν ὂν* om. *ι''*. — *ἔστιν μ'*. — *ἔστιν ὂν μὲν z*. — *σε ξ'*. — 4. 5 *πρόφ.* (sic) *ι''*, *πρόφατον* cett. codd. mixti — 7 *ἤγουν*] *καὶ z*. — 8 *καὶ* ante *διὰ* om. *ξ'*. — 8. 9 *πρ. συγκατ. ξ'*. — 9 *ἤγ.* (om. *οὐ) καταισχ. ι''*. — *ἤγουν ι''*. — 10 *μορφήν. Ἐξένεπεν κρατέων· ἤγουν ἀνεκ.* edd. — *ἐξένεπε ι''*. — *ἐπεκήρυξεν ξ'*. — *ἀντὶ τοῦ (αὐτοῦ ξ')* omm. edd. — 11 *τὴν* ante *Αἴγ.* om. *ι''*. — 12 *ἤγ. τὴν z μ' ξ'* edd., *ἤγ. τοὶς ι'' φ'*. — *μακροῖς (μακραῖς ξ', μακρᾶν μ') ἐρετμοῖς ἤτοι (ἤγουν ι'')* omm. edd. — 13 *τὴν* om. *ι''*. — 14 Ante *οὕτως* delevi *ἤ*. — *διατί U*. — 15 *τί U*. — 16 *αἰγινῖται U*.

gl. 28. * *εἰς τὴν Αἴγιναν·* — * * *ἐν τῇ Αἰγίνῃ.* — *σωστική.* — *τοῦ ἐφόρου τῆς τῶν ξένων ὑποδοχῆς.* — 29. *σύνεδρος.* — *ἐνεργεῖται·* — † *ἐπιμελεῖται, ἀξιοῦται.* — * *δικαιοσύνη.* — 30. *ἐπέκεινα τῶν ἄλλων.* — * *ὅπερ πρᾶγμα.* — 31. *ἐστί.* — *καὶ νεύει ὡς ἡ Αἰγινητῶν φιλοξενία.*

32. *Germ.* *Ὅ τι γὰρ πολὺ καὶ πολλᾷ ῥέποι]* *ὅ τι γὰρ πολύ, τὸ φιλοξενεῖν, καὶ πολλὰ καὶ πολλαχῶς εἰς τοὺς φιλοξενουμένους ῥέποι, ὥστε μὴ διακρίνειν ἐν ὀρθῇ φρενὶ παρὰ καιρόν, δυσπαλὲς καὶ δύσκολον ὑπάρχει.*

Germ. *Τὸ φρενὶ μὴ παρὰ καιρὸν τοῦτό ἐστιν· ὅπερ δὴ τοῖς ἄλλοις ἀδύνατον, τοῦτο τοῖς Αἰγινήταις εὐχερέστατον.*

gl. 32. *δικαίᾳ,* — *τοῦτο.* — *γνώσει.* — *ἀλλ' ἐγκαίρως.* — 33. *δύσκολον.*

30—33. *Pal.* *Ὅπου γὰρ ὑπάρχει πλῆθος πολὺ λαοῦ παντοδαποῦ νεῦον εἰς πολλά, εἰς ἀδικίας λέγω, πλεονεξίας, καὶ τὰ τοιαῦτα, τὸ εὑρεθῆναί τινα ἐξ ἐκείνου τοῦ λαοῦ ὥστε διακρίνειν τὸ καλὸν καὶ τὸ ἀγαθὸν ἐν δικαίᾳ φρενὶ μὴ παρὰ τὸ πρέπον, δύσκολον ὑπάρχει. τοῦτο δὲ λέγει διὰ τοὺς παρόντας νικητὰς ὡς καλῶς καὶ δικαίως ζῶντας ἐν τῇ Αἰγίνῃ πολυανθρώπῳ οὔσῃ.*

28—33. *Th.* *Ἐπειδὴ ἡ Αἴγινα νῆσός ἐστι καὶ τοὺς παρα-*

---

4 Ad v. 31 hæc adscripsit glossator in *b*: *ἤγουν ἐν τῇ Αἰγίνῃ συῤῥεῖ πλῆθος πολὺ ξένων* (et nunc ab alia fort. manu scriptum) *ὅπερ ῥέπει εἰς πολλὰ διανοήματα κατὰ τὰς γνώμας, ἀλλ' ὅμως διοικεῖται καὶ κρίνεται ἐν ὀρθῇ γνώσει μηδαμῶς ἔξω τοῦ πρέποντος.* Quæ ab Oxx. male descripta sunt. — **7** *φιλοξενοῦν* *U*, tacite corr. Mommsen. — **10** Delevi *δὲ* post *τό*. — **10. 11** *ὅπερ δὲ τῶν ἄλλων* *U*, corr. Mommsen. — **11** *αἰγινίταις* *U*. — **16** *εὑρεθῆναι τινὰ* *U*. — **20** Scholium Thomanum omm. edd., e codice Aug. B edidit Mommsen (Schol. Germ. p. 39. 40). — Lemma *ἔνθα σώτειρα διὸς ξενίου πάρεδρος ἀσκεῖται θέμις* est in *ξ*. — *νῆσος ἐστὶ* *Δ ε ι' μ' ξ' φ'*.

πλέοντας ὑποδέχεται καὶ φιλοξενεῖ, διὰ τοῦτο εἶπεν ἀσκεῖσθαι ἐν αὐτῇ τὴν πάρεδρον τοῦ ξενίου Διὸς Θέμιν, ἐπαινῶν τοὺς Αἰγινήτας ὡς οὐ μόνον φιλοξένους ὑπὲρ πάντας ἀνθρώπους, ἀλλὰ καὶ μετὰ δικαιοσύνης τοῦτο ποιοῦντας· πρὸς ὃ ἐστιν ἡ κατασκευή· ὅ τι δὴ πρᾶγμα πολὺ ἐστι καὶ ῥέπει καὶ νεύει πολλὰ καὶ κατὰ πολύ, ὁποία ἐστὶν ἡ τῶν Αἰγινητῶν φιλοξενία πρὸς ἅπαντας, δυσπαλὲς καὶ δύσκολον ὑπάρχει διακρίνειν τοῦτο τὸ πρᾶγμα ἐν ὀρθῇ καὶ δικαίᾳ φρονήσει μὴ παρὰ καιρόν, ἀλλ' ἐγκαίρως. τουτέστιν ἔχει μέν τις φιλοξενίαν, ἀλλ' οὐ δύναται διακρίνειν πρὸς τίνας δεῖ ταύτην ποιεῖν καὶ πρὸς τίνας οὔ, ἀλλ' ἀλόγως ἐργάζεται. Αἰγινῆται δὲ καὶ πολλὴν ταύτην ἔχουσι καὶ μετ' ἀληθοῦς διακρίσεως ταύτην μεταχειρίζονται.

M. *Ἔνθα, ἤγουν ἐν τῇ Αἰγίνῃ, ἐπιμελείας ἀξιοῦται Θέμις, ἀντὶ τοῦ Δίκη, πάρεδρος τοῦ Διὸς τοῦ ἐφόρου τῶν ξένων, μάλιστα πάντων τῶν ἄλλων ἀνθρώπων. καὶ γὰρ ὅπερ* (30) *ἂν ᾖ τι πολὺ καὶ πολλαχόσε, ἤγουν εἰς πολλὰς ὁδοὺς τείνει διαφερούσας ἀλλήλων, τοῦτο διοικεῖν ἀσφαλεῖ κρίσει λογισμοῦ καὶ δικαίᾳ οὐκ ἔξω τοῦ ἐγκαίρου, ἤγουν τοῦ ἁρμόζοντος, δυσχερές*

---

1 *δια τοῦτο* Γ*Α* *ε ι'' φ'* — *ἀσκῆσθαι* *ε μ' ξ'*. — **2** *αὐτῷ* *ξ' φ'*. — *τὴν θέμιν πάρ.* *ι''*. — *διὸς διὸς θέμιν* Aug., *διὸς τὴν θέμιν* Mommsen. — *θέμιν* om. *ι''*. — **3** *αἰγινῆτας* *μ' φ'*. — *ὡς*] *ἤγουν* *φ'*. — **5** *δὴ*] *γὰρ* *ε ι'' μ' ξ' φ'*. — *πολὺ ἐστὶ* *Α ι'' μ'*. — **6** *πολλᾶ* *ε μ' φ'*. — *κατὰ πολὺ* Mommsen (ex Aug. B?), *καταπολὺ* Γ*Α*, *πολλαχόσε* cett. — *ὁποῖα ἐστὶν* *μ' ξ' φ'*. — **7** *δύσπαλες* Mommseni ed. — *διακρίνειν* deest apud Mommsenum. — **9** *τουτέστιν* bis scriptum est in Γ. — *τὶς* *Α*. — **10** *δεῖ* om. *ε*. — *καὶ πρόστινας* *ι''*. — **12** *μετὰ* *ε*. — *ταῦτα* Mommseni ed. — **13** Lemma *ἔνθα σώτειρα Διὸς* est in edd. — **14** *δίκη* om. *ξ'*. — *ἡ πάρεδρος* edd. — **15** Post *ἀνθρώπων* in codd. mixtis scholium Thom. ad v. 28—23 insertum est. — Ante *καὶ γὰρ* lemma *ὅτι γὰρ* est in *ι''*, *ὅτι γὰρ πολύ* in *ε μ' ξ' φ'*, *ὅτι γὰρ πολὺ καὶ πολλὰ ῥέπει* in edd. — Ante lemma *σύνταξις* est in *ε*, idem legitur in marg. *μ' ξ'*. — *ὅπως* *ξ'*. — **16** *τίνει* *ξ'*. — **17** *ἀσφαλλεῖ* *α*.

ἐστιν· ὥσπερ ἐν αὐτῇ τῇ Αἰγίνῃ δηλονότι πλῆθος συῤῥεῖ ξένων διαφέρον τὰς γνώμας, εἶτα ὀρθῶς διοικεῖται.

gl. 33. ἡ παρὰ τῶν θεῶν νενομοθετημένη φιλοξενία. — * * τῶν θεῶν. — 34. τὴν ὑπὸ θαλάσσης περιεχομένην νῆσον. — 35. πάντοθεν ἰοῦσιν. — ὑπέθηκεν. — 36. ἔρεισμα καὶ ἀσφάλειαν. — θείαν. — 37. ὁ ἐπιών.

38. *Germ.* Τὸ μὴ κάμοι τοῦτο δὲ ἀλλοπαθές. ἐπέθηκε γὰρ τὸ ἔργον ἐκεῖνο τῷ χρόνῳ, ὡς λέγομεν ἐπί τε τοῦ ἀέρος καὶ τῆς θαλάσσης, ἡνίκα ἐν νηνεμίᾳ ὦσι, γελᾶν, τὸ ἐπισυμβαῖνον τοῖς θεωροῦσι πάθος ἐκείνοις ἐπεντιθέντες. ἀκόλουθον δὲ καὶ τὸ ἀμειδὴς ὁ Ἅιδης.

gl. 38. τὸ τοὺς ξένους ὑποδέχεσθαι. — 39. Δωρικῷ· —

---

2 *διαφέρων q ξ'*. — Post *διοικεῖται* hæc in edd. ante Bœckhium leguntur ex schol. vet. excerpta, quorum initium tantum et finis in edd. Beck. et Heyn. scripta sunt: *ἄλλως. ὅ, τι γὰρ πολὺ καὶ πολλὰ ῥέπει. γνωμικόν ἐστι τὸ λεγόμενον. συντείνει δὲ εἰς τὸ περὶ φιλοξενίας τῶν Αἰγινητῶν. σημαίνει δὲ τοῦτο· ὅπου γὰρ ἂν ᾖ τι πολὺ καὶ πολλαχοῦ ῥέπειν δυνάμενον περὶ τοῦ τοιούτου προνοῆσαι καὶ κατὰ τρόπον οἰκονομῆσαι καὶ κατ' ὀρθόν, δυσχερὲς τοῖς πολλοῖς ἀεὶ γίνεται. οὐκ εἶναι φησὶν ἀξένους τοὺς Αἰγινήτας καθάπαξ, οὐδὲ μὴν ἀκρίτως ὑποδέχονται τοὺς παραγινομένους οὗτοι πάντας, ὡς ὁ Τηλέμαχος φησὶν ἐπὶ τῆς Πηνελόπης· τοιαύτη γὰρ ἡ ἐμὴ μήτηρ πινυτή περ ἐοῦσα, ἐμπλήγδην ἑτέρως γε τιμᾷ.* — Ad v. 33 hæc leguntur in marg. *μ'ξ'*: *παλαιὸν (παλ.* om. *ξ')· ἐπισημειοῦται τὴν λέξιν τῷ χ̄, ὅτι τεθμὸν νῦν τὸ δόγμα καὶ τὴν δόκησιν εἴρηκεν.* — Ad v. 34 autem hæc habet glossator libri *b*: *ἁλιερκέα] ἀντὶ* [l. *ἀπό*] *τῆς ἅλς ἁλός, καὶ τοῦ ἕρκος, ὁ περίβολος καὶ τὸ τεῖχος.* — **7** Delevi *δὲ* post *τό*. — **8** *ἐκείνων τῶν χρόνων U* et Mommsen, qui «aut *αὐτῷ τῷ χρόνῳ* addendum, aut *ἐκείνῳ τῷ χρόνῳ* scribendum est» annotavit. — Post *λέγ.* delevi *γάρ*. — **9** *τῆς* Mommsen addidit. — *γελᾶν* Mommsen edidit. — **10** *ἐπεντιθέαντες U*. — **11** «Proverbium? an fragm. poetæ?» *Mommsen*. — **12** Ad *τοῦτο* hæc adscripsit glossator in *b*: *ἤγουν τοῦτο τὸ εἶναι τὴν Αἴγιναν κίονα δαιμονίαν πᾶσι τοῖς ξένοις.*

* τῷ Ἀργείῳ. — οἰκουμένην, κατεχομένην· σύναπτε δὲ πρὸς τὸ χώραν· τὸ δὲ ὁ δ' ἐπαντέλλων χρόνος διὰ μέσου.

40. Th. Αἰακὸς ἐκ μὲν νομίμου γυναικὸς Πηλέα καὶ Τελαμῶνα γεννᾷ, ἐκ δὲ Ψαμμάθης Νηρηΐδος οὐ κατὰ νόμον αὐτῷ συνελθούσης Φῶκον· ὃν ὡς νόθον ἀδελφὸν Πηλεύς τε καὶ Τελαμὼν ἀποκτείναντες διὰ τὸ μὴ κοινωνὸν σχεῖν τοῦ πατρῴου κλήρου, ὁ μὲν εἰς Σαλαμῖνα, Πηλεὺς δὲ εἰς Θετταλίαν παραγίνεται. τελευτήσαντος δὲ Αἰακοῦ καὶ ἐρήμου βασιλέως τῆς νήσου ἀπολειφθείσης Τριάκων τις Ἀργεῖος συλλέξας πλῆθος ἐξ Ἄργους εἰς Αἴγιναν ἐλθὼν κατοικεῖ. εἰσὶ δὲ οἱ Ἀργεῖοι τὸ ἀνέκαθεν ἐκ γένους Δωρικοῦ.

33—40. M. Τεθμὸς δέ τις ἀθανάτων, ἤγουν συνθήκη δέ τις, βουλὴ τῶν θεῶν, καὶ ταύτην τὴν χώραν τὴν ἁλιερκέα, ἤτοι τὴν θαλάσσῃ περιειλημμένην, παντοδαποῖς (35) ξένοις, ἤγουν ἀπὸ παντὸς τόπου ἀφικνουμένοις, ὑπέστησε κίονα δαιμονίαν, ἤτοι θείαν ἢ ὀλβίαν, τουτέστιν ὑποκειμένην ἐποίησεν εἰς ἀνάπαυσιν καὶ ἀσφάλειαν παντοδαπῶν ξένων ὥσπερ εἴ τις κίονα ὑπόθοιτο

3 Scholium Thom. omm. edd. — Lemma *ἱστορία ὅπως ἦλθον ἀργεῖοι εἰς αἴγιναν (αἴγινα ξ')* est in *μ' ξ' φ'*, *ὅπως ἦλθεν* (sic) *εἰς αἴγιναν ε*, historia quomodo venerunt argivi in æginam *ι''*. — *γάμου Γ*. — 4 *ψαλμάθης μ'*, *ψαμάθης* cett. codd. mixti. — *αὐτῷ μ'*. — 6 *ἀπέκτειναν ι''*. — *τὸ* om. *μ'*. — *κοινὸν ξ'*. — *τοῦ πρώτου Γ*, *τοῦ* (ου) *α Δ*. — 7 *εἰς ἀλαμῆνα ξ'*. — *π. τε φ'*. — *παραγίνωνται Γ*. — 8. 9 *καταλειφθήσης μ'*, *ἀποληφθείσης Γ*. — 9 *τὶς Δ ξ' φ'*. — *τις — Ἄργους* om. *ε*. — *συλλεξάμενος* codd. mixti. — 10 *οἱ* om. *ξ'*. — *τοςνεκάθεν* (sic) *ΓΔ*. — 12 *ἀθαν.* om. *ι''*. — 14 *περιειλημένην q*, *περιειλλημένην μ' φ'*. — *ἤγουντοι α*, *ἤτοι ι''*. — 17 *εἴ τινα* edd. — *κίονα ὀλβίαν α* et edd. — *ὑπέθειτο α*, *ὑπ. οἴκῳ* omm. *q* et edd., cf. Beckium p. 434: «Pro ultimis *ὥσπερεὶ* etc. in Ms. Bodl. est: *ὥσπερ εἴτις κίονα ὑπόθει* (sic) *τῷ οἴκῳ*, MSS. *α. β. γ.* *ὑπόθειτο* (debebat *ὑπέθετο*) *οἴκῳ*.»

οἴκῳ. ὁ δὲ (37) ἐπερχόμενος χρόνος τοῦτο ἐνεργῶν εἴθε μὴ ἀτονήσειε. διὰ μέσου τοῦτο· τὸ δὲ ἑξῆς· παντοδαποῖς ὑπέστησε ξένοις κίονα δαιμονίαν Δωριεῖ λαῷ ταμιευομένην ἐξ Αἰακοῦ, τουτέστιν ὑπὸ τῶν Ἀργείων· οἱ γὰρ Ἀργεῖοι τοῦ Δωρικοῦ γένους· διοικουμένην μετὰ τὸν Αἰακόν. ἐκ Διὸς καὶ Αἰγίνης ἡρωΐδος Αἰακός, ἀφ' ἧς παρωνομάσθη ἡ πόλις ἡ Αἴγινα.

41. *Pal. Τούτους ἐπιβούλους εὑρὼν ἑαυτοῦ ὁ Ζεὺς ὀργισθεὶς παρέδωκε τῷ Λαομέδοντι κτίσαι τὸ Ἴλιον τοῦ Λαομέδοντος τούτους ἐξαιτησαμένου· οἱ δὲ εἵλοντο συλλήπτορα τὸν Αἰακόν. ἐκ τούτου γοῦν τοῦ τείχους τοῦ κτισθέντος παρὰ τοῦ Αἰακοῦ ἑάλω ὕστερον ἡ Τροία.*

Th. Ποσειδῶν καὶ Ἀπόλλων καὶ Ἥρα καὶ ἕτεροι τῶν θεῶν ἐπεβούλευσαν τῷ Διῒ τῆς ἀρχῆς καθελεῖν. καὶ ὃς αἰσθόμενος Ἥραν μὴν ἐν ἀέρι κρεμᾷ χρυσοῦν ἄκμονα αἰωρήσας ἐκ τῶν αὐτῆς ποδῶν, Ποσειδῶνα δὲ καὶ Ἀπόλλωνα καταδικάζει ὑπηρετῆσαι Λαομέδοντι πρὸς τὸν τῆς Ἰλίου τειχισμόν. οἱ δὲ συμπαραλαμβάνουσιν Αἰακόν· δι' ἥντινα δὲ αἰτίαν, αὐτὸς λέγει ὅτι ἦν πεπρωμένον πορθηθῆναι αὐτὴν καὶ παραδεδόσθαι πυρί. τούτου δὲ οὕτως ὄντος οὐκ ἦν θεμιτὸν ἔργον θεῶν ἀνδρῶν καταβεβλῆσθαι χερσί. διὰ τοῦτο οὖν συμπαρέλαβον Αἰακόν, ἵνα ἐκ τοῦ δομηθέντος αὐτῷ τείχους ἁλώσιμος ἔσται ἡ πόλις· διὸ καὶ οἱ

---

1 Lemma *ὁ δ' ἐπαντέλλων χρόνος* ante *ὁ δέ* est in edd. — 2 *τὸ δ' ἑξῆς q.* — 3 *κ. εὐδαιμονίαν q.* — 6 *ἡ* ante *Αἰγ.* omm. codd. mixti. — 7 Scholium Palatinum ad v. 55 adscriptum est. — 12 Scholium Thomanum omm. edd. — Lemma *ἱστορία* (hæc vox in marg. *z* legitur) *τίνος χάριν ποσειδῶν καὶ ἀπόλλων τὴν τροίαν ἔκτισαν (ἔκτ. τ. τρ. z) ι'' μ'* in marg., *z ξ' φ'* in textu habent. — *ποσειδὼν ξ'.* — 14 *κρεμμᾷ Γ, κρημνᾷ μ', κρεμνᾷ ξ'.* — *ἄμμωνα Δ.* — 15 *δὲ* om. *ι''.* — 17 *ὅτι* om. *ξ'.* — *ἦν ΓΔι'',* omm. cett. — 18 *πορθῆναι ι''μ'ξ'φ'.* — 19 *ὄντος οὕτως z.* — 20 *διατοῦτο ΓΔι'' ξ' φ'.* — *συμπαρέβαλον ι''.* — 21 *ἀλώσιμος z μ' φ', ἀλώσημος ξ'.*

εἰσπηδήσαντες εἰς τὸ τεῖχος τρεῖς δράκοντες οἱ μὲν δύο καταπεσόντες ὀλώλασι δηλοῦντες ὡς τὸ ὑπὸ τῶν δύο θεῶν δομηθὲν τεῖχος ἀνάλωτον ἔσται, ὁ δὲ εἷς ἐντὸς εἰσῆλθε τῆς πόλεως ἐν συριγμῷ, ἐπεὶ καὶ οἱ πόλιν πορθοῦντες βοῇ χρῶνται.

gl. 41. τὸν Αἰακόν. — * † ὁ Ἀπόλλων. — ὁ μέγιστος βασιλεὺς τῆς θαλάσσης. — 42. * † τῇ Τροίᾳ. — τῶν τειχῶν περιβολήν· τὸ δὲ ἐπί πρὸς τὸ Ἰλίῳ σύναπτε. — 43. * κατασκευάσαι· — * * κατασκευάσειν. — συμπράκτορα. — 44. τὴν Τροίαν. — * † μεμοιρασμένον. — 45. ἐγειρομένων. — 46. ταῖς τὰς πόλεις πορθούσαις.

47. *Germ.* Λαῦρον ἀμπνεῦσαι καπνὸν ἀντὶ τοῦ ἐμπυρισθῆναι.

gl. 47. σφοδρόν. — ἀναπνεῦσαι ἐκ τοῦ κάοντος αὐτὴν πυρός. — 48. γλαυκοὺς ἔχοντες ὦπας. — ἡ πόλις.

47. 48. *Germ.* Ἡ ἀναπνοὴ διττή ἐστι· λέγεται γὰρ καὶ εἰσπνοὴ καὶ ἐκπνοή. γλαυκὸν (48) δέ ἐστι τὸ μέσον λευκοῦ καὶ μέλανος· ἔχει γὰρ καὶ τὸ λευκόν. ἔλαβε δὲ εἶδος ἀντὶ γένους· ὤφειλε γὰρ εἰπεῖν ὄφιες· τοῦτο δέ ἐστι τὸ πλεονεκτούμενον.

gl. 49. * τὸν νεωστὶ κατασκευασθέντα· — * * εἰ βούλει τὸν νεωστὶ κατασκευασθέντα πύργον, λέγε ὑποστίζων εἰς τὸ ἐκτίσθη. — 50. * κατέπεσον.

51. *Th.* Οἱ μὲν τὸ δατιζομένῳ κουφίζουσιν, ἵνα μὴ ἀσύνδετον ᾖ, λέγοντες αὖθι δὲ καὶ αὐτόθι ἔνθα κατέπεσον,

---

2 ἀπολώλασι (ἀπόλασι ξ) codd. mixti. — 3 ἦλθε ε. — 3. 4 σειρισμῷ ε φ', σειριγμῷ μ', συρισμῷ ξ'. — 4 πόλεις ε. — φωνῇ εμ'ξ'φ'. — 11 λαῦρον pro λάβρον codd. nonnulli etiam in textu. — 17 ἔχον γὰρ U et Mommseni ed.; «Scribe ἔχει γὰρ aut ἔχον ἄρα» Mommsen.. — 22 Hoc scholium omm. ε et edd. — δατιζομένῳ ΓΔ, δατιζόμενοι ε', δατυζόμενοι cett.; in textu Γ δ' ἀτιζομένῳ, Δ δατιψαμένῳ, μ' δ' ἀτυζόμενοι exhibet. — 23 καὶ om. Γ.

ἀτιζομένω καὶ ἄτην καὶ βλάβην ἀπὸ τῆς πτώσεως ἔχοντες βάλον καὶ ἀφῆκαν τὰς ψυχάς. οἱ δὲ δατιζομένω ἀντὶ τοῦ εἰς πολλὰ ὑπὸ τῆς πτώσεως κατακοπέντες φασί, λέγοντες ἀσυνδέτως.

gl. 51. * *αὐτόθι.* — *ἀφῆκαν.* — * * *τὸ πνοὰς κάλλιον διὰ τὸ μέτρον ἢ τὸ ψυχάς.*

48—51. *Germ.* *Ἡ σύνταξίς ἐστιν αὕτη. ἐπεὶ ἐκτίσθη νέον καὶ νεωστὶ τὸ τεῖχος, τριῶν δρακόντων γλαυκῶν καὶ λευκῶν ἐσαλλομένων εἰς τὸν νέον πύργον, οἱ δύο μὲν κάππετον καὶ κατέπεσον, αὖθι δὲ ἀτυζομένω καὶ ἀτυζόμενοι βάλον καὶ κατέβαλον καὶ ἀπέρριψαν τὰς ψυχάς, ἤγουν ἀπέθανον.* *

gl. 52. *ὁρμήσας εἰσῆλθεν.* — * *συρίξας·* — † *ἀντισυρίξας.* — **53.** *ἐσαφήνιζε πρὸς τὸν Αἰακόν.* — *ἐξ ἐναντίας ἢ κακόν.* — *φροντίζων.* — **54.** * * *σημεῖον.*

55. *Th.* *Λαομέδων εἰπὼν τῷ Ἡρακλεῖ, ἣν τὸ κῆτος ἀνέλῃ, ὃ ἐπιὸν τὴν χώραν αὐτοῦ ἐλυμαίνετο, δώσειν τοὺς αὐτοῦ ἵππους, ὡς οὐκ ἔδωκε, λαβὼν Ἡρακλῆς Πηλέα καὶ Τελαμῶνα κατὰ τῆς Τροίας ἐστράτευσε καὶ εἷλεν αὐτήν. τὸ πρώτοις οὖν λέγει διὰ*

---

1 *ἀτυζόμενοι* codd. mixti. — *καί* ante *βλ.* om. *ξ'*. — *ὑπό* *Γ*. — **2** *τὰς πνοὰς* codd. mixti. — *δατυζόμενοι* codd. mixti omnes. — **3** Post *πτώσεως* in *ι''* iterum *ἔχοντες βάλον καὶ ἀφῆκαν τὰς πνοάς, οἱ δὲ δατυζόμενοι ἀντὶ τοῦ εἰς π. ὑπὸ τ. πτ.* legitur. — **7** *ἡ σύνταξις δ' ἐστιν αὕτη* *U* et Mommseni ed. — **9** *πῦργον* *U*. — **10** *βάλλον* *U*, *βάλοι* Mommsen tacite, recte, quamquam *βάλλον* est in textu nonnullorum codd. — **11** *ἀπέῤῥ. ἤγ. ἀπέθ. τὰς ψυχὰς* *U*, tacite corr. Mommsen. — **12** *ἀντισυρίξας* ex *ἀντὶ τοῦ συρίξας* corruptum esse videtur, in *a* glossa *συρίξας* legitur, ad quam m. 2, ut vid., in marg. *σὺ μίξας* adscripsit. — **15** Hoc scholium omm. edd. — Lemma *ἄτερ παίδων* est in codd. mixtis, qui præterea *ἱστορία, ὅπως (πῶς z) ἡρακλῆς τὴν τροίαν ἐπόρθησεν (-ησαν z)* habent in marg. — *εἶπε* *Γ*. — *τῷ* omm. codd. mixti. — **16** *ὁ ἐπιὼν z, ὁ ἐπὶ Γ.* — **17** *τῆς* om. *ι''*. — **18** *αὐτὴν* *Γι''*, *αὐτὸν* cett. — *οὖν* om. *Γ*. — *λέγειν* *z*.

Πηλέα καὶ Τελαμῶνα, τὸ δὲ τετράτοις διὰ Νεοπτόλεμον. τέταρτος γὰρ οὗτος ὡς πρὸς Αἰακόν, εἴπερ οὗτος μὲν υἱὸς Ἀχιλλέως, Ἀχιλλεὺς δὲ Πηλέως, Αἰακοῦ δὲ Πηλεύς.

gl. 55. *ἡ πόλις.* — * † *ἰδίαις·* — * * *ἐπὶ ταῖς σαῖς· δέον εἰπεῖν τεᾶς πρὸς τὸ χειρός, τεαῖς εἶπε πρὸς τὸ ἐργασίαις·* — 56. *ὦ Αἰακέ.* — *πορθεῖται.* — 57. *οὕτως.* — 58. *τοῦ μέγαν κτύπον διὰ τῶν βροντῶν ποιοῦντος.* — 59. *χωρίς.* — * * *σοῦ.* — 60. * *Πηλεῖ καὶ Τελαμῶνι·* — * * *τῷ Τελαμῶνι.* — *τῆς ἁλώσεως.* — 61. * † *τῷ Νεοπτολέμῳ.*

41—61. *M. Τὸν παῖς ὁ Λατοῦς / ὅντινα, ἤγουν τὸν Αἰακόν, ὁ υἱὸς τῆς Λητοῦς ὁ Ἀπόλλων καὶ ὁ Ποσειδῶν ὁ μεγάλην βασιλεύων βασιλείαν μέλλοντες ἐπιτεύξειν, ἀντὶ τοῦ τεύξειν, ἤγουν κατασκευάσειν στέφανον ἤτοι περίβολον, περιτείχισμα τῷ Ἰλίῳ, ἐκάλεσαν συνεργὸν ἕνεκα τοῦ τείχους, ὅτι* (44) *ἦν μεμοιραμένον κινουμένων πολέμων ἐν μάχαις πορθητικαῖς τῶν πόλεων ἀναπνεῦσαι αὐτήν, ἤγουν τὴν πόλιν, λάβρον καπνόν, ἀντὶ τοῦ ἀναπνοὴν ἀναπέμψαι σφοδροῦ καπνοῦ, τουτέστι πυρποληθῆναι. γλαυκοὶ δὲ* (48) *δράκοντες τρεῖς, ἤγουν στιλπνοὶ τοὺς ὀφθαλ-*

---

1 *τετράτοις Δ ι΄΄, τετάρτοις* cett. — 2 *ὡς*] *ὃς z.* — 3 *ἀχιλέως ξ΄.* — 7 Ad *σέθεν* (v. 59) hæc adscripsit glossator in *b: ἔσται ἁλώσιμος ἡ πόλις, ἀλλ᾽ ἅμα τοῖς πρώτοις σου παισί, τουτέστι τῷ Τελαμῶνι ἄρξεται ἡ Ἴλιος ἁλίσκεσθαι καὶ τοῖς τετάρτοις, ἤγουν τῷ Νεοπτολέμῳ.* — 10 Lemma omm. Beck, Heyne, *ὃν π. ὁ Λ.* est lemma in ed. Bœckh., *τὸν παῖς* in *ι΄΄.* — *σύνταξις* marg. *μ΄ ξ΄.* — *τὸν* om. *ι΄΄.* — *λατοῦς* [*α*?] edd. inde a Beckiana. — 11. 12 *ὁ μεγ.* — *βασιλείαν* om. *ι΄΄.* — 12 *ἀντὶ τοῦ τεύξειν* om. *z.* — *ἐντεύξειν* edd. (nisi quod *τεύξειν* Oxx.). — 12. 13 *σκευάσιν α.* — 13 *στεφάνους ξ΄.* — *ἤτοι*] *καὶ* [*q*] edd. — *περιτείχημα μ΄.* — *τῷ ἡλίῳ q z* et edd. ante Oxx. — 14 *ἐκάλεσε ξ΄.* — *μεμοιρασμένον* codd. mixti. — 15 *κιν. τῶν πολ.* codd. mixti. — 16 *ἤτοι z ξ΄ φ΄.* — *καπνοῦ z.* — 16. 17 *ἀναπνοὴν ἀναπνεῦσαι τουτέστιν ἀναπέμψαι σφ. κ. z μ΄ ξ΄ φ΄* et *ἀντὶ τοῦ ἀναπνοὴν ἀναπνεῦσαι σφ. κ.* est glossa Mosch. in codd. mixtis. — 17 *καπνοῦ σφοδροῦ* edd. — *τουτ. πυρπ.* omm. edd. — *πυρπολυθῆναι ι΄΄, πῦρ πολυθῆναι ξ΄.*

μοὺς καὶ τῇ ἐνοράσει ἐκφοβοῦντες, ἐπεὶ ἐκτίσθη νέον, ἤτοι παραχρῆμα, τὸν πύργον, ἤγουν τὸ τεῖχος ἐσαλλόμενοι, ἀντὶ τοῦ εἰσπηδῆσαι πειρώμενοι, οἱ δύο (50) *μὲν κατέπεσον, αὐτόθι δὲ ἀτυζόμενοι, ἤγουν ταραττόμενοι, ἐν ἄτῃ γενόμενοι, τὰς πνοὰς ἀπέβαλον, ἤτοι ἀπέπνευσαν, ὁ εἷς δὲ εἰσῆλθε βοήσας, ἀντὶ τοῦ συρίξας. ἔννεπε δέ* (53), *ἀντὶ τοῦ εἶπεν εὐθὺς ὁ Ἀπόλλων ὁρμαίνων, ἤγουν διαλογιζόμενος, σκοπῶν τέρας ἐναντίον, τουτέστιν ἐχθρόν, οὐ δεξιόν· ἡ Πέργαμος, ἤγουν ἡ ἐξοχὴ τοῦ τείχους, ὦ ἥρως Αἰακέ* (56), *ἐπὶ ταῖς σαῖς ἐργασίαις, ἤτοι κατασκευαῖς τῆς χειρός, ἀντὶ τοῦ ἐπὶ ταῖς ἐργασίαις τῆς σῆς χειρός, ἁλίσκεται, ἀντὶ τοῦ ἁλώσιμος ἔσται. οὕτως ἐμοὶ λέγει, ἀντὶ τοῦ νοεῖν δίδωσι, τὸ πεμφθὲν φάσμα, ἤγουν ἡ πεμφθεῖσα ὄψις τοῦ Διὸς τοῦ υἱοῦ τοῦ Κρόνου τοῦ τῶν βαρυήχων βροντῶν αἰτίου· οὐκ ἄτερ* (59), *ἤγουν οὐκ ἔξω τῶν ἀπογόνων σου ἁλώσιμος ἔσται, ἀλλ' ἅμα τοῖς πρώτοις σοῖς ἀπογόνοις, ἤγουν τῷ Τελαμῶνι, ἄρξεται, τουτέστιν ἀρχὴν λήψεται τοῦ ἁλίσκεσθαι, καὶ τοῖς ἀπὸ*

---

1 *ὁράσει* codd. mixti et edd. ante Oxx. — *ἤγουν ι''*. — 2 *πῦργον ι'' ξ' φ'*. — *ἤτοι z, ἤτοι* (suprascr. *ἤγουν*) *μ'*. — 4 *ταταττόμενοι ι''*. — 5 *ἀπέπν. ὁ* *ῆλθε q*. — 6 *ἔννεπε δ' ἀντίον* est lemma in edd., *ἔνεπε δ'* in *ξ'*. — *σύνταξις* legitur in marg. *μ' ξ'*. — *ἔνεπε ξ'*. — *δὲ* om. *ι''*, minio additum est in *φ'*. — 8 *ἡ ὑπέργαμος ξ'*. — 9 *ἤγουν ι''*. — *ἤτοι κατασκ.* omm. *q z μ' ξ' φ'* et edd. ante Beck. — 10 *τῆς χειρὸς* — *ταῖς ἐργασίαις* omm. *q μ'*. — *τῆς χ.* omm. *z ξ' φ'* et edd. ante Beck. — *ἀντὶ* — *χειρὸς*] sic *ι''*, nisi quod *σαῖς* pro *ταῖς* in eo legitur, *ἀντὶ τοῦ ἐπὶ ταῖς ἐργασίαις τῆς χ//ιρός, ἀντὶ τοῦ ἐπὶ ταῖς ἐργασίαις a, ἤγουν διὰ τῆς σῆς χειρός* edd., *τῆς σῆς χειρός q z μ' ξ' φ'*. — 11 *ἀντὶ τοῦ* codd., *ἤγουν* edd. — *ἀλήσιμος z*. — Ante *οὕτως* lemma *ὥς ἐμοὶ φάσμα λέγει Κρονίδα* est in edd. — 12 *πεμφὲν a*. — 13 *βαρυήχον a, βαρύχων ξ'*. — *αἰτίω* ex *αἰτίων a*. — 14 *παίδων σέθεν* post *οὐκ ἄτερ* est in edd. — *σοῦ φ'*. — *ἁλώσιμον ι''*. — 15 *ἅμα μὲν τοῖς φ'*.

σοῦ δηλονότι τετάρτοις, ἤτοι τῷ Νεοπτολέμῳ, ἀλώσεται δηλονότι.

gl. 61. * † *τῷ Νεοπτολέμῳ.* — * *ὁ Ἀπόλλων.* — * *εἰπών.*

62. *Germ.* *Ξάνθον] Λυκία ὄνομα τοῦ τόπου καὶ ἐκ τοῦ ποταμοῦ τοῦ ἐκεῖσε ῥέοντος τὴν χώραν σημαίνει.*

Th. *Ἐν Ξάνθῳ, ἐν Ἀμαζόσιν, ἐν Ἴστρῳ πρὸς τοὺς Ὑπερβορέους ἐτιμᾶτο Ἀπόλλων, ὥσπερ καὶ Ποσειδῶν ἐν τῷ Ἰσθμῷ τῆς Πελοποννήσου, ἔνθα τὰ Ἴσθμια εἰς αὐτὸν ἐγίνοντο, καὶ ἐν τῇ ἐξοχῇ τῆς Κορίνθου. σύναπτε δὲ τὸ ποντίᾳ Ἰσθμῷ καὶ τὸ Κορίνθου δειράδι.*

gl. 62. * *ποταμὸν ἐν Τροίᾳ·* — * * *ποταμὸν Λυκίας.* — 63. * *ἐρχόμενος.* — 64. * *ὁ τὴν γῆν τριαίνῃ κινῶν Ποσειδῶν.* — 65. * † *ταχύ.* — *ἐκίνει.* — 66. *ἀποκομίζων.* — 67. *εἰς τὴν Αἴγιναν.* — *τοῖς αὐτοῦ, ἤτοι τῷ ἅρματι.* — 68. * *ἐξοχῇ.* — *ἐπιτηρήσων.* — 69. *εὐωχίαν.* — *ἔνδοξον.*

64—69. *Germ.* *Ὁ Ὀρσοτρίαινα δὲ τάνυε καὶ παρώξυνε τὸ θοὸν ἅρμα ἐπὶ τῷ Ἰσθμῷ τῇ ποντίᾳ καὶ ἐπὶ τῇ δειράδι τῆς Κορίνθου, ἐποψόμενος καὶ μέλλων ἰδεῖν τὴν δαῖτα τὴν κλυτὴν, ἀποπέμπων τὸν Αἰακὸν ἀνὰ ταῖς ἵπποις ταῖς χρυσέαις δεῦρο καὶ ἐνταῦθα εἰς τοῦτον τὸν τόπον, ἤγουν ἐν τῇ Αἰγίνῃ. οἱ τοιοῦτοι δευτέρα γενεά, τετάρτη δὲ ὁ Πύρρος ὁ καὶ Νεοπτόλεμος. τρίτον γὰρ ἐπορθήθη ἡ Τροία.*

---

1 *ἤτοι* *a q z μ' ξ' φ'*, *ἤγουν* *i''* et edd. — 4 Lemma ego addidi. — Delevi *ἢ* ante *Λυκίαν*. — *ἐκ* (?) Mommsen edidit, sed *ἐκ* re vera est in codice. — 5 *τὴν χ. σημ.* ego addidi. — 6 Hoc scholium omm. *z* et edd., e cod. Augustano *B* edidit Mommsen in Scholiis Germani p. 42. — 6. 7 *ἐν τοῖς ὑπερβορέοις* *i'' μ' ξ' φ'*. — 7 *ὁ ἀπ.* *ξ'*. — *ποσειδὼν* *i''*. — 8 *πελοποννήσου* *i''*, *πελοπονήσου* cett. — *ἐγίνετο* *i'' μ' ξ' φ'*. — 9 *ποντίαν ἰσθμὸν* e sententia Triclinii *i'' μ' ξ' φ'*. — 10 *δειράδα* *i'' μ' ξ' φ'*, *δειράδ* *ἐποψόμενος* Mommsen (ex Aug. B). — 16 Ante *Ὁ* delevi *ἢ οὕτως*. — 20 Post *Αἰγίνῃ* Mommsen (sic) inseruit. — *οἱ τοιοῦτοι* ad Peleum et Telamona spectat. — 21 *τρίτον*] *τρίς*? *δίς*! — 22 *γάρ*] *δὲ*!

gl. 70. *ἡδύ.* — *ὅμοιον· ὁ μὲν γὰρ τοῦτο, ὁ δὲ ἐκεῖνο ἀποδέχεται.*

61—70. M. *Ὣς ἄρα] ὁ ἄρα ἀντὶ τοῦ δή. οὕτω δὴ ὁ θεὸς ὁ Ἀπόλλων σαφῶς εἰπὼν εἰς τὸν Ξάνθον τὸν ποταμόν· ἀπὸ τούτου δὲ τὴν Λυκίαν θέλει δηλοῦν, ἤπειγε, τουτέστιν ἔσπευδεν ἐλαύνων τοὺς ἵππους δηλονότι, καὶ ἐκ τούτου εἰς τὰς Ἀμαζόνας τὰς καλαῖς ἵπποις χρωμένας, ἤγουν τὰς πολεμικάς, καὶ ἀπ' ἐκείνων εἰς τὸν Ἴστρον τὸν ποταμόν, τουτέστιν εἰς τὴν Σκυθίαν· ὁ ὀρσοτριαίνης δέ* (64), *ἤγουν ὁ Ποσειδῶν ὁ τὴν τρίαιναν φέρων, ἀποπέμπων τὸν Αἰακὸν δεῦρο, ἤγουν ὧδε, τουτέστιν εἰς τὴν Αἴγιναν, ἐν χρυσοῖς ἵπποις, ἐπέτεινε τὸ ταχὺ ἅρμα, ἤτοι ἐπέσπευδεν ἐπὶ τὸν Ἰσθμὸν τὸν περὶ τὴν Κόρινθον καὶ ἐπὶ τὴν δειράδα, ἤγουν τὴν ἐξοχὴν τῆς Κορίνθου, θεασόμενος τὴν δαῖτα, ἀντὶ τοῦ τὴν θυσίαν τὴν κλυτήν, ἤτοι τὴν εὐκλεῆ, τὴν περιφαδομένην, τὴν τελουμένην αὐτῷ, ἐκεῖ δηλονότι. τερπνὸν δὲ* (70) *ἐν τοῖς ἀνθρώποις, τουτέστιν ἐν τοῖς ἀνθρωπίνοις πράγμασιν οὐδὲν ἔσται ἀντὶ τοῦ ἐστίν, ἐν ἴσῃ μοίρᾳ ταττόμενον, πᾶσι δηλονότι, ἤγουν οὐδέν ἐστιν ἡδὺ ἐν τοῖς ἀνθρωπίνοις πράγμασιν, ἐφ' ᾧ πάντες ἐπίσης τερφθήσονται, διὸ οὐδὲ τοῖς θεοῖς δηλονότι οἱ αὐτοὶ τόποι ἀρέσκουσιν.*

3 *ἆρα ι''.* — *ὡς ἄρα θεὸς σάφα εἶπας* est lemma in [*q*] edd., lemma om. *a.* — *σύνταξις* *ε ξ* in marg. — *ὦ ἄρα a, ὣς ἄρα ι''*, *τὸ ἄρα ξ'.* — 4 *τὸν ποταμὸν* om. *ι''.* — 5 *λυκείαν ε, λυκαῖαν μ', λυκαίαν ξ'.* — *θέλη a.* — *ἔσπευδον q.* — 6 Inde a voce *ἀμαζόνας* (sic) iterum incipit liber Vrat. — *καλοῖς ι'', καλὰς ξ'.* — 7 *ἤγουν aqι''*, *ἤτοι* cett. — *ἀπ' aqι''*, *ἀπὸ* cett. —8 *εἰς τὴν* om. *a.* — 11 *χρυσαῖς aqι''*, *χρυσοῖς* cett. — *ἤγουν ἔσπευδε* (sic) *ι''.* — 12 *τὸν* ante *περὶ* om. *ξ'.* — *καὶ*] *ἢ ι''.* — 13 *τὴν* om. *ι''.* — *ξοχὴν q.* — 14 *ἤγουν ι''.* — *εὐκλεῆ aq, εὐκλεᾶ* cett. — 15. 16 *δηλονότι. Τερπνὸν δ' ἐν ἀνθρώποις*] *τουτέστιν* edd. — *τ. δὲ ἐν τ. ἀνθρώποις* om. *q.* — 17 *δηλ.* om. *ι''.*

gl. 71. * τῷ· — * * τοῦ· διὰ τὸ μέτρον. — 72. δόξαν, ἣν ἔσχεν ἐκ πάλης. — 73. ἤγουν μηδεὶς μέμψιν ἐπαγέτω μοι. — 74. ἐν τῇ. — * † ὁμοίως. — 75. τὴν ἀπὸ τῆς πάλης νίκην. — 76. ἄλλην δ' ἐρέω μετὰ ταῦτα, ἤγουν ἐν ἀνδρικῇ ἡλικίᾳ.

70—77. *Th.* Τὸ τερπνὸν ἐν ἀνθρώποις] προκατάστασίς ἐστιν οὗ μέλλει εἰπεῖν περὶ τοῦ Μελησίου, ὃς ἦν ἀλείπτης Ἀλκιμέδοντος καὶ τοῦ ἀδελφοῦ αὐτοῦ Τιμοσθένους. ἐνίκησε δὲ οὗτος ὁ Μελησίας νέος ὢν ἐν τῇ Ὀλυμπίᾳ. βούλεται οὖν Πίνδαρος ταύτην τὴν νίκην εἰπεῖν νῦν, καὶ ἐπειδὴ τὸ παιδικῆς νίκης μεμνῆσθαι μέμψιν ἂν αὐτῷ παρὰ τῶν ἀκουόντων ἤγαγεν, ὡς ἤδη πρεσβύτου ὄντος τοῦ Μελησίου, φησίν· εἰ δὲ ἐγὼ ἀνέδραμον ἐν τῷ ὕμνῳ κῦδος καὶ δόξα τῷ Μελησίᾳ ἐξ ἀγενείων, ἤγουν εἰ ἐπαινέσαιμι αὐτόν, ὅτι ἀγένειος ὢν ἐν Ὀλυμπίᾳ πάλαι νενίκηκε, μὴ βαλέτω με ὁ φθόνος ἐντραχεῖ λίθῳ, ἤγουν μηδεὶς διὰ φθόνον κακῶς ἀγορευέτω με. ἐρέω γὰρ καὶ λέξω ἐν τῇ Νεμέᾳ ταύτην τὴν χάριν, ἤγουν ἣν ἐν τῇ πάλῃ νίκην ἔσχεν ὁμῶς καὶ ὁμοίως, ἤτοι ἀγένειος ὤν. τὴν δέ, καὶ ἄλλην δὲ μάχην ἀνδρῶν ἐκ παγκρατίου, ἐρέω ἀπὸ κοινοῦ. καὶ γὰρ ἀγένειος ὢν Μελησίας ἐν Ὀλυμπίᾳ καὶ ἐν Νεμέᾳ ἐκ πάλης ἐστεφανώθη καὶ ἀνὴρ γενό-

---

5 τὸ omm. Vrat. et edd. — Ante ἐν in ι'' δέ, in cett. codd. mixtis et edd. δ' est. — ἀνθρ. τοῦτο πρ. ξ'. — 6 οὗ] οὐ φ'. — ἦν om. Γ. — 8 εἰς τὴν Ὀλυμπίαν Α. — β. δὲ ὁ π. ξ', β. οὖν ὁ π. Γ. — 9 νίκης] μνήμης ξ'. — 10 αὐτῶν π. ξ'. — 11 πρεσβήτου Α, πεϱβυτέρου φ', πρεσβυτέρου cett. codd. mixti et edd. — Post φησὶν in edd. εἰ δὲ ἐγὼ Μελησίᾳ ἐξ ἀγενείων ἤγουν insertum est. — 12 δόξαν ι'' [μ'] et edd. inde ab Oxx. cum glossa Thom.-Triclin. — 13 ἐν τῇ ἀλ. μ'. — πάλῃ ε ι'' μ' φ'. — νενίκηκε ΓΑ, ἐνίκησε cett. — 14 μοι ε μ'. — ἐντραχεῖ scripsi, ἐν τραχεῖ codd. et edd. ante Oxx., τραχεῖ cett. edd. — 15 λέγω ξ'. — καὶ post λέξω insertum est in ε ι'' μ' ξ' φ'. — 16 τὴν om. ι''. — 17. 18 τὴν δὲ — ἀγένειος ὢν om. ξ' haplographica neglegentia. — 17 τὴν δὲ] omm. Beck, Heyne, τὰν δ' ἔπειτα cett. edd. — καὶ om. Γ.

μενος παγκράτιον ἐν Νεμέᾳ ἐνίκησε. τὸ δὲ μάχην ἀνδρῶν (76) λέγει, ἐπειδὴ ἀνὴρ ὢν παγκράτιον πρὸς ἄνδρας ἠγωνίσατο.

71—77. M. Εἰ δὲ ἐγὼ διὰ τοῦ ὕμνου εἰς τὸ κλέος ἀνατρέχω τοῦ Μελησίου τὸ ἐξ ἀγενείων, ἤγουν τὸ ἐκ παίδων αὐτῷ γεγενημένον, μὴ βαλέτω με φθόνος λίθῳ σκληρῷ, ἀντὶ τοῦ διασυρμῷ ὀνειδιστικῷ, βαρεῖ. καὶ ἐν τῇ Νεμέᾳ (74) γὰρ ὁμοίως ἐρέω, ἀντὶ τοῦ λέγω, ταύτην τὴν χάριν, τουτέστι τὴν τιμήν, τὴν νίκην ὑπάρξαι δηλονότι αὐτῷ· τὴν δὲ τῶν ἀνδρῶν μάχην, ἀντὶ τοῦ τὴν δὲ νίκην τοῦ ἀγῶνος, ὃν ἠγωνίσατο ἐν ἀνδρὸς ἡλικίᾳ, ἔπειτα, ἤγουν μετὰ ταῦτα, λέγω ὑπάρξαι αὐτῷ ἐν παγκρατίῳ.

gl. 77. * ἤγουν ὁ προαθλήσας οὗτος εἰδὼς τὴν μάχην ὡς δεῖ μεταχειρίζεσθαι, κάλλιστος ἂν ἀλείπτης ἄλλων γένοιτο· τοιοῦτος δὲ καὶ ὁ Μελησίας. — ἕτερον. — 78. εὐχερέστερον. — ἀνόητον ὥστε διδάξαι· * ὁ γάρ τι ποιήσας οὗτος καὶ διδάξας αὐτὸ ἄριστος. — 79. * * τὸ μὴ πρότερον διδαχθῆναι. — 80. ἐλαφρότεραι πρὸς διδαχήν. — ἤγουν τῶν μὴ προκατωρθωκότων ὃ διδάξουσιν. — 81. ὁ πειραθεὶς τούτων καὶ προκατωρ-

---

1 παγκράσιον ξ'. — ἐν Νεμέᾳ mm. edd. — 2 λέγειν z. — πρός Γ Α z, εἰς cett. — 3 Lemma εἰ δ' ἐγὼ μελησία (μελ. ι'') est in codd. mixtis et edd. — σύνταξις marg. z μ' ξ'. — 4 μελησίου ι''. — ἐξ ἀγενείου ι'', ἐξ ἀγένειον Vrat. — ἤγουν αφ'', ἤτοι cett. — π. αὐτὸ ξ'. — 5 γενημένον α. — με] μὲν q. — 6 βάρει z. — 8 ἐρέω — χάριν om. z. — 9 δηλονότι om. ι''. — 10 τὴν δὲ] τήνδε ι'', τὴν Vrat. — 12 Glossam Thomanam Α solus servavit; Triclinius glossas Thomanas ad vv. 77. 78 in hunc modum coniunxit: Τὸ διδάξασθαι δέ, ἤγουν ὁ προαθλήσας οὗτος εἰδώς .... τοιοῦτος δὲ καὶ ὁ Μελησίας· ὁ γάρ τι ποιήσας οὗτος καὶ διδάξας αὐτὸ ἄριστος. — Deest hoc scholium in z. — ὁ om. Α. — οὕτως Α. — 13 τῶν ἄλλων edd. — 14 καὶ excidit in edd. inde ab Oxx. — 16 πονήσας edd. — 15. 16 διδάξαι φ' et Bœckh, διδάξει ξ', διδάξας cett. codd. et edd., et διδάξας est etiam in glossa Thomana, nisi quod ibi ex Γ «διδάξαι vel διδάξειν» enotavi.

θωκώς. — * * διδάξει. — 82. ἐξοχώτερον καὶ κρεῖττον. — * τῶν μὴ πειραθέντων. — 83. ποία μηχανή; ἔστι δὲ τὸ τίς τρόπος ἑρμηνεία τοῦ κεῖνος. — αὐξήσει καὶ νικητὴν ποιήσει. — 84. τῶν ἐπὶ ταῖς πανηγύρεσι τῶν θεῶν γινομένων ἀγώνων. — 85. ἀγαπητὴν αὐτῷ. — * * τιμήν. — λαβεῖν.

77—85. M. Τὸ διδάξασθαι δέ, ἀντὶ τοῦ τὸ διδάξαι τῷ εἰδότι, ἤγουν τῷ ἐμπείρῳ, τῷ ἐπισταμένῳ, ἐστὶ ῥαΐτερον, ἤτοι ῥᾷον ἀντὶ τοῦ ῥᾴδιον, ἤγουν εὔκολον. καὶ ὁ Μελησίας δηλονότι, εἰ μὴ αὐτὸς ἦν ἔμπειρος ἀθλητής, οὐκ ἂν ἄλλους ἀλείφων ἐποίει νικᾶν. τὸ δὲ μὴ προμαθεῖν ἀγνώμον, ἤγουν ἄπειρον καὶ ἀνεπιτήδειον εἰς διδασκαλίαν ἑτέρων. τῷ εἰδότι εἰπὼν εὔκολον εἶναι τὸ διδάξαι ὤφειλεν ἐπαγαγεῖν· τῷ δὲ μὴ εἰδότι οὐκ εὔκολον· ὁ δὲ ἐπὶ τὸ πρᾶγμα μετατίθησι τὸν λόγον καί φησι· τὸ μὴ προμαθεῖν δὲ ἄπειρον, ταυτὸ λέγων ὥσπερ εἰ ἔλεγεν· ὁ δὲ μὴ προμαθὼν ἄπειρος τούτου δηλονότι, ἤγουν τοῦ διδάξαι. κουφότεραι γάρ, ἀντὶ τοῦ κοῦφαι, ἤγουν ἐλαφραί, ἀμαθεῖς αἱ φρένες τῶν ἀπειράτων, ἤτοι τῶν μὴ πεπειραμένων, τῶν μὴ προμαθόντων. κεῖνα δὲ τὰ ἔργα ἐκεῖνος (81) ἂν εἴποι, ἤγουν ὁ πεπειραμένος, περαίτερον, ἀντὶ τοῦ περαιτέρω, ἤγουν ἐπὶ πλέον τῶν ἄλλων λέγοι. τίς τρόπος, ἤτοι τίς ὁδός, τίς μηχανὴ προβι-

---

2. 3 ἔστι — κεῖνος in ΓΔ post ἀγώνων v. 4 legitur. — 6 δέ om. q. — δέ τοι edd. — τὸ omm. q z. — 7 ῥ. ἤγουν ι''. — 7. 8 ἤτοι ῥᾷον om. q. — 8 ἀντὶ] ἤγουν ἀντὶ z. — ἤγουν aqι'', ἤτοι cett. — 11 διδασκαλίαν codd., Oxx., Beck, Heyne, διδασκαλίας cett. edd. — εὔκυλον Vrat. — 12 τὸ δὲ μὴ ξ'. — Post εἰδότι in ι'' οὐκ εἰδότι insertum est. — 14 μὴ om. ξ'. — 14. 15 μαθὼν edd. ante Oxx. — 15 ἤγουν om. z. — 17 ἤγουν ι''. — μὴ] δὴ ξ'. — πεπειρασμένων Vrat. — 18 Pro verbis κεῖνα — εἴποι in edd. hoc lemma legitur: κεῖνα δὲ (δ' Boeckh) ἐκεῖνος ἂν εἴποι ἔργα. — κεῖνος ἂν q. — ἤγουν aq, ἤτοι cett. — 19 περαίτερος q. — ἀντὶ τοῦ περαίτερον (sic) ἀντὶ τοῦ περ a. — ἐπιπλέον ι'' μ' φ'. — 20 λέγοι Beck pro λέγω. — ἤτοι] ἢ codd. mixti et edd.

βάσει ἄνδρα, τουτέστιν αὐξήσει, δοξάσει ἐκ τῶν ἱερῶν ἀγώνων μέλλοντα φέρειν, ἀντὶ τοῦ ἀποφέρεσθαι δόξαν ποθεινοτάτην, τουτέστιν ὑπερποθουμένην.

gl. 86. τῷ Μελησίᾳ. — * ἐστί. — ἡ γὰρ τῶν μαθητῶν δόξα πρὸς τοὺς διδασκάλους ἀνέρχεται. — † ἀνέρχεται. — 87. ἤγουν μετὰ εἰκοσιεννέα ἀθλητὰς νικήσαντας * ἀλειφθέντας ὑπὸ Μελησίου. — 88. εὐτυχίᾳ θεικῇ. — 89. ἀνδρείας. — ἁμαρτών, ἀλλὰ καὶ ἀνδρεῖος ὤν.

90. *Th.* Δέον εἰπεῖν τεττάρων παίδων, τέτρασιν εἶπε πρὸς τὸ γυίοις, καὶ ἔστιν ὅμοιον τὸ τεαῖς χειρὸς ἐργασίαις (42).

gl. 90. τέσσαρας γὰρ παῖδας ἐνίκησεν ἐν τῇ πάλῃ. — ἐνέβαλε. — * * τοῖς μέλεσιν. — 91. ὑποστροφὴν πρὸς τὸν οἶκον. — ἄτιμον. — ἤγουν ὀνειδιστικοὺς λόγους παρὰ τῶν αὐτοὺς ὁρώντων.

92. *Th.* Ἐπίκρυφον οἶμον] ἤγουν ἐν σκότῳ πορείαν· ὁ γὰρ νικηθεὶς ἀτίμως τε πρὸς τὸν οἶκον χωρεῖ διὰ τὴν ἧτταν καὶ τοὺς ὁρῶντας αὐτὸν εἰς μυκτηρισμὸν ἄγει. διὰ τοῦτο ἐν νυκτὶ τὴν πορείαν ποιεῖται.

gl. 93. * † τῷ πάππῳ. — ὁ γὰρ πατὴρ αὐτοῦ προαπέθανεν. — * † ἐνέβαλεν. — ἰσχύν. — 94. * ἐναντίον· ὑπὸ γὰρ τοῦ γήρως καταβεβλημένος ὥσπερ ὑπὸ τῆς τοῦ παιδὸς νίκης ἰσχὺν ἔλαβε καὶ τῆς τοῦ γήρως ἐπιλέλησται ἀσθενείας.

---

1 τουτ.] τουτέστιν ἤγουν μ'. — ἤγουν αὐξ. τουτέστιν δοξ. φ'. — 3 τουτ. ὑπερπ. om. z. — 5 In glossa Thom.-Tricl. ἐστι pro ἀνέρχεται est in codd. mixtis. — 9 Hoc scholium om. z. — δέον (hoc voc. abscisum est in Γ) δὲ (καὶ? Γ) εἰπεῖν ΓΔ, qui tamen ab hac voce novum scholium incipiunt. — τετράσιν Γ. — 10 ὅμ. τὸ] ὅμ. τῷ Γ. — 16 Hoc scholium omm. zξ' φ'. — Lemma omm. ΓΔ. — 18 καὶ διατοῦτο Γ. — 19 τὴν om. ι'. — 21 Glossa Thomana in Vrat. ι' μ' ξ' et in edd. præfixo lemmate ἀντίπαλον inter scholia legitur. — 22 ἀπὸ Γ. — 23 κ. τὴν τ. γ. ἐπ. ἀσθένειαν ξ'. — ἐπιλέλασται Γ.

86—94. M. *Νῦν μὲν τιμή ἐστιν αὐτῷ, τῷ Μελησίᾳ δηλονότι τῷ ἀλείπτῃ, ὁ Ἀλκιμέδων νίκην ἑλὼν ὑπὸ ἀλείπτῃ τούτῳ μετὰ ἐννέα καὶ εἴκοσιν ἄλλους ὑπὸ τούτου γεγυμνασμένους· ὅστις* (88), *ἤγουν ὁ Ἀλκιμέδων, σὺν εὐτυχίᾳ θεοῦ, ἠνορέας δέ, ἤγουν ἀνδρίας οὐκ ἀμπλακών, ἀντὶ τοῦ οὐκ ἄμοιρος γεγονώς, οὐκ ἀποτυχών, ἐν τέτρασι μέλεσι παίδων, ἀντὶ τοῦ ἐν μέλεσι τεσσάρων παίδων, περιφραστικῶς ἀντὶ τοῦ ἐν τέτρασι παισίν, ἀπεθήκατο, ἀντὶ τοῦ ἐπέθηκεν ἐπαναστροφὴν* (91) *εἰς τὸν οἶκον αὐτῶν, ἔχθιστον, ἤγουν πάνυ μεμισημένην, καὶ ἀτιμοτέραν γλῶσσαν, ἀντὶ τοῦ ἄτιμον ἤτοι ἀπαῤῥησίαστον, καὶ οἶμον, ἤγουν ὁδὸν ἐπέθηκεν αὐτοῖς ἐπίκρυφον, τουτέστι λαθραίαν καὶ ἀποφεύγουσαν τὰς ὄψεις τῶν ἀνθρώπων διὰ τὴν αἰσχύνην τῆς ἥττης, τῷ πατρὶ δὲ τοῦ πατρὸς αὐτοῦ, ἤγουν τῷ πάππῳ αὐτοῦ ἐνέβαλε μένος, τουτέστιν ἰσχὺν τοῦ γήρως ἀντίπαλον, ἀντὶ τοῦ ἐναντίαν, ἤτοι καταπονούμενον αὐτὸν ὑπὸ τοῦ γήρως ἀνέῤῥωσεν.*

gl. 95. * *ἐν τῷ·* — † *ἐν τῷ Ἅιδῃ.* — *ἐπιλανθάνεται παρὰ τῶν ἐν τῷ βίῳ.* — 96. *ἁρμόδια αὐτῷ ἤτοι καλά.*

---

1 Lemma omm. *aq* Beck, Heyne, lemma *νῦν μὲν* est in *ι'*, *νῦν μὲν αὐτῷ γέρας* in cett. — *σύνταξις ι' ξ'* in marg. — *ἐστιν ἐν αὐτῷ q.* — **2** *ἀλκιμιδων a.* — **4** *ἀνορίας a.* — *δὲ* omm. *q ι'.* — **5** *ἤγουν* om. *ι'.* — *ἀνδρείας a* Vrat. — **6** *μέρεσι z.* — **7** *τεσσάρων aq*, *τεττάρων* cett. — *τετράσι* Vrat. — **8** *ἀπεθηκεν* (om. *ἀντὶ τ. ἐπέθηκεν*) *ἀναστροφὴν ι'.* — *ἐπέθηκεν* (*αὐτοῖς νόστον*), *ἐπαναστρ.* Heyne, unde *ἐπέθηκε νόστον, ἐπαναστρ.* Boeckh lectore non monito. — **9** *ἀτιμωτέραν q* et edd. ante Boeckh. — **10** *ἤγουν ι'.* — In *q* inter *ἀπαῤῥησίαστον* et *καὶ οἶμον* prius scholii veteris ad v. 70 colon (omisso tamen lemmate) nescio quo casu insertum legitur. — *ἤγουν aqι'*, *ἤτοι* cett. — **11** *ἀπέθηκεν* Vrat. — *αὐτοῖς ἤγουν ἐπ. q.* — *ἐπέκρυφον a.* — *λαθραῖαν* Vrat. *μ'.* — **12** *τῆς* om. *ξ'.* — **13** *ἤτοι ξ'.* — *ἐνέβαλλε ξ'.* — **14** *μένος τουτ.* om. *z.* — **15** *ἤτοι aq*, *ἤγουν* cett. — *αὐτὸν* om. *q.* — *γῆρας ι'.* — *ἀνέρωσεν a*, *ἀνέῤῥωσα z.*

95. 96. *M.* *Αἴδα τοι λάθεται ἅρμενα πράξαις ἀνήρ*/ εἰς κατασκευὴν τοῦ ἀνωτέρω τοῦτο γνωματεύεται· ἤγουν ὁ ἄνθρωπος ὁ παθὼν ἀρεστὰ τῇ ἑαυτοῦ γνώμῃ, ἤτοι ὁ εὐτυχήσας, τοῦ θανάτου ἐπιλανθάνεται, ἤγουν ἀνώτερος γίνεται τοῦ θανάτου, ἀνεπιστρόφως ἔχει αὐτοῦ τῇ εὐπραγίᾳ ἀναῤῥωννύμενος.

gl. 97. μνήμην αὐτῶν. — 98. * † ἀνιστῶντα. — εἰπεῖν. — 99. καρπόν, ἤτοι τὴν νίκην. — οὗτοι γὰρ οἱ τοῦ Ἀλκιμέδοντος πρόγονοι. — ὕμνον. — 100. ἐπειδὴ Τιμοσθένης καὶ Ἀλκιμέδων ἔκτοι ἀπὸ Βλεψιαδῶν ἦσαν. — 101. τῶν τὰ στεφάνων φύλλα τοῖς νικῶσι φερόντων. — 102. τοῖς προγόνοις· — † τοῖς θανοῦσιν. — τῶν ἐπαίνων, οὓς λαμβάνουσιν οἱ ἀπόγονοι. — 103. * κατά. — ἐνεργούμενον.

95—103. *Th.* *Βούλεται εἰπεῖν περὶ τῶν τοῦ Ἀλκιμέδοντος*

Ad v. 94 hæc adscripsit glossator in *b*: *ἤγουν τὸν πάππον αὐτοῦ καταπονούμενον ὑπὸ τοῦ γήρως ἀνέῤῥωσεν, τουτέστιν ἀκούσας ὁ πάππος τὰς ἀριστείας τοῦ ἔγκονος* (sic) *ἀνεῤῥώσθη*.

1 *σύνταξις μ'* in marg., [*q*] Bœckh in textu. — *τοι — ἀνήρ* om. *ι''*. — *ἄρμενα qξ'* et edd. ante Heynium. — *πρᾶξας ξ'*. — **2** *ἀνωτέρω aqξ*, *ἀνωτέρου* cett. — **3** *ποθῶν q*. — *ἄρι* Vrat. — *αὐτοῦ ι''*. — *ἤγουν ι''*. — *ὁ* omm. edd. — **4. 5** *ἐπιλανθ*. — *θανάτου* om. *q*. — **5** *ἀνεπιστρόφω a*. — *εὐπραξίᾳ* edd. — **5. 6** *ἀναρωννύμενος a*, *ἀναῤῥωνύμενος qι''μ'ξ'*. — **8** V. 99 ad *ἄωτον* glossa *καρπὸν* et in marg. a glossatore scriptum *καρπὸς γὰρ τῶν καλῶν ἔργων ὁ ὕμνος* legitur in *b*. — **9** *ἀντισθ*. codd. mixti. — **10** *τὰ τῶν στεφ*. codd. mixti. — **12** Ad v. 103 hæc adscripsit glossator libri *b*: *ὥσπερ λέγομεν καδδέπεσεν ἀντὶ τοῦ κατέπεσε δὲ, τρέποντες τὸ τ εἰς δ διὰ τὸ ἐπαγόμενον δ· ὤφειλε γὰρ εἶναι κατὰ δὲ ἔπεσε και κατασυγκοπὴν κατδέπεσε καὶ τροπῇ τοῦ τ εἰς δ καδδέπεσεν, οὕτω καὶ ἐνταῦθα φαμὲν καννόμον ἀντὶ τοῦ κατὰ νόμον, τρέποντες τὸ τ εἰς ν διὰ τὸ ἐπαγόμενον ν· ὤφειλε γὰρ εἶναι κατὰ νόμον καὶ κατὰ συγκοπὴν κατνόμον, καὶ τροπῇ τοῦ τ εἰς ν καννόμον*. — **14** Hoc scholium om. *ε*. — Lemma *ἀίδα τοι λάθεται ἅρμενα πράξαις ἀνήρ* est in *ξ'*. — *τῶν* omm. *Γξ'*.

προγόνων, ὅτι κάλλιστοι ἦσαν. λέγει οὖν· ὁ πράξας ἄρμενα καὶ ἁρμόδια ἑαυτῷ λήθεται καὶ ἐπιλανθάνεται παρὰ τῶν ἄλλων ἐν τῷ ἅιδᾳ· ἀλλ' ἐμὲ χρὴ καὶ πρέπει φράσαι καὶ εἰπεῖν τὸν νῦν ἐπινίκιον καὶ ὕμνον τοῦ Ἀλκιμέδοντος, τὸν ἄωτον καὶ τὸν καρπὸν τῶν χειρῶν, ἤτοι τὴν νίκην, ἐγείροντα τοῖς Βλεψιάδαις μνημοσύνην καὶ ἐνθύμησιν αὐτῶν· τουτέστιν εἰ καὶ οἱ Βλεψιάδαι θανόντες οὐκ ἔρχονται εἰς μνήμην ἀνθρώποις, ὁποῖοί τινες ἦσαν τὰς ἀρετάς, ἀλλ' ἐγὼ νῦν ἐγκωμιάζων Τιμοσθένην καὶ Ἀλκιμέδοντα τοὺς αὐτῶν ἀπογόνους δείξω πᾶσιν ἀνθρώποις τὴν αὐτῶν ἀρετήν, καὶ ὅτι ἡ τούτων εὐδαιμονία καὶ πρὸς τοὺς ἀπογόνους ἀφῖκτο, οὓς οὐκ εἰκὸς γενέσθαι τοιούτους μὴ προϋπαρχόντων αὐτοῖς καλλίστων ἐκ προγόνων παραδειγμάτων. τὸ δὲ ἕκτος στέφανος περίκειται (100) λέγει, ἐπειδὴ Τιμοσθένης καὶ Ἀλκιμέδων ἕκτοι ἀπὸ Βλεψιαδῶν ἦσαν, ὥστε ὁ τούτων στέφανος Βλεψιάδαις ἕκτος περιετέθη. τὸ δὲ ἔστι καὶ θανόντεσσι (102) τοῦτο λέγει ἢ ὅτι καὶ τοῖς προγόνοις ἡ τῶν παίδων εὐφημία καθίσταται, ἢ ὅτι οἱ τοὺς παῖδας ἐγκωμιάζοντες καὶ τῶν προγόνων εἰς μνείαν ἔρχονται, ὡς ὁ ἐγκωμιαστικὸς ἀναγκάζει νόμος.

gl. 104. οὐ κωλύει καὶ μὴ πρὸς ἐκείνους ἰέναι. — ὁ τάφος αὐτῶν. — 105. συγγενῶν. — ἤτοι τὴν τῆς νίκης εὐτυχίαν.

97—105. M. Ἀλλ' ἐμὲ χρὴ ἀνιστῶντα μνήμην τοῖς Βλεψι-

1 ἄρμενα *Α ξ φ'*. — 3 τὸν om. *ξ*. — 4 ἐπίνικον *Δ*. — ὕμνον καὶ ἐπινίκιον *ι''*. — καὶ ante ὕμνον om. *Γ*. — 5 ἤγουν *ι''*. — 7 ποῖοί τινες *Γ*, ὁποῖοί τινες Vrat. — 8 τὸν τιμ. *ι''*. — 10 καὶ ὅτι] ὅτι καὶ *Δ*. — 12 δὲ omm. codd. mixti et edd., qui novum scholium a voce τὸ incipiunt. — 13 ὁ τιμ. *ι''*. — 14 βλεψιάδων *ξ*. — 15 ἕκτος Beck et Bœckh inseruerunt. — καὶ ex *ΓΔ* addidi. — θανόντεσι (-ασι *ξ*) codd. mixti. — 16 τῶν om. *μ'*. — 18 ὡς *ι''*. — ὁ om. *ξ*. — 22 Lemma ἀλλ' ἐμὲ χρὴ μναμοσύναν (ἀλλ' ἐμὲ χρὴ Vrat.) omm. *aq ι'' μ'*. — σύνταξις *ι'' μ' ξ'* in marg., Bœckh in textu. — τὴν ante μνήμην omisi cum *aq ι''*.

δώσεις τῇ φυλῇ τοῦ Ἀλκιμέδοντος φράσαι αὐτοῖς ἐπινίκιον ὕμνον, ἄωτον τῶν χειρῶν αὐτῶν, ἤγουν καρπόν, ὃν αἱ χεῖρες αὐτῶν ἤνεγκαν· οἷς (100), *ἤγουν τοῖς Βλεψιάδαις. ἕκτος ἤδη στέφανος περίκειται ἀπ' ἀγώνων φυλλοφόρων, ἤγουν στεφανηφόρων, ἀντὶ τοῦ στεφάνων αἰτίων. ἔστι δὲ καὶ τοῖς ἀποθανοῦσι μέρος τι, ὃ πραττόμενον πρὸς αὐτοὺς κατὰ νόμους ἂν πράττοιτο· ἤγουν οὐ μόνον πρὸς τοὺς ζῶντάς εἰσί τινα κατὰ νόμους ἀποδιδόμενα, ἀλλὰ καὶ πρὸς τοὺς ἀποθανόντας ἔστι τι μέρος, ὃ πραττόμενον κατὰ νόμους ἂν πράττοιτο· τὸ τῶν ἐγκωμίων λέγει, ὃ ἐν τοῖς ἑξῆς σαφέστερον δηλοῖ. ἐπάγει γάρ· οὐ κατακρύπτει δὲ* (104) *ἡ κόνις, ἤγουν ἡ γῆ, ὁ τάφος, τὴν ἀγαθὴν ἀρετὴν τῶν συγγενῶν, ὥστε μὴ ἀναφέρεσθαι δηλονότι αὐτὴν πρὸς αὐτοὺς ἐν τῷ τάφῳ.*

106. *Pal.* *Ἰφίων καὶ Καλλίμαχος συγγενεῖς Ἀλκιμέδοντος.*

Th. *Ἐπειδὴ ὁ Ἑρμῆς ἄγγελος τῶν θεῶν ἐστι καὶ ἔστιν ἐν οὐρανῷ καὶ γῇ καὶ πρὸς τὸν Ἅιδην ψυχοπομπός, διὰ τοῦτο λέγει τῆς αὐτοῦ φωνῆς ἀκοῦσαι τὸν Ἰφίονα, ἣν εἰδωλοποιῶν θυγατέρα αὐτοῦ καλεῖ.*

gl. 106. † *ἡ γὰρ ἀγγελία θυγάτηρ τοῦ λόγου. — ὁ Ἀλκιμέδοντος πρόγονος.* — 107. *εἴποι ἄν.* — 108. *τῷ αὐτοῦ ἀδελφῷ.* — 109. *τὸν ἐξ ἐλαίας στέφανον. — * ἐν. — κόσμον. — αὐτοῖς.* — 110. *ἤγουν νίκας ἐπὶ ταῖς νίκαις.* — 111. * *δοῦναι τῷ Ἀλκιμέδοντι καὶ Τιμοσθένει καὶ Μελησίᾳ. — ποταπάς;*

1 *τῇ φυλακῇ* q, *τῇ φιλῇ* μ'. — *αὐταῖς* q. — 2 *ὃν ἐχεῖρες* a. — 4 *φυλληφ.* a, *φιλοφ.* ξ'. — 5. 6 *τί μέρος* ξ'. — 6 *κατὰ νόμον* q. — *πράττοιντο* ξ'. — 7 *οὐ* om. q. — 7. 8 *ἀποδι ἀλλὰ* Vrat. — 8 *τι* a, omm. edd., *τι* cett. codd. — 9 *λέγοι* ε. — 10 *ἐπάγειν, τὸ οὐ* a. — 12 *ἀναφέρεσθαι* aqι'' ξ', *ἀναφέροι* μ' φ', *ἀνάφεροι* Vrat. ε, *ἀναφέρειν* edd. — *δ. αὐτῷ πρ.* a. — 15 Lemma *Ἑρμᾶ δὲ θυγατρὸς ἀκούσας* est in edd. — *ὁ* om. ξ'. — *ἔστιν* om. Γ. — 16 *καὶ ἐν γῇ* Γ. — *ᾅδη* Λ. — *διατοῦτο* Λ. — 17 *ἰφίονα* ΓΛ, *ἰφίωνα* cett.

ταχείας. — 112. * ἀποσοβοίη αὐτῶν. — 114. μέμψιν. — ἐναντίαν τοῖς καλοῖς. — μὴ θεῖναι τὸν Δία αὐτοῖς. — 115. ἀβλαβῆ καὶ ἀκίνδυνον. —116. Ἀλκιμέδοντα καὶ Τιμοσθένη καὶ Μελησίαν. — αὔξει.

106—116. Μ. Ὁ Ἰφίων δέ, ὁ πατήρ, ὥς φασί τινες, τοῦ Ἀλκιμέδοντος, ἐνέποι ἄν, ἀντὶ τοῦ ἀγγεῖλαι, μηνύσαι τῷ Καλλιμάχῳ προσήκοντι κατὰ γένος καὶ τετελευτηκότι καὶ αὐτῷ τὸν κόσμον τὸν ἐν Ὀλυμπίᾳ τὸν λιπαρόν, ἤγουν τὸν λαμπρόν, ὃν ὁ Ζεὺς παρέσχε τῷ γένει αὐτῶν διὰ τοῦ Ἀλκιμέδοντος, ἀκούσας αὐτὸς ὁ Ἰφίων αὐτὸν τὸν κόσμον δηλονότι τῆς Ἀγγελίας τῆς θυγατρὸς τοῦ Ἑρμοῦ ἀγγελλούσης αὐτὸν πρὸς αὐτόν. ἀγαθὰ (110) δ' ἐπ' ἀγαθοῖς ἔργα, ἤγουν ἀγαθὰ δὲ ἔργα συνεχῆ καὶ ἐπάλληλα εἴθε θέλοι ὁ Ζεὺς δοῦναι αὐτοῖς, ὀξείας δὲ νόσους, τουτέστι σφοδρὰς καὶ ἐπικινδύνους ἀπαλάλκοι, ἤτοι ἀποσοβοίη, ἀπ' αὐτῶν δηλονότι. εὔχομαι (113) ἐπὶ τῇ μοίρᾳ τῶν κα-

---

1 ἀποσοβοίη Γ, ἀποσοβεῖ Δ, et ἀπαλάλκει (pro ἀπαλάλκοι) cum glossa ἀποσοβεῖ αὐτῶν (οι) habet in textu liber Thomanus Σ. — 4 αὔξει Γ, αὔξει Δ et αὔξει pro αὔξοι Triclinius in textu. — 5 Lemma ἑρμᾶ est in ι'', ἑρμᾶ δὲ θυγατρός (θυγατέρος z) in cett. codd. mixtis et edd. (deest lemma in edd. Beck., Heyn.). — σύνταξις μ' in marg., Bœckh in textu; ἄλλως ante lemma est in edd. ante Bœckhium. — ὥς] ὃν ξ'. — 6 ἐνέποι α ι'' ξ', ἐννέποι cett. — ἂν omm. [q] edd. — ἀγγεῖλαι codd. et edd. ante Oxx. — μηνῖσαι ξ'. — 7 τελευτικότι q. — 7. 8 αὐτῷ τὸν ἐν ὀλυμπίᾳ (τὸν add. ι'') κόσμον τὸν λιπ. codd. mixti et edd. — 10 αὐτὸν ὁ ἰφίων (om. αὐτόν) τὸν ι''. — 11 ἀγγελούσης q z μ' ξ' φ'. — Ante ἀγαθὰ lemma ἐσθλὰ δ' ἐπ' ἐσθλοῖς est in edd. præter Beck., Heyn. — 12 δ' ἐπαθοῖς a. — ἤγουν δὲ ἀγ. ἔργα ι'', om. a. — 13 θέλει Vrat. — 14 ἀπαλάλκει Vrat. — 15 Ante εὔχομαι lemma εὔχομαι est in ι'', εὔχομαι ἀμφὶ καλῶν μοῖρα νε (sic) in ξ', εὔχ. ἀμφὶ καλῶν in edd. (lemma omm. Beck, Heyne). — σύνταξις μ' in marg., Bœckh in textu.

λῶν, τῇ διδούσῃ δηλονότι αὐτοῖς τὰ καλά, μὴ θεῖναι αὐτὸν τὸν Δία, ἀντὶ τοῦ μὴ ἐᾶσαι συμβῆναι Νέμεσιν διχόβουλον, ἀντὶ τοῦ φθόνου ἐναντία βουλευόμενον, ἀλλ' ἄγων, τουτέστι κυβερνῶν τὸν βίον αὐτῶν δηλονότι ἀβλαβῆ αὐτούς τε εὔθε αὔξοι καὶ τὴν πόλιν αὐτῶν.

3 φθόνον ξ'. — 4 δηλ. ἀβλ. om. ι'.

Ἐπίνικοι Ὀλυμπιονίκαις.
Ἐφαρμόστῳ Ὀπουντίῳ παλαιστῇ. Ὠιδὴ θ'.

[Δημητρίου Τρικλινίου]

περὶ τῶν κώλων τῶν στροφῶν καὶ ἀντιστροφῶν τοῦ θ' εἴδους. ἔστι δὲ στροφῶν δ'. Παλιόν.

Τοῦ θ' εἴδους αἱ στροφαὶ καὶ ἀντιστροφαὶ ἑκάστη κώλων ιϛ'. Τὸ α' ἀναπαιστικὸν μονόμετρον ὑπερκατάληκτον εἰς δισυλλαβίαν. Τὸ β' Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον καταληκτικὸν εἰς τροχαϊκὴν συζυγίαν. Τὸ γ' ἀντισπαστικὸν τρίμετρον καταληκτικόν, ὃ καλεῖται Φαλαίκειον· Φάλαικος γὰρ τούτου εὑρετής. ἔχει δὲ τὴν μὲν α' συζυγίαν ἀντισπαστικὴν ἢ καθαρὰν ἢ τρεπομένην εἰς τὰ δ' του δισυλλάβου σχήματα, ὡς Ἡφαιστίων φησί, τὴν δὲ β' ἰαμβικήν, τὴν δὲ τελευταίαν ἀδιάφορον ἢ τροχαϊκὴν ἢ ἰαμβικήν. Τὸ δ' ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, ὃ καλεῖται Γλυκώνειον, ἐκ διτροχαίου ἢ ἐπιτρίτου. Τὸ ε' ἰαμβικὸν μονόμετρον ὑπερκατάληκτον, τοῦ β' ἀναπαίστου. Τὸ ϛ' ὅμοιον τῷ δ'. Τὸ ζ' Ἰωνι-

---

Scholium metricum extat in Vrat. A, Mosc. B (ex quibus Bœckh primus edidit) *ε ι' μ' ξ'. — τοῦ θ' εἴδους ἡ στροφὴ κώλων ιϛ' ἡ δὲ ἐπῳδὴ κώλων ι'* est scholium metricum in *q*. — **5** *ἐνάτου ι' μ'*, — *τὸ ᾆσμα* post *ἔστι δὲ* delevi *ι'* librum secutus. — *παλαιὸν ι'* in marg., *ξ'* ante *περὶ τῶν κώλων* habet. — *ἔστι — παλαιὸν* om. *ε*. — **6** *ἐνάτου ι' μ'*. — *κώλων ἑκάστη ξ'*. — *ἑκάστη* om. *ι'*. — **10** *φαλμίκιον ξ'*, *φαλαίκιον ε*. — **11** *τὰ* om. *ι'*. — **14** *γλυκώνιον μ' ξ'*.

κὸν δίμετρον βραχυκατάληκτον ἀπὸ μείζονος, ἤτοι ἡμιόλιον. Τὸ η' ὅμοιον τῷ δ' καὶ ς'. Τὸ θ' ὅμοιον τῷ ζ'. Τὸ ι' περιοδικόν, ἐπίτριτος τροχαῖος. οἱ γὰρ δ' τροχαῖοι ἐπίτριτον μέτρον καλοῦνται, ὡς οἱ γ' ἡμιόλιον· περιοδικὸν δὲ διὰ τὸ μίσγεσθαι ἰάμβοις. ἐμοὶ δὲ δοκεῖ προσοδιακὸν δίμετρον ἀκατάληκτον, ἐκ διτροχαίου διαλελυμένου καὶ χοριάμβου. Τὸ ια' ὅμοιον τῷ ζ' καὶ θ'. Τὸ ιβ' ὅμοιον τῷ δ'. Τὸ ιγ' ὅμοιον τῷ ζ'. Τὸ ιδ' ἰαμβικὸν ἑφθημιμερές, τοῦ β' ἀναπαίστου. Τὸ ιε' ἐπιωνικὸν δίμετρον ἀκατάληκτον· καλοῦσι δὲ τοῦτο ἄτακτον διὰ τὸ μὴ ἔχειν τὴν α' συζυγίαν τροχαϊκὴν ἀλλὰ ἰαμβικὴν καὶ μὴ ἐν τῇ α' χώρᾳ τὸν σπονδεῖον ἀλλ' ἐν τῇ β'. Τὸ ις' ἐπιωνικὸν καθαρὸν δίμετρον ἀκατάληκτον, καθαρὰν ἰαμβικὴν ἔχον τὴν α' συζυγίαν. Ἐπὶ τῷ τέλει ἑκάστης στροφῆς καὶ ἀντιστροφῆς παράγραφος.

Περὶ τῶν κώλων τῶν ἐπῳδῶν.

Αἱ ἐπῳδοὶ κώλων ι'. Τὸ α' ἰαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ β' ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον, τοῦ α' ἀναπαίστου. Τὸ γ' ἀναπαιστικὸν δίμετρον καταληκτικὸν εἰς συλλαβήν, ἤτοι ἑφθημιμερές. Τὸ δ' Ἰωνικὸν δίμετρον ὑπερκατάληκτον, καταλῆγον εἰς τραχαϊκὴν συζυγίαν. Τὸ ε' δακτυλικὸν ἑφθημιμερές. Τὸ ς' προσοδιακὸν τρίμετρον καταληκτικόν, τοῦ α' Ἰωνικοῦ ἀπὸ μείζονος, τοῦ β' χοριάμβου, τοῦ γ' Ἰωνικου ἀπ' ἐλάσσονος καταληκτικοῦ. τοῦτο καὶ ἀναπαιστικόν ἐστι δίμετρον ἀκατάληκτον, σπονδείου ἀρχομένου. Τὸ ζ' ἐπιωνικὸν τρίμετρόν βραχυκατάληκτον· ἐμοὶ δὲ τοῦτο ἀσυνάρτητον δοκεῖ, ἐξ ἰαμβικῆς συζυ-

---

1 ἤγουν ι'. — 3 γὰρ om. ε. — τετάρτοι (sic) τρ. μ'. — 4 σμίγεσθαι μ'. — ἰάμβοις (ω supra) ξ'. — 7 ιβ'] ιδ' μ'. — 10 τὸν σπονδεῖον ι' et Boeckh, τῶν σπονδείων cett. — 12 ἔχων ξ'. — 14 om. ε. — 15 αἱ ἐπῳδοὶ ι', ἑκάστη ἐπῳδὸς cett. — 17 ἤγουν ι'. — 24 ἐμοὶ δὲ δοκεῖ (β) τοῦτο (α) ἀσυνάρτ. μ'.

γίας. Τὸ η΄ περιοδικόν, διπλοῦς τροχαῖος καὶ διπλοῦς ἴαμβος, ἤτοι δίμετρον ἀκατάληκτον. ἔχει δὲ ἀντὶ τροχαίων σπονδείους· διὸ καὶ ἐπιλαμβάνονται τούτου ὡς σπονδεῖον ἔχοντος ἐν περιττῇ συλλαβῇ· ἀνοίκειον γὰρ τοῦτο τῷ τροχαϊκῷ μέτρῳ. Τὸ θ΄ Ἰωνικὸν δίμετρον βραχυκατάληκτον, ἤτοι ἡμιόλιον. ἔχει δὲ τὸν α΄ πόδα παίωνα β΄ ἀντὶ Ἰωνικοῦ. Τὸ ι΄ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐννεασύλλαβον, ὃ καλεῖται Σαπφικὸν, ἐκ τροχαίων ἀρχόμενον. πλεονάζει δὲ τοῦ Γλυκωνείου μιᾷ συλλαβῇ. Ἐπὶ τῷ τέλει τὰ συνήθη σημεῖα.

---

1. ***Pal.*** *Οὗτος ὁ Ἀρχίλοχος πρὸ τῶν λυρικῶν ἦν, ὃς ἐφεῦρε τὸν Τήνελλα ὕμνον ᾄδεσθαι τοῖς νικηταῖς. οὗτινος ᾀσθέντος καὶ ἐπὶ τῷ παρόντι νικητῇ, βούλεται τοῦτον ἐγκωμιάσαι καὶ αὐτὸς ὁ ποιητής. διὸ λέγει· ἀρκετὸν μὲν ἐγένετο τῷ Ἐφαρμόστῳ ὁ ὕμνος τοῦ Ἀρχιλόχου ᾀσθεὶς εἰς αὐτὸν πρὸ τοῦ φθάσαι ἡμᾶς· ὅμως βούλομαι καὶ αὐτὸς ἐγκωμιάσαι αὐτόν.*

Th. *Ἀρχίλοχος ἦν λυρικὸς ποιητής, ἐποίησε δὲ πρὸς τὸν Ἡρακλέα ὕμνον λέγοντα Καλλίνικε χαῖρε καὶ ἕτερ᾽ ἄττα. ἐπειδὴ δὲ ἡ τῆς μουσικῆς φωνὴ ἄναρθρός ἐστιν, ἐμηχανήσατο αὐτὸς*

---

2 *ἤγουν ι΄΄.* — **3** *ἔχον* Vrat. *A.* — *ἐμπεριττῇ* Vrat. A, Mosc. B, *ἐνπεριττῇ μ΄, ἐν περιττῇ ξ΄.* «Si quid video, metricus hoc vult, contra regulas artis trochæorum in sede impari. hoc est in primo pede potorum alteram syllabam longam esse. Sed hoc mire dictum est: itaque hæc verba corrupta arbitror.» *Boeckh.* — **5** *ἤγουν ι΄΄.* — **6** *ἀντὶ Ιωνικὸν κ.* — **7** *σαμφικὸν κ μ΄.* — **9** *ἐπὶ* — *σημεῖα* om. *ξ΄.* — **10** In Vrat. *κ ι΄΄ μ΄ ξ΄* ante scholia inscriptio *σχόλια τῶν αὐτῶν* legitur. — Hoc scholium Bœckh primus edidit. — **13** *δι᾽ ὃ λέγει· ἀρκετὸς* ed. Bœckh — **16** In *φ΄* a prima manu nihil nisi *Ἀρχίλοχος* — *Ἡρακλέα* legitur, cetera a manure centiore scripta Moschopulea sunt. Etiam *ξ΄* in scholiis ad Ol. IX 25 — XII Moschopuleus est. — Etiam hoc scholium a Bœckhio primum editum est ex Vrat. C. Mosc. B. — *ποιητὴς λυρικὸς κ.* — **17** *ἕτεράττα Δξ΄, ἑτεράττα κ ι΄΄ μ΄.* — **18** *δὲ* omm. *Γξ΄.* — *φωνὴ*] *ἀναφορὰ τῆς φωνῆς κ.* — *ἔναρθρος ξ΄.* — *ἐμηχανίσατο Γξ΄.*

ἀπήχημά τι ταύτης ἔναρθρον ποιῆσαι, ὅπερ ἐστὶ τὸ Τήνελλα προσᾳδόμενον τῷ ὕμνῳ. ἐλέγετο δὲ ὁ ὕμνος ἐκ τρίτου πρότερον μὲν εἰς Ἡρακλέα ῥηθείς, ἐπικρατήσας δὲ ὕστερον καὶ εἰς τοὺς Ὀλυμπιονίκας λέγεσθαι, ὥσπερ καὶ ἐπὶ τῷδε τῷ Ἐφαρμόστῳ. λέγει οὖν Πίνδαρος, ὅτι τὸ μὲν μέλος τοῦ Ἀρχιλόχου ἐῤῥήθη τῷ Ἐφαρμόστῳ ἐν Ὀλυμπίᾳ νικήσαντι· νῦν δὲ ἐγὼ ὕμνοις αὐτόν τε καὶ τὸν ἐν Ὀλυμπίᾳ Δία κοσμήσω. ἔστι δὲ τὸ φωνᾶεν Ὀλυμπίᾳ διὰ μέσου· τὸ δὲ μέλος ἑρμηνεύει διὰ τοῦ τριπλόος ὁ καλλίνικος κεχλαδὼς οὕτω· τὸ μὲν Ἀρχιλόχου μέλος ὁ τριπλόος καὶ ἐκ τρίτου ᾀδόμενος καλλίνικος φωνᾶεν καὶ φωνηθὲν ἐν τῇ Ὀλυμπίᾳ τῷ Ἐφαρμόστῳ κωμάζοντι καὶ χαίροντι σὺν τοῖς φίλοις ἑταίροις παρὰ τὸν Κρόνιον λόφον ἤρκεσε καὶ ἀρκετὸν ἐφάνη ἀγεμονεῦσαι καὶ καθηγήσασθαι, τουτέστιν ἀρκεῖ προῤῥηθέν.

gl. 1. * * Τὸ προοίμιον ἀπὸ τοῦ νικητοῦ. — ὁ διὰ μουσικῆς ὕμνος. — 2. * φωνηθέν· — * * τὸ φωνῆεν. — ἐν τῇ.

3. *Germ.* Τὸ κεχλαδὼς ἀντὶ τοῦ ὁ εἰς χόρον ἐλθὼν τοῦ ᾄδεος. χλιδᾶν γὰρ τὸ τρυφᾶν καὶ εἰς χόρον φέρεσθαι τοῦ τινος πράγματος.

gl. 3. ἤγουν ἐκ τρίτου. — ὁ δεχόμενος τὸ χαῖρε· — * εὐτυχήσας· — * * εὐτυχής. — 4. ἀρκετὸν ἐφάνη. — * εἰς. — ἤτοι τὴν Ὀλυμπίαν. — 5. καθηγήσασθαι καὶ προῤῥηθῆναι. — 6. χαίροντι καὶ πανηγυρίζοντι. —

---

1 ἀπηχήματι ταύτης z. — ὅπερ ἐστι Δz. — τήνελα Γ Vrat. z ι'' μ' ξ'. — 3. 4 κ. πρὸς τ. Γ. — 5. 6 Verba λέγει — Ἐφαρμόστῳ ex ΓΔι'' addidi. — 6 ἐρέθη ι''. — 7 τε om. Γ. — ὀλ. διακοσμήσω z μ' ξ'. — 8 φωνᾶ ἐν Δ Vrat. z μ' ξ'. — μέλλος ξ'. — 8. 9 διὰ τὸ τρ. Δ. — 10 ὁ omm. ΓΔ. — καλλ. καὶ φωνηθὲν φωνὰ ἐν ξ'. — 10. 11 φωνηθὲν ΓΔ z ι'' μ' ξ'. φωνηεν ἐν (sic) Vrat., φωνῆεν cett. — 11 σὺν] ἐν Γ. — 12 ἑτέροις ι''. — ἀρεκτὸν Δ. — 13 ἀγεμ. ΓΔ, ἡγεμ cett. — 14 προρηθὲν ξ'. — 17. 18 τοῦ ἄδας U. — 18 τινὸς U.

8. Pal. Ἑκαταβόλων] ἀπὸ τοῦ μακρὰν καὶ πανταχοῦ πέμπεσθαι τοὺς ὕμνους.

gl. 8. μακρὰν πεμπόντων τὰ βέλη. — 9. ἃ Μοῦσαί μοι ἔδωκαν. — 10. * ἐπί. — τὸν πυρώδη ἀστραπὴν ἔχοντα. — 11. τὸ σεβάσμιον. — ἔπελθε, ὦ στόμα. — 12. * ἤτοι τὴν Ὀλυμπίαν. — 14. τὸ ἀκρωτήριον, ἀπὸ μέρους τὴν Πελοπόννησον. — 15. ἤτοι ἔλαβε παρ' Οἰνομάου. — 16. * προῖκα. — 17. πέμπε. — 18. κἀνταῦθα γὰρ ἐνίκησεν. — ἤτοι ἔπαινον.

1—18. M. Τὸ μὲν μέλος, ὅπερ ὁ Ἀρχίλοχος συνέθηκεν ἐν Ὀλυμπίᾳ, τὸ φωνᾶεν, ἤγουν τὸ μετεώρῳ φωνῇ ᾀδόμενον, λέγω ὁ καλλίνικος ὁ τριπλοῦς κεχλαδώς· ἐπιῤῥηματικῶς τὸ τριπλοῦς ἀντὶ τοῦ ἐκ τρίτου· ἤτοι ὁ καλλίνικος ὁ ἐκ τρίτου κεχλαδώς, τουτέστι τὸ χαῖρε δεχόμενος, ἤγουν τὸ μέλος τὸ καλλίνικε χαῖρε τὸ ἐκ τρίτου λεγόμενον, ἱκανὸν ἐγένετο κατὰ τὸν ὄχθον, ἀντὶ τοῦ τὸν λόφον τὸν Κρόνιον πρηγήσασθαι κωμάζοντι (6) τῷ Ἐφαρμόστῳ, ἤγουν τὴν ἐπὶ τῇ νίκῃ χορείαν τελοῦντι σὺν τοῖς ἑταίροις αὐτοῦ, τουτέστι τοῖς συνήθεσι, τοῖς προσφιλέσιν. ἀλλὰ νῦν (8), ὦ ψυχὴ δηλονότι, διὰ τόξων Μουσῶν πόῤῥω βαλλόντων, ἀντὶ τοῦ διὰ λόγων ἐγκωμιαστικῶν, οὓς αἱ Μοῦσαι παρέχουσι, πόῤῥω τὴν εὐφημίαν πεμπόντων, τὸν

---

1 Lemma ego addidi. — 9—18 προσφ. om. z. — 9 Lemma τὸ μὲν ἀρχιλόχου μέλος omisi cum a. — σύνταξις marg. μ' ξ'. — ὅπερ] ὃν a, om. q. — ὁ om. a. — 10 φωνᾶεν edd. — τὸ] τῷ a ξ' μ'ac ed. Ro. et Ox., τὸν q. — 11 καιχληδώς q. — κεχλ. ἐπιῤῥ. τὸ om. ξ'. — 12 ἤγουν ι''. — 13 μέλλος a ξ'. — 14 τὸ omm. edd. — 14. 15 τὴν ὄχθον a. — τὸν ante λόφον om. a. — 15. 16 κωμάζοντες edd. ante Beckium. — 16 ἤγουν τὴν ex a q ι'' μ' ξ' ed. Ox. addidi. — τὴν νίκην q ξ', τῷ νίκην Vrat. — τὴν χορ. edd. — 18 A voce ἀλλὰ novum comma incipit in Vrat. ι'' ξ'; σύνταξις marg. μ' ξ', in ξ' etiam lemma ἀλλὰ νῦν ἑκαταβόλων extat. — τόξων] τῆς a. — 19 μουσῶν a q κι'' μ', μουσικῶν cett. — βάλλοντι z.

Δία τε τὸν τῆς πυρώδους καὶ λαμπρᾶς ἀστραπῆς αἴτιον ἐπίνειμαι, ἤγουν ἐπέξελθε, τόξευσον, τουτέστιν ὕμνησον τοιοῖσδε μέλεσιν, ἤτοι διὰ τοιούτων ποιημάτων, καὶ τὸ σεβάσμιον ἀκρωτήριον τῆς Ἤλιδος, ἤγουν τὴν Ὀλυμπίαν, ὕμνησον δηλονότι. ὅπερ (14) *ποτὲ ὁ Πέλοψ ὁ ἥρως ὁ ἀπὸ τῆς Λυδίας ἐξήρατο, ἀντὶ τοῦ ἤρατο, ἤτοι ἔλαβεν, ἕδνον κάλλιστον, ἀντὶ τοῦ προῖκα καλλίστην τῆς Ἱπποδαμείας. βέλος δὲ γλυκὺ πτερωτόν, ἀντὶ τοῦ λόγον ἐγκωμιαστικὸν ἴει, ἤγουν πέμπε Πυθωνάδε, τουτέστι πρὸς τὴν Πυθῶνα. μέμνηται δὲ καὶ τῆς Πυθῶνος, ἐπειδὴ καὶ ἐν αὐτῇ ἐνίκησεν ὁ Ἐφάρμοστος.*

gl. 19. *ταπεινῶν καὶ φαύλων.* — 20. * † *τοῦ Ἐφαρμόστου.* — * *ἐν.* — 21. * *τῇ μουσικῇ·* — * * *κιθάραν.* — * *ᾄδων καὶ μέλη πλέκων. εἰ δὲ φόρμιγγα εἴποις αἰτιατικήν, τὸ ἐγχελίζων ἀντὶ τοῦ κρούων λάβῃς.* — 22. *πόλις μητρόπολις** *Λοκρίδος.* — 23. *ἐπαινέσαις τὴν Ὀποῦντα.* — *τὸν πολίτην αὐτῆς Ἐφάρμοστον.* — 24. *Ὀποῦντα.* — *ἡ δικαιοσύνη.* — * * *καί.* — *αὐτῆς.*

25. *Th. Σώτειρα Εὐνομία] σώζει γὰρ ἡ Εὐνομία τὰς πόλεις. λέγει δέ, ὅτι ἡ Ὀποῦς εὐνομίᾳ καὶ δικαιοσύνῃ χαίρει. θυγάτηρ δὲ ἡ Εὐνομία Δικαιοσύνης, ἐπειδὴ οἱ νόμοι δικαίου χάριν ἐτέθησαν.*

gl. 26. *ἡ μεγάλα καλὰ δωρουμένη τοῖς ἔχουσιν.* — 27. *σεμ-*

---

1 *π. τὲ καὶ z.* — *ἐπίνεμαι a, ἐπίνειμε i'', ἐπίνειχαι* Vrat. *μ' ξ'* (?). *ἐπήνειχε z.* — 2 *τοῖς δε q.* — 3 *μέλεσιν a* Vrat. *z i'' μ', μέλεσι q, μάλλεσιν ξ', βέλεσιν* edd. — *ἤγουν i''.* — 4 *ἤλιδος q.* — *δηλονότι* om. *a.* — 5 *ὁ* ante *ἀπὸ* omm. *q i''.* — *ἐξήρατο i''.* — 6 *ἤρατο ἤγουν i''.* — *ἕδνον a.* — 7 *γλυκυπτερ.* ed. Ro. et Br. — 8 *λόγον — πέμπε* om. *ξ'.* — *ἴει* Vrat. *μ', ἵει z,* om. *q.* — *πυθώναδε* Vrat. *i'' μ', πυθῶνα δὲ z ξ', πυθῶναδε q.* — 8. 9 *ἀντὶ τοῦ εἰς τὴν q.* — 9 *πρὸς* om. *a.* — 15 *ἐπαινέσας Γ* etiam in textu. — 18 Lemma omm. *ΓΔ*, totum scholium deest in *z.* — 37 *Ὀπούς Γ.* — *χαίρει* om. *Γ.*

νύνεται ἡ Ὀποῦς. — ταῖς τοῦ Ἐφαρμόστου. — * * δύο σσ εἰς τὸ ἴσσον χρὴ γράφειν ἵν' εἴη τὸ ι μακρόν· ἔνθα δέ ἐστιν ἕν, βραχύ ἐστιν. — 28. ἤτοι ἐν Πυθίοις. — 29. *εἰς τὴν Ὀλυμπίαν· — * * ἐν τῇ Ὀλυμπίᾳ. — 30. τῆς Ὀλυμπίας καὶ τῆς Πυθῶνος. — ἤτοι στέφανοι. — 31. ὑψοῦσι, σεμνύνουσιν· οἱ γὰρ τοῦ πολίτου στέφανοι καὶ τῆς αὐτοῦ πόλεως γίνονται. — 32. τὴν Ὀποῦντα. — τὴν ἀγλαοῖς θάλλουσαν δένδρεσιν, ὅπερ ἐστὶ γῆς ἀρετή.

18—32. M. Οὔτοι χαμαιπετέων] μὴ δῆτα ἅψῃ λόγων χαμαὶ κειμένων, τουτέστιν ὑπτίων, εὐτελῶν· ἤγουν μὴ χρήσῃ εὐτελέσι λόγοις, ἐλελίζων, ἤτοι κινῶν φόρμιγγα ἐπὶ τοῖς παλαίσμασι τοῦ ἀνδρός, ἀντὶ τοῦ χάριν τῆς ἐν πάλῃ νίκης τοῦ ἀνδρὸς τοῦ ἐκ τῆς ἐνδόξου (22) Ὀποῦντος. αἰνήσαις, ἀντὶ τοῦ ἐπαίνεσον, ὕμνησον αὐτὴν τὴν πόλιν τὴν Ὀποῦντα καὶ τὸν υἱόν, ἀντὶ τοῦ τὸν πολίτην αὐτῆς, δηλονότι τὸν Ἐφάρμοστον, ἥντινα, ἤγουν τὴν πόλιν, λέλογχε, τουτέστιν εἰς κλῆρον ἔλαβεν, ἡ Θέμις, ἀντὶ τοῦ ἡ Δίκη, καὶ ἡ θυγάτηρ αὐτῆς ἡ τὰς πόλεις σώζουσα ἡ κατὰ πολὺ τιμία Εὐνομία. ἕπεται γὰρ τῇ δίκῃ τὸ καλῶς τοῖς νόμοις χρῆσθαι. θάλλει δὲ (27) αὐτὴ ἡ Ὀποῦς, ἤγουν λαμπρά ἐστιν ἐπ' ἀρεταῖς, τουτέστιν ἐπ' ἀριστείαις, τουτέστιν ἐπ'

---

3 Notulam Triclianam ex μ' ν' (cod. Mosc. B) edidit Mommsen in Annotationis Criticæ supplemento p. 121. — 2 δέ ἐστιν Mommseni ed. — 9 σύνταξις Boeckh in textu, μ' ξ' in marg. — ἅψῃ qz. — 11 εὐτελέσι λόγοις aq, λόγων εὐτελῶν z, λόγοις εὐτελέσιν cett. — τὴν φόρμ. edd inde ab Oxx. — 12 ἀντὶ — ἀνδρὸς omm. Vrat. z μ' ξ' et edd. ante Beckium, qui lacunam codicum ab Oxx. allatorum ope supplevit. — τῆς ἐν π. νίκης ι'q, τῆς π. ν. a, τῆς νίκης τῆς ἐν τῇ πάλῃ edd. — 13 αἰνέσαις ξ'. — 14 ἐπαίνησον ξ'. — 16 ἡ Θέμις] ἡ θέτις ἢ ἡ θέμις z. — 17 ἡ θυγατέρα q. — 18 κατὰ πολὺ ξ', καταπολὺ cett. — τιμίαις ξ'. — εὐν. τιμία Vrat. — 19 ἠπούς a, ὀπούς q.

ἀνδραγαθίαις ἐπίσης τε ἐν τῇ Κασταλίᾳ, ἤγουν ἐν τῇ Πυθῶνι καὶ πλησίον τοῦ ῥεύματος τοῦ Ἀλφειοῦ, ἤτοι καὶ ἐν τῇ Ὀλυμπίᾳ· ὅθεν (30), *ἤγουν ἀπὸ τῆς Κασταλίας καὶ τοῦ Ἀλφειοῦ, στεφάνων ἐξαίρετοι κόσμοι ἐπαίρουσι, τουτέστι μεγαλύνουσιν, ὑμνοῦσι τὴν Ὀποῦντα τὴν μητρόπολιν τῶν Λοκρῶν, τὴν περιᾳδομένην, τὴν ἀγλαόδενδρον, ἤγουν τὴν εὐθαλῶν δένδρων αὐξητικήν, τουτέστι τὴν εὔγειον.*

33. *Germ.* *Ἡ σύνταξις αὕτη· ἐγὼ δὲ ταύτην τὴν φίλην πόλιν ἐν ἀοιδαῖς μαλεραῖς καὶ ἐκδήλοις καὶ φωτειναῖς ἐπιφλέγων καὶ καταυγάζων καὶ μεγαλύνων καὶ λαμπρύνων, πανταῖ καὶ πανταχοῦ πέμψω ταύτην τὴν ἀγγελίαν καὶ τὴν αἴνεσιν καὶ θᾶσσον καὶ ταχύτερον τοῦ ἵππου τοῦ ἀγάνορος καὶ τῆς νηὸς τῆς ὑποπτέρου.*

gl. 33. *τὴν Ὀποῦντα,* — 34. *δίκην πυρὸς ἀστραπτούσαις.* — * † *λαμπρύνων.* — * *ὕμνοις·* — * * *ᾠδαῖς.* — 35. *ἄγαν ἀνδρείου καὶ ἱππικωτάτου.* — * † *ταχύτερον.* — 36. *τῆς δίκην πτερῶν τὰ ἱστία ἐχούσης.* — 37. * *τὸν ὕμνον ὃν πρὸς τὸν πολίτην αὐτῆς πλέκων καὶ αὐτὴν ἀΐδιον θήσω μέχρις ἂν παρ' ἀνθρώποις ὦσι λόγοι.* — 38. *θείᾳ εὐτυχίᾳ.*

39. *Th.* *Φησὶν Ἡσίοδος ἐν Θεογονίᾳ μετὰ Μουσῶν εἶναι τὰς Χάριτας* (Theog. 64)· *πὰρ δ' αὐταῖς Χάριτές τε καὶ Ἵμεροι οἰκί' ἔχουσιν.*

---

1 *ἤγουν* om. *a*. — 2 Post *ῥεύμ.* libros *a q ι''* secutus delevi *τοῦ ποταμοῦ.* — *ἤγουν ι''*. — 6 *εὐθαλλῶν a*. — 7 *εὔγιον a*, *εὔγειον ι''ξ*, *εὔγαιον* Vrat., *εὐγεων* cett. — 4 Hoc scholium e scholio veteri quod in cod. Par. G legitur, auctum est. — Delevi *δὲ* post *ἤ*. — 11 *ταύτην* excidit apud Mommsenum. — 17 Glossa Thomana in Vrat. *ι''μ'* præfixo lemmate *ἀγγελίαν* in scholiorum ordinem recepta est. — 20 Hoc scholium deest in *z* (et *ξ'*). — Lemma *ἐξαίρετον Χαρίτων* est in codd. mixtis et edd. — *θεογωνία Γ*. — *κατὰ* ed. Ox. — 21 *ἵμεροι Δ*, *ἵμερος* edd. inde a Beckio.

gl. 39. *θαυμασιώτατον.* — *βόσκομαι.* — * † *ἤγουν εἰ μετὰ Μουσῶν καὶ Χαρίτων τοὺς λόγους μεταχειρίζομαι.* — 40. *αἱ Μοῦσαι μετὰ Χαρίτων παρέσχον ἐμοί.* — 41. *τὰ κάλλιστα περὶ λόγους.*

33—41. *M.* *Ἐγὼ δὲ τὴν προσφιλῆ ἐμοὶ πόλιν ταύτην τὴν Ὀποῦντα φλέγων, ἀντὶ τοῦ λαμπρύνων ᾠδαῖς μαλεραῖς, τουτέστι λαμπραῖς, ταχύτερον καὶ ἵππου ἀγάνορος, ἤτοι πάνυ γενναίου (ἀπὸ μεταφορᾶς τῶν ἀνδρῶν· ὁ ἀγήνωρ γὰρ ἐπὶ ἀνθρώπων λέγεται κυρίως καὶ ἔστι ταὐτὸν τῷ ἀνδρεῖος· ἵπποι δὲ λέγονται κατὰ τοῦτο γενναῖοι καὶ ἀγέρωχοι καὶ εὔψυχοι) καὶ νηὸς ὑποπτέρου, ἀντὶ τοῦ ταχυτάτης, θᾶττον πέμψω πανταχόσε ταύτην τὴν ἀγγελίαν* (37) *τὴν περὶ τῶν ἀνδραγαθημάτων, αὐτῆς δηλονότι καὶ τῆς εὐνομίας, εἰ σύν τινι μοιριδίῳ· δύναται τὸ εἰ ἐνταῦθα καὶ ἀντὶ τοῦ ἐπεὶ λαμβάνεσθαι καὶ διστακτικῶς, ἄμεινον δὲ τὸ δεύτερον· εἰ σὺν παλάμῃ τινί, ἀντὶ τοῦ βοηθείᾳ μοιριδίῳ, τουτέστι μοίρας κρείττονος, κῆπον ἐξαίρετον καρποῦμαι Χαρίτων, ἀντὶ τοῦ δύναμιν λόγων, ἣν Χάριτες ἐφορῶσι, τουτέστι*

---

5 Lemma *ἐγὼ δὲ τοι φίλαν* est in Vrat. *z μ'* et in edd. antt., *ἐγὼ δέ τοι* in *ι'* et ed. Bœckh, lemma deest in *a q ξ'* et in edd. Beck. et Heyn. — *σύνταξις μ' ξ'* in marg., Bœckh in textu. — *προσφιλεῖ ξ'.* — *πόλιν ἐμοὶ* (om. *ταύτην*) *q.* — 6 *τουτέστι aq ξ'*, *ἤγουν* cett. — 7 *ἵππον q.* — *ἤγουν ι'.* — 7. 8 *παγγενναίου ξ'.* — *γενναίου a.* — 8. 9 *γὰρ κυρ. ἀνθρ. λέγ. z.* — 9 *λέγ. κυρ. a q ξ'*, *κυρ. λέγ.* cett. excepto *z* codd. — 9 *ταυτο ι' μ'* et edd. Ro. et Br. — *τὸ* Vrat. *z μ' ξ'* et edd. Ro. et Br. — *ἀνδρεῖον a.* — 11 *λέγεται ξ'.* — *ἀγέρωχοι* Vrat. *z μ' ξ'* et edd. ante Oxx. — 11 *θάττον a.* — 12 *ἀγγ. δηλονότι τὴν z.* — 12. 13 *ἀνδραγ. δηλονότι αὐτῆς καὶ ι'.* — 13 *δηλ.* om. *z.* — Inde ab *εἰ σὺν* novum scholium incipiunt Beck, Heyne, Bœckh. — 14 *τοῦ* om. *ι'.* — *ἐπεὶ λαμβ.*] *ἐπιλαμβ. ξ'.* — *διστατικῶς* Vrat. *ξ'.* — 17 *τῶν χαρ. ι'.* — *ἣν αἱ χάρ.* codd. et edd. *a q ξ'* exceptis. — *ἀφορῶσι μ'*, *φοροῦσι ι'.*

Χαρίτων μετέχουσαν. κεῖναι γὰρ (40), *ἤγουν αἱ Χάριτες παρέσχον τοῖς ἀνθρώποις τὰ τέρψιν ἐμποιοῦντα.*

gl. 41. *κατὰ φρόνησιν καὶ ἀνδρείαν.* — 42. *κατὰ τὴν τῶν θεῶν βούλησιν.*

43. *Th. Τραχίνιόν τινα ἀνελὼν Ἡρακλῆς προστάξαντος Ἀπόλλωνος ἔρχεται εἰς Νηλέα τὸν Ποσειδῶνος, ἵνα ὑπ' αὐτοῦ καθαρθείη τοῦ φόνου. μὴ βουληθέντος οὖν τοῦ Νηλέως πόλεμον συνέστησε πρὸς αὐτὸν Ἡρακλῆς καὶ πρὸς τὸν τούτου πατέρα Ποσειδῶνα τῷ παιδί συμμαχοῦντα.*

gl. 43. *εἰ μὴ τοῦτό ἐστιν ὅ φημι.* — 44. *τοῦ τρίαιναν ἔχοντος Ποσειδῶνος.* — 45. * *ῥάβδον.* — * *ἐκίνησε.* — 46. *ἧς ἦρχε Νηλεὺς ὁ Νέστορος πατήρ.* — 47. *ἐπίεζεν αὐτόν·* — ¶ *ἐμάχετο αὐτῷ.* — * * *ὁ.*

48. *Germ. Τὸ ἀργυρέῳ τόξῳ πολεμίζων ἀντὶ τοῦ· ἐλθὼν ὁ Ἡρακλῆς ἐν τῇ Πυθῶνι καὶ ἀκούσας μὴ χρησμὸν διδόναι τὸν θεόν, διὰ τὴν ἀνηκοΐαν τὴν εἰς αὐτὸν ἀφείλατο τὸν τρίποδα ἐναντιούμενος τῷ θεῷ.*

Th. Ἐλθὼν εἰς Πυθίαν Ἡρακλῆς ὑπέρ του χρησόμενος τῷ Ἀπόλλωνι ἤκουσε παρὰ τῆς Πυθίας μὴ εἶναι τὸν θεὸν ἐνταῦθα μηδὲ μαντεύεσθαι. ὀργισθεὶς οὖν ἐπὶ τούτῳ τὸν τρίποδα λαβὼν ἔρριψεν ὥσπερ μάχην ἐντεῦθεν ἀνταίρων πρὸς τὸν θεόν.

5 Lemma *ἱστορία περὶ ἡρακλέους* est in ed. Bœckh., idem legitur in marg. Vrat. *ι' μ'*, *περὶ ἡρ.* est lemma in *z*, qui *ἱστορία* in marg. exhibet; idem *ἱστορία* est lemma in edd. — *ὁ ἡρ. ι'.* — **7** *καταρθείη ι'.* — *φόβον z μ'.* — *νηλέος ι'.* — **8. 9** *πατ. τὸν ποσ. συμμ. τῷ παιδὶ Γ.* — **9** *Ποσ.* om. *z.* — *συμμαχοῦντι* edd. ante Beck. — **12** *ἐπίαζεν αὐτὸν* omm. *Δ* et pars codicum mixti generis. — **14** Post *τὸ* delevi *δέ.* — **16** *ἀφείλετο* Mommseni ed. — **18** Lemma *ἑτέρα περὶ αὐτοῦ* est in ed. Bœckh. et in marg. Vrat. *z μ'*, *ἑτέρα* cett. codd. — *του ΓΔι'*, *τούτου* cett. — *χρησάμενος Γ.* — *τῷ* om. *ι'.* — **20** *μὴ δὲ Γz.* — *οὖν* excidit in edd. Heyn. et Bœckh.

gl. 48. * ἐπίεζεν· — ἐμάχετο. — ** καί.· — τὸν Ἡρακλέα. — * * συνίζησις.

50. *Th.* Ἐπολέμησε δὲ πρὸς τὸν Ἅιδην, ὅτε ἀπελθὼν τὸν Κέρβερον λαβεῖν ἐκωλύετο παρ' αὐτοῦ. λέγει οὖν, πῶς ἂν Ἡρακλῆς τοῦτο ἐποίησε, μὴ ὑπὸ Διὸς τοιοῦτος γεγονώς;

gl. 50. * * ὁ Ἀπόλλων. — πρὸς Ἡρακλῆ.

52. *Th.* Δέον εἰπεῖν βροτῶν πρὸς τὸ θνησκόντων βρότεα εἶπε πρὸς τὰ σώματα.

gl. 52. ἀνθρώπινα. — * ἐν· — * * ἐν ᾗ. — * * καταβιβάζει. — 53. εὐρύχωρον τόπον τοῦ Ἅιδου· — * * ἤτοι τὴν δίοδον, τὸν στενωπόν.

54. *Th.* Τὸ μοι οὐκ ἔστι πρὸς τὸ στόμα, ὡς οἴονταί τινες, ἀλλ' ἔστι πρὸς τὸ ῥίψον, καὶ ἔστιν ὅμοιον τῷ ἀφαιρῶ σοι τὴν νόσον.

gl. 54. τὸν περὶ τῶν θεῶν. — 56. ἀτιμάσαι. — 57. κακῇ. — 58. ἀπρεπῶς καὶ μετὰ μνήμης θεῶν.

59. *Germ.* Ὑποκρέκειν τὸ γαληνίως ὑπᾴδειν. ἔνεστι δὲ τόδε, ὁπότε ὁ μουσικὸς ῥυθμίζει τὰς τούτου χορδάς.

---

3 Lemma *ἑτέρα περὶ αὐτοῦ* est in ed. Bœckh. et in marg. Vrat. μ', *ἑτέρα* in cett. edd. — *ἐπολέμισε Γ.* — *δὲ* ex *ΓΔ* addidi. — *ἐπολέμησεν ἡρ. πρ. τ. Ἅιδην z.* — Post *Ἅιδην* delevi *Ἡρακλῆς* libros *ΓΔ* secutus. — 5 *ταῦτα i''.* — *ταῦτα* — *Διὸς* om. Vrat. — *τοιοῦτο i''.* — 6 Ad v. 50 hoc scholium legitur in *b*: *Οὗτος ὁ ἅδης βασιλεὺς ἦν τῶν μολοσσῶν, ὃς εἶχε τὸν κύνα τὸν καλούμενον κέρβερον.* — *πρ. τὸν ἡρακλέα* codd. mixti. — 7 Hoc scholium om. *z.* — 8 *βρότεια Γ.* — 12 Hoc scholium *Δ* inter glossas habet, om. *z.* — *σύναψον τὴν ἀπὸ μετὰ τοῦ ῥίψον, ἵνα ᾖ ἀπόρριψον. τὸ δὲ μοι μετὰ τοῦ στόμα, ἵνα, ᾖ, ὦ στόμα μοι* est scholium marg. int. libri *b.* — Lemma *ἀπό μοι στόμα* est in codd. mixtis et edd. — *τὸ σῶμα Γ.* — 13 *τὸ ῥίζαν Δ.* — *ἔστιν* om. Vrat. — *τὸ ἀφ. Γi''.* — 17 Ad v. 59 glossator libri *b* hæc annotavit: *τοῦτο λέγει, ἐπεὶ εἶπε* (v. 39) *πῶς καρποῦται τὸν κῆπον τῶν Χαρίτων.* — *τὸ γαληνιάζειν, ὑπ.* Mommseni d. — Hucusque ξ' a me collatus est.

gl. 59. *ὑπηχεῖ, τουτέστι μανίας ἐγγύς ἐστιν.*

41—59. M. *Ἀγαθοὶ δὲ ἐγένοντο ἄνδρες, ἤγουν ἀνδρεῖοι καὶ σοφοί, τουτέστι φρόνιμοι κατὰ δαίμονα, ἀντὶ τοῦ κατὰ μοῖραν θείαν. ἐπεὶ εἰ μὴ ἐγένοντο δηλονότι κατὰ μοῖραν θείαν φρόνιμοι καὶ ἀνδρεῖοι, πῶς ἂν ὁ Ἡρακλῆς ἐναντίον τῆς τριαίνης τοῦ Ποσειδῶνος ἐτίναξεν, ἤγουν σὺν σφοδρᾷ ὁρμῇ ἐκίνησε διὰ τῶν χειρῶν τὴν σκυτάλην, τουτέστι τὴν ῥάβδον, τὸ ῥόπαλον, ὁπηνίκα* (46) *ὁ Ποσειδῶν στὰς ἤρειδεν, ἀντὶ τοῦ ἐπίεζεν αὐτὸν ἀμφὶ τὴν Πύλον, ἀντὶ τοῦ κατὰ τὴν Πύλον, ἐπίεζέ τε αὐτὸν ὁ Φοῖβος δι' ἀργυροῦ τόξου πολεμῶν αὐτῷ δηλονότι. οὐδὲ ὁ Ἅιδης* (50) *εἶχεν ἀκίνητον, ἤγουν ἀνενέργητον τὴν ἑαυτοῦ ῥάβδον, δι' ἧς κατάγει τὰ σώματα τῶν ἀνθρώπων εἰς τὴν ἀγυιάν, ἤτοι τὴν δίοδον, τὸν στενωπὸν τὸν κοῖλον τῶν ἀποθνησκόντων, τουτέστι τὰς καταδύσεις τῆς γῆς, ἃς οἱ ἀποθνήσκοντες διέρχονται. συνάπτει μὲν τὴν μάχην τῶν θεῶν τούτων τὴν πρὸς τὸν Ἡρακλῆ, ἀντιτάττει δὲ αὐτὸν τῇ τριαίνῃ μόνῃ τοῦ Ποσειδῶνος, ἀφ' ἧς συνυπακούειν δίδωσι καὶ τὴν πρὸς τοὺς ἄλλους αὐτῷ ἀντιπαράταξιν καὶ ἰσχύν. ὁ γὰρ λόγος αὐτῷ σαφέστερον οὕτως ἔχει· ἐπεὶ πῶς ἂν ὁ Ἡρακλῆς ἐναντίον τῆς τριαίνης τοῦ Ποσει-*

---

2 *σύνταξις* Bœckh in textu, *z μ'* in marg.; — *ἀγαθοὶ δὲ καὶ σοφοὶ* est lemma in Vrat. *z μ'* et edd., *ἀγαθοὶ* in *ι'*. — **3** *τουτέστι*] *ἤγουν ι'*. — **4. 5** *ἐπεὶ — φρόνιμοι* om. *q*, *ἐπεὶ — θείαν* om. *z*. — **6** *τοῦ* om. *ι'*. — *σὺν* ex *aq ι'* addidi. — *ἐκίνη σὲ διὰ a*. — **8. 9** *ἀντὶ — Πύλον* om. *z*. — **9** *ἐπιέζετο αὐτὸν* edd. ante Oxx. — **10** *ἀργ. τοῦ τόξου ι'*. — Ante *οὐδὲ* lemma *ὂδ' ἀΐδας ἀκινήταν* est in Vrat., *οὐδ' ἀΐδας* in *ι'*, *οὐδ' ἀΐδας ἀκιν.* in cett. codd. et edd. *aq* exceptis. Præterea *σύνταξις μ'* in marg., Bœckh in textu. — **11** *ἅδις a*. — **11. 12** *ῥᾶβδον z*. — **12** *κατάγει*] *κατὰ z*. — **13** *τὴν τὸν στενωπὸν a*, *τὴν στενωπὸν* Vrat. *z μ'* et edd. — *τὴν κοῖλον* Vrat. *zμ'* et edd. ante Beckium, *τὴν κοίλην* cett. — **15** *τὴν — τὴν* om. Vrat. — **16** *ἡρακλῆ aq*, *ἡρακλέα* cett. — **17** *ἄλλους* om. *q*. — **18** *καὶ* omm. Vrat. *μ'*.

δῶνος τὸ ἑαυτοῦ ῥόπαλον ἐκίνησεν, ὁπηνίκα ὁ Ποσειδῶν ἐπίεζεν αὐτὸν καὶ ὁ Φοῖβος καὶ ὁ Ἅιδης διὰ τῆς ἑαυτοῦ ῥάβδου· ἀγανακτῶν δὲ πρὸς τοῦτον τὸν λόγον ὡς προσκρούοντα τοῖς θεοῖς ἀναστέλλει ἑαυτὸν μὴ λέγειν τοιαῦτα καί φησιν· ἀπόρριψον (54), ἤγουν ὡς βάρος ἀπόθου, ὡς ἐπιβλαβῆ ἔασον τοῦτον τὸν λόγον, ὦ στόμα ἐμόν· ἐπεὶ τό γε λοιδορῆσαι θεούς, τουτέστι τὸ βλάσφημα περὶ θεῶν εἰπεῖν, ἐχθρὰ σοφία, ἤγουν μεμισημένη, καὶ τὸ καυχᾶσθαι ἔξω τοῦ καιροῦ (τοῦτο δέ φησιν ἐπεὶ Χαρίτων κῆπον εἶπε νέμεσθαι) μανίαις ὑποκρέκει, ἀντὶ τοῦ συνᾴδει, τουτέστι μανίᾳ ἐστὶν ἴσον.

60. *Germ.* Καλῶς εἶπε τὸ λαλάγει, ἐπεὶ τὸ λαλαγεῖν καὶ ἐπὶ τῶν βακχευμάτων.

gl. 60. βόα, λέγε. — 61. ῥῖψον. — * * καί. — 62. * μακράν. — * φέρε.

64. *Germ.* Παρεκέντρισε δὲ τὸ αἰολοβρόντα παραδηλῶν ὡς μετὰ τὸν κατακλυσμὸν ἐκ τοῦ Παρνασοῦ κατέβαν· ὡς καὶ ὄπισθεν εἶπε Διὸς ξενίου, παραδηλῶν τὴν Αἴγιναν ξενοδόχον, ὡσαύτως καὶ Ζηνὶ γενεθλίῳ (Ol. VIII. 20), παραδηλῶν ὡς παῖδες ὄντες ἐνίκησαν.

gl. 64. τῇ Ὀποῦντι. — * ὅπου· — * * ὅπου ἤγουν ἐν τῇ Ὀποῦντι. — * † τοῦ ποικίλα βροντῶντος. — 65. ἐν μοίρᾳ. — 66. * * κατὰ τὸν χρόνον τούτων κατακλυσμὸς ἐγένετο. — 67. ὄρους. — κατελθόντες. — 68. οἴκησιν. — * * ἐποίησαν τὴν ἀρχήν. — 69. συνουσίας. — ὁμόφυλον.

70. *Th.* Τὸν ἐπὶ τῷ Νῶε κατακλυσμὸν Ἕλληνες ἐξ ἡμῶν

---

2 ὁ φόρβος a. — 4 ἀναστέλλειν Vrat. — 6 στ. ἐμοῦ z. — ἐπεὶ] ἐπὶ a. — 7 ἐχθρᾶ Vrat. — 8. 9 φησιν — εἶπε om. Vrat. — 9 κῆπον εἶπε aq*i*', εἶπε κῆπον cett. — 15 Ante παρεκ. delevi ἢ οὕτως (ἢ οὕτω Mommseni ed.). — 16 Ante μετὰ delevi ὅτι. — 25 Lemma ἱστορία περὶ τοῦ ἐπὶ (ἐπὶ om. Boeckh) δευκαλίωνος κατακλυσμοῦ est in z μ', marg. ι', ed. Boeckh., ἱστορία in cett. edd. — ἐπὶ τοῦ Γ'z ι'.

κεκλοφότες οὕτω φασί· Διὸς τὴν γῆν κατακλύσαντος Δευκαλίων καὶ Πύῤῥα ἔν τινι κιβωτίῳ εἰσελθόντες μετεωρίσθησαν ὑπὸ τοῦ ὕδατος ὑπεράνω τοῦ Παρνασοῦ, κατὰ δέ τινας ὄρους Λυκορὶ καλουμένου· πεπαυμένου δὲ τοῦ ὕδατος ἐξελθόντες τοῦ κιβωτίου προσετάχθησαν ὑπὸ τοῦ Διὸς τὰ τῆς μητρὸς αὐτῶν ὀστᾶ ὄπισθεν ῥίπτειν· οὐκ ἄλλην δὲ ἢ τὴν γῆν μητέρα ὑποτοπήσαντες, λίθους λαβόντες ὄπισθεν αὐτῶν ἔῤῥιπτον· καὶ οὓς μὲν ἡ Πύῤῥα ἔῤῥιπτε γυναῖκες, οὓς δὲ Δευκαλίων ἄνδρες ἐγένοντο. ὅθεν ἐστὶ καὶ τὸ λαὸς ὄνομα· λᾶς γὰρ ὁ λίθος.

gl. 70. * ἐκτίσαντο. — ἤγουν ἐκ λίθων γεννηθέντα. — 71. * * λαοί] διὰ τὸ μέτρον. — ὠνομάσθησαν οἱ γεννηθέντες.

60—71. M. Μὴ νῦν, ὦ στόμα δηλονότι, λαλάγει, ἤγουν λήρει τὰ τοιαῦτα· ἔα πάντα πόλεμον καὶ πᾶσαν μάχην χωρίς, ἤτοι μακρὰν τῶν θεῶν· φέροις δέ, ἀντὶ τοῦ φέρε, κίνει, τὴν γλῶσσαν πρὸς τὸ ἄστυ τῆς Πρωτογενείας τῆς θυγατρὸς τοῦ Ὀποῦντος, τοῦ καὶ Δευκαλίωνος. ὅπου (64), ἤγουν ἐν τῇ Ὀποῦντι, ἡ Πύῤῥα καὶ ὁ Δευκαλίων ἀπὸ τοῦ Παρνασοῦ καταβάντες, τῇ αἴσῃ, ἀντὶ τοῦ τῇ προστάξει, τῇ βουλῇ τοῦ Διὸς τοῦ αἰολοβρόντου, ἤγουν τοῦ τῶν ταχέως κινουμένων βροντῶν αἰτίου οἶκον (68) ἐποίησαν τὴν ἀρχήν. χωρὶς δὲ συνδυασμοῦ γενεὰν ἐκτησά-

---

3 ὑπὲρ ἄνω Vrat. — λυκωρέως edd. et ι′ post corr. — 3. 4 λεγομένου Γ. — 6 ἄλλων Vrat. — ὑποτοπήσαντες ΓΔ, ὑποτοπάσαντες cett. — 7 βαλόντες ε μ′. — 8 ὁ Δευκ. edd. — ἐγένοντο ἄνδρες ε. — ἔστι Δ. — 9 λᾶς] λάας ε, λὰς Δ. — 12 Lemma μὴ νῦν λαλάγει est in Vrat. ε μ′ edd. Ro. Br. St. Oxx. Bœckh. — Præterea σύνταξις Bœckh in textu, ε μ′ in marg. — 13 ἤγουν ι′. — 14 φέρεις δὲ q, φέροις δ′ ἂν ε. — φ. καὶ κίνει ι′. — 15 τῆς ante Πρωτ. om. α. — 16 τοῦ καὶ Δευκ. uncinis inclusit Heyne, tuitus est Bœckh collato scholio rec. ad v. 73 et schol. rec. et vet. ad v. 85. — 17 πύρα q. — 18 αἴσει α. — τῇ ante προστ. om. ι′. — 20 συνδιασμοῦ ε, συνδέσμου Vrat. et edd. ante Oxx. — χωρὶς δὲ εὐνᾶς (ἤγουν add. in marg.) συνδ. καὶ (ἤγουν del.) συνουσίας γεν. ι′. — ἐκτίσαντο Vrat. μ′.

σθην, ἤγουν ἐκτήσαντο, ἔσχον, λιθίνην, τουτέστιν ἀπὸ λίθων, ὁμόδημον, ἤτοι ὁμογενῆ. λαοὶ δὲ ὠνομάσθησαν, ἡ γενεὰ δηλονότι· πρὸς τὸ σημαινόμενον ἡ ἀπόδοσις.

72. *Germ.* Ὁ νοῦς· ἔγειρε, παῦσον· τὸ γὰρ ἵστασθαι παῦσίς ἐστι. § ἐπέων φησὶν οἶμον ὁδὸν ἢ ᾠδήν, ᾆσμα, προοίμιον.

Th. Λέγει, ὅτι ἐατέον τοὺς περὶ τούτου λόγους. ἔστι δὲ ἡ τοιαύτη σύνταξις ὁμοία τῇ ἄνω, τῷ Ἀπό μοι λόγον τοῦτον, στόμα, ῥίψον. οὕτω δὲ παραιτούμενος λέγειν περὶ τούτων πάλιν ἐπιχειρεῖ λέγειν. δέον δὲ λιγέως εἰπεῖν ἀντὶ τοῦ ταχέως ἔγειρε, λιγὺν εἶπε πρὸς τὸν ὕμνον.

gl. 72. ἀνίστα καὶ πόῤῥω φέρε. — αὐτοῖς, τῇ Πύῤῥᾳ καὶ τῷ Δευκαλίωνι. — * ἀκολουθίαν.

73. *Th.* Τὸ αἴνει καὶ πρὸς τὸ ἄνθεα λάμβανε. αἴνει δὲ ἄνθεα νεωτέρων ὕμνων, ἤτοι νεωτέρους ὕμνους, περιφραστικῶς. λέγει δέ, ὅτι τὸ τὰ νέα ὑμνεῖν κρεῖττον.

gl. 73. ποταπόν; ὀξύν. — κρείττων γὰρ τοῦ νέου. — 74. ἤγουν ὕμνους, περιφραστικῶς. — 75. * * λέγουσι. — * δέ. — 78. μηχαναῖς καὶ βουλαῖς. — * ἀνάποσιν· — * * ἀνάπωσιν. — 79. τὸ ὕδωρ. — * * τουτέστι τὸ πλῆθος τοῦ ὕδατος λαβεῖν. — λαβεῖν, ἀφανίσαι.

72—79. *M.* Ἔγειρ' ἐπέων, ἀντὶ τοῦ κίνησον, ὦ στόμα, χάριν αὐτῶν, τῶν Ὀπουντίων δηλονότι τῶν ἀπὸ τοῦ Δευκαλίω-

---

2 ἤγουν ὁμογενῆ, ὁμόφυλον· λαοὶ δ' ὠνομ. (sic) ἤγουν ὠνομάσθησαν ι''. — 4 Post Ὁ delevi δέ. — 7 Hoc scholium om. ε. — Lemma ἔγειρε est in ι'', ἔγειρ' ἐπέων in cett. codd. mixtis et edd. — τοῦτο λέγει codd. mixti et edd. — λέγει δὲ ὅτι Δ. — ἐκθετέον Γ. — 8 ὁμοίᾳ τῇ ἄνῳ μ'. — ἄπο μοι μ'. — τοιοῦτον Γ. — 11 τὸ ὕμνον Γ, fort. recte. — 14 Hoc scholium om. ε. — 15 δὲ excidit in edd. inde a Beckio. — ἤγουν ι''. — 16 τὸ om. μ'. — 22 σύνταξις εμ' in marg., Bœckh in textu. — ἔγειρε ι''. — 23 δ. τὸν ἀπὸ μ'. — τοῦ om. ι''.

νος ὁδὸν ἐπῶν λιγεῖαν, ἤγουν ἐμμελῆ· ἐπαίνει δὲ οἶνον μὲν πολυετῆ, ἄνθη δέ, ἀντὶ τοῦ ἀνθηρότητα, λαμπρότητα ὕμνων νεωτέρων, τουτέστι καινοτέραν ὁδὸν ἐχόντων. λέγουσι (75) *δὴ κατακλύσαι μέν, ἤγουν καταποντίσαι, καλύψαι τὸ σθένος τοῦ ὕδατος, ἀντὶ τοῦ τὸ ὕδωρ περιφραστικῶς, τὴν γῆν τὴν μέλαιναν, ἀλλὰ διὰ τῶν τεχνῶν τοῦ Διός, ἤγουν τῶν μηχανῶν, τῶν δυνάμεων, ἀνάπωσιν λέγουσιν ἐξαίφνης, ἤγουν ἀναῤῥόφησιν, συστολὴν τῆς ἀναχύσεως καὶ εἰς τὴν γῆν αὖθις κατάδυσιν λαβεῖν τὸ ἄντλον, τουτέστι τὸ πλῆθος τοῦ ὕδατος.*

gl. 79. *τῆς Πύῤῥας καὶ τοῦ Δευκαλίωνος.* — 80. *πολεμικώτατοι.* — *οἱ σοί, ὦ Ἐφάρμοστε.*

81. *Pal.* *Ἰαπετὸς ἐγέννησε Προμηθέα καὶ Ἐπιμηθέα. ἐκ γοῦν τοῦ Προμηθέως ἐγεννήθη Δευκαλίων, ἐκ δὲ τοῦ Ἐπιμηθέος τοῦ καὶ Ὀποῦντος ἐγεννήθη ἡ Πύῤῥα, ἐκ δὲ τῆς Πύῤῥας καὶ Δευκαλίωνος ἡ Πρωτογένεια. ἐκ ταύτης δὲ καὶ τοῦ Διὸς ὁ Ὀπούς, ἀφ' οὗ ἡ πόλις Ὀπούς, μητρόπολις τῶν Λοκρῶν.*

Th. *Ἰαπετοῦ παῖδες Προμηθεὺς καὶ Ἐπιμηθεύς. Προμη-*

---

1 *ὁδῶν ἐπ.* Vrat. — *λιγείαν* q. — *εὐμελῆ* q, *ἐμμελεῖ* μ΄. — *οἶνον*] *ὕμνον* π μ΄, *ὕ οἶνον* ι΄΄. — 2 *ἀνθηρότατα* q. — 3 *τουτέστι* — *ἐχόντων* om. ι΄΄. — 4 *δέ* ι΄΄. — *κατακλῦσαι* Vrat. ε ι΄΄ μ΄ et edd. ante Beck. — 5 *τοῦ* ante *ὕδ.* om. Vrat. — 5. 6 *τὴν μέλαιναν* om. ι΄΄. — 7 *ἀνάπαυσιν* q. — 9. 10 *τῶν ὑδάτων* Vrat. — 14 *Προμηθέως* ed. Bœckh. — 14. 15 *Ἐπιμηθέως* ed. Bœckh. — 15 *Πύῤῥας* Bœckh addidit. — 17 *Ὀποῦς* bis ed. Bœckh. — 18 Glossator libri *b* hoc scholium sic exhibet: *Ὁ Ἰαπετὸς παλαιότατος ἐστὶ θεὸς καὶ ἐγέννησε Προμηθέα καὶ Ἐπιμηθέα. ἀπὸ δὲ τοῦ Προμηθέως καὶ τῆς Κλυμένης ἐγεννήθη ὁ Δευκαλίων ὁ καλούμενος Ὀποῦς, ἐκ δὲ τοῦ Ἐπιμηθέως καὶ τῆς Πανδώρας ἐγεννήθη ἡ Πύῤῥα· ἐκ δὲ τοῦ Δευκαλίωνος καὶ τῆς Πύῤῥας ἐγεννήθη ἡ Πρωτογένεια, ἥντινα ἔγημεν ὁ Λοκρός. ἀλλὰ ἄτεκνος ὤφθη ἡ Πρωτογένεια. διὸ ἀναρπασθεῖσα ὑπὸ τοῦ Διὸς ἔλαβεν ἐν γαστρὶ ὑπ' αὐτοῦ*

θέως καὶ Κλυμένης Δευκαλίων ὁ καὶ Ὀποῦς καλούμενος, Ἐπιμηθέως καὶ Πανδώρας Πύῤῥα, Πύῤῥας δὲ καὶ Δευκαλίωνος Πρωτογένεια, ἣν ἔγημε Λοκρός. διὰ δὲ τὸ μὴ ποιεῖν ὑπ' αὐτοῦ παῖδα, ἵνα μὴ χωρὶς διαδόχου θάνῃ Λοκρός, ἁρπάζεται Πρωτογένεια ἐκ Διός, ᾗ συνελθὼν ἐν τῷ Μαινάλῳ ὄρει τῆς Ἀρκαδίας καὶ ἐγκύμονα ποιήσας ἐπανάγει πάλιν αὐτὴν πρὸς Λοκρόν, ὃς τὸ γεννηθὲν ὑπ' αὐτῆς παιδίον Ὀποῦντα ἐκάλεσε, συνώνυμον Ὀποῦντι τῷ καὶ Δευκαλίωνι, τῷ Πρωτογενείας πατρί.

gl. 81. ἐξ ἀρχῆς. — ἀπὸ τῆς τοῦ Ἰαπετοῦ. — 82. * † γενεᾶς. — παῖδες. — θυγατέρων. — 83. καλλίστων. — τοῦ Ὀποῦντος τοῦ ὑπὸ τοῦ Κρόνου παιδὸς Διὸς σπαρέντος. — 84. αὐτόχθονες καὶ οὐ μετανάσται.

79—84. M. Κείνων δ' ἔσαν] τοῦτο πρὸς τὸν Ἐφάρμοστον. ἐξ ἐκείνων δὲ ἦσαν ἀρχῆθεν οἱ ὑμέτεροι ἀντὶ τοῦ οἱ σοὶ πρόγονοι οἱ χαλκάσπιδες, τουτέστιν οἱ πολεμισταί, λέγω τῆς γενεᾶς τῆς ἀπὸ τοῦ Ἰαπετοῦ καταγομένης κοῦροι (82), ἤγουν παῖδες, ἀπόγονοι, τῶν κορᾶν τε, ἀντὶ τοῦ τῆς κόρης, ἤγουν τῆς

καὶ τέξασα υἱὸν ἐκάλεσεν αὐτὸν Ὀποῦντα. — Lemma ἱστορία ὅθεν δευκαλίων καὶ πύῤῥα Vrat. (a m. sec.) et μ' in marg., Bœckh in textu, Ὅθεν δ. καὶ π. in z, qui ἱστορία, quæ vox in edd. ante Bœckhium emmatis vice fungitur, in marg. habet.

1 ὁ Δευκ. edd. inde a Beckio. — ὀπούς ΓΔ, οποῦς cett. — 2 πανδόρας Γ. — 3 ἔγημεν ι'. — παῖδας [Γ μ'] edd. — 4 θάνῃ ΓΔ, ἀπέλθῃ cett. — τοπάζεται Δ. — 5 ὑπὸ διός Γ. — Μενάλῳ Γ et edd. ante Beck. — 8 καὶ omm. Δ Vrat. μ'. — 10 Ad κοῦροι κορᾶν glossa ἐπὶ τῆς νέας τῆς κόρης est in a. — 13 σύνταξις z μ' in marg., Bœckh in textu. — 14 ἡμέτεροι z. — τοῦ om. ι'. — 15 χαλκόσπιδες z. — ὁ (sic) χ. τουτέστι πολ. ι'. — 16 γεννεᾶς Vrat. — τοῦ] τῆς a, omm. qz. — 17 τε om. a. — Post τε in codd. mixtis et edd. τῶν ἀρίστων Κρονιδῶν additur. — Post τοῦ delevi καὶ codd. aq secutus.

Πρωτογενείας, *καὶ τῶν ἀρίστων Κρονιδῶν*, ἀντὶ τοῦ καὶ τοῦ ἀρίστου υἱοῦ τοῦ Κρόνου τοῦ Διός, ἐγχώριοι βασιλεῖς αἰεί, ἤγουν γνήσιοι βασιλεῖς καὶ οὐκ ἐπείσακτοι κατὰ διαδοχήν.

gl. 85. * † ὁ τοῦ οὐρανοῦ βασιλεὺς Ζεύς. — 86. θυγατέρα· — ** παῖδα γράφε διὰ τὸ μέτρον, οὐχὶ θ ύ γ α τ ρ α, καὶ Ὀ π ο ῦ ν τ ο ς, οὐ μὴν Ὀ π ό ε ν τ ο ς. — Ἠλείων, ἤτοι τῆς Ὀποῦντος. — 87. * † τοῦ καὶ Δευκαλίωνος καλουμένου. — ἥσυχος. — 88. ἐν Ἀρκαδίᾳ τὸ Μαίναλον ὄρος. — 89. * † ἐξοχαῖς. — ἔφερεν αὐτήν. — 90. * † τῷ ἀνδρὶ αὐτῆς. — καταβάλοι αὐτόν. — ἐνεγκών. — 91. ὁ τῆς ζωῆς αὐτοῦ χρόνος. — θάνατον. — 92. ποταπόν; ἐστερημένον. — ἤτοι παιδός, διαδόχου. — 94. ἡ Πρωτογένεια. — ** ἐχάρη. — ** καί. — ** θεασάμενος. — 95. ὁ Λοκρός. — ὄντα.

96. *Pal.* Προσέταξε, φησί, καλεῖσθαι τὸ βρέφος ὁ Λοκρὸς τῷ ὀνόματι τοῦ πρὸς μητρὸς αὐτοῦ πάππου Ὀποῦντος, βασιλέως τῶν Ἠλείων. ἢ κατά τινας· προσέταξε καλεῖσθαι αὐτό,

---

1 *καὶ τ. ἀρ. Κρονιδῶν* ex *aq* addidi. — Locum in edd. corruptum esse etiam Mommsen vidit, qui tamen in Annotationis Criticæ Supplemento p. 128 male *τε* inter *τῶν* et *ἀρίστων Κρ.* (cf. notam ad p. 326, 17), præterea *καὶ* ante *τοῦ ἀρίστου* inseri iussit. — **1. 2** *καὶ τοῦ* om. *q*. — **3** *ἐπίσακτοι* Vrat. *μ'*. — Ceterum eorundem versuum paraphrasin Bœckh «ex Mosc. B. ab alia manu scriptam» scholiis ad v. 72 inseruit, Mommsen dubitanter Triclinio tribuit, perperam: «Ὦ Ἐφάρμοστε, οἱ ὑμέτεροι πρόγονοι ἐξ ἀρχῆς, οἱ ὄντες καὶ ὑπάρχοντες ἐκ τῆς φυτείας καὶ τῆς γενεᾶς Ἰαπετιονίδαι, οἱ κοῦροι καὶ παῖδες ἐκείνων τῶν κόρων καὶ κορασίων Κρονιδῶν καὶ τοῦ Κρόνου φερτάτων καὶ καλλίστων ἀεὶ καὶ διαπαντός, ἄνωθεν καὶ ἐξ ἀρχῆς ἔσαν καὶ ὑπῆρχον βασιλεῖς χαλκάσπιδες καὶ ὡπλισμένοι, ἤτοι πολεμικοί.» — **5** Notulam Triclinianam Bœckh primus ex Mosc. B edidit. — *θυγατέρα* ed. Bœckh. (ex Mosc. B ?). — **7** Ad Ὑποῦντος glossa τοῦ *Δευκαλίωνος* est in *a*. — **12** *θεασαμένη* codd. — **15** *αὐτοῦ* scripsi pro *αὐτῷ*.

τὸ βρέφος, Ὀποῦντα τῷ ὀνόματι τοῦ πρὸς μητρὸς αὐτοῦ τῆς Πρωτογενείας πάππου Ἐπιμηθέως τοῦ καὶ Ὀποῦντος.

Germ. Μάτρως ὁ ἀπὸ μητρὸς πάππος, πάτρως δὲ ὁ πρὸς πατρός. οἱ μὲν οὖν ἄλλοι ποιηταὶ μάτρωας τοὺς τῆς μητρὸς ἀδελφούς, ὁ δὲ νῦν ποιητὴς τὸν πατέρα τῆς μητρός.

gl. 96. τοῦ πάππου Ὀποῦντος. — τὸν παῖδα. — 97. ὁμώνυμον. — εἶναι. — 98. ἐξοχώτατον. — τῷ τοῦ σώματος κάλλει. — 99. τοῖς ἐκ χειρῶν. — τὴν ἀπ' αὐτοῦ κληθεῖσαν Ὀποῦντα. — 100. * † παρέσχεν αὐτῷ. — τὸν ἐν αὐτῇ. — διεξάγειν καὶ βασιλεύειν.

85—100. M. Πρὶν Ὀλύμπιος] πρότερον, τὴν ἀρχήν, ὁ βασιλεὺς ὁ ἐν τῷ Ὀλύμπῳ ὁ Ζεὺς τὴν θυγατέρα τοῦ Ὀποῦντος τοῦ καὶ Δευκαλίωνος ἀναρπάσας, ἤγουν μετέωρον εἰς τὸν ἀέρα λαβὼν λάθρα (τοῦτο γὰρ τὸ ἕκηλος) ἀπὸ τῆς γῆς τῶν Ἐπειῶν, τουτέστι τῶν Ἠλείων (Ἐπειοὶ γὰρ οἱ Ἠλεῖοι ὠνομάσθησαν ἀπὸ Ἐπειοῦ τοῦ Ἐνδυμίωνος) ἐμίγη (88) αὐτῇ ἐν ταῖς ἐξοχαῖς ταῖς Μαιναλίαις, ἤγουν ταῖς τοῦ Μαινάλου· ὄρος δὲ Ἀρκαδίας τὸ Μαίναλον· καὶ ἤνεγκε τῷ Λοκρῷ τῷ ἀνδρὶ αὐτῆς, ἵνα μὴ καθέλοι αὐτόν, τὸν Λοκρὸν δηλονότι, ἤγουν καταστρέψειεν ὁ αἰών, ἀντὶ τοῦ ὁ χρόνος, ἐστερημένον (92) γενεᾶς, πότμον ἐφάψας, ἤγουν συντυχίαν θανάτου ἐπαγαγών. ἔχεν δὲ ἀντὶ τοῦ ἔσχε σπέρμα μέγιστον, ἀντὶ τοῦ υἱὸν ἀπὸ σπέρματος μεγίστου ἡ γυνὴ τοῦ Λοκροῦ ἡ Πρωτογένεια· εὐφράνθη τε ὁ ἥρως, ἤγουν ὁ Λοκρός,

---

11 σύνταξις κμ' in marg., Bœckh in textu. — 12 ὁ ante ἐν om. ι''. — τὸ ὀλ. a. — ὁ om. q. — 13 ἁρπάσας ι''. — 15 οἱ ἠλ. (ἠλ. q) ὠν. aq, ὠν. οἱ ἠλ. cett. — 17. 18 Verba ὄρος δὲ Ἀρκ. τὸ Μαίν. ex a q ι'' addidi. — 19 καθέλη q post corr. — ἤγ. καταστρέψ. om. ι''. — 20 ἀντὶ τοῦ] ἤγουν q. — ἐστερημένος q Vrat. z. — 21 συντυχία z. — ἔχεν δὲ a, ἔχε δὲ q, ἔσχε δὲ Vrat. zμ', omm. cett. — ἀντὶ τοῦ ex aq Vrat. zμ' addidi. — ἔσχε q Vrat. z, ἔσχεν a, ἔσχε δὲ cett. — 22 τοῦ τὸν υἱὸν q. — σπ. μέγιστον q.

ἰδὼν υἱὸν τῇ ἀληθείᾳ μὲν ὄντα θετόν, ἀντὶ τοῦ νόθον, ὑπ' αὐτοῦ δὲ γνήσιον νομιζόμενον, ὠνόμασε δὲ αὐτὸν οὕτως ὥστε (97) εἶναι ἰσώνυμον, ἀντὶ τοῦ ὁμώνυμον τοῦ μάτρωος αὐτοῦ, ἤγουν τοῦ πρὸς μητρὸς αὐτοῦ πάππου, τουτέστιν Ὀποῦντα ὠνόμασεν αὐτόν (ἰστέον δέ, ὅτι παρὰ τὴν συνήθειαν τῶν ἄλλων ἐδέξατο ἐνταῦθα οὗτος τὸ ὄνομα· μήτρων γὰρ οἱ ἄλλοι τὸν πρὸς μητρὸς λέγουσι θεῖον) ἄνδρα ὑπέρφατον, γενόμενον δηλονότι αὐτὸν τὸν Ὀποῦντα, ἤγουν ὑπερβολικῶς θαυμαστὸν κατά τε τὴν μορφήν, τουτέστι τὸ εἶδος, καὶ κατὰ τὰ ἔργα, ἤγουν τὰς πράξεις. τὴν πόλιν δέ, τὴν Ὀποῦντα δηλονότι, καὶ τὸν λαὸν αὐτοῦ παρέσχεν αὐτῷ ὁ Λοκρὸς δηλονότι διαιτᾶν, ἤγουν διοικεῖν.

gl. 101. *διὰ τὴν αὐτοῦ φήμην· — * * διὰ τὸ μέτρον συστέλλεται. — αὐτῷ. — * * Ἰωνικῶς.* — 104. *τῶν ἐπελθόντων ξένων.* — 105. † *τῶν ξένων τῶν κατοικησάντων τὴν Ὀποῦντα.* — 106. *Μενοίτιος ἐξ Ἄκτορος καὶ Αἰγίνης.*

107. *Th.* *Οἱ Ἕλληνες ὅτε εἰς Τροίαν ἐστράτευον, προσώκειλαν ἐν Μυσίᾳ καὶ νομίζοντες ταύτην εἶναι τὴν Τροίαν ἐδῄουν.*

---

1 Post *θετὸν* libros *aq i'' μ'* secutus delevi *υἱόν*. — 2 *λογιζόμενον q*. — 2. 3 *ὡς τὸ εἶναι* Vrat. *z* et edd. ante Beckium. — 3 *μάρτυρος* Vrat., *ὁμάτρωος a*. — 4 *τοῦ πρὸς μητρὸς αὐτοῦ (αὐτῷ a) πάππου aq* et *τοῦ πρὸς μητρὸς αὐτοῦ* etiam Oxx. e libris manu scriptis Oxoniensibus attulerunt; quæ lectio Beckio «aut ex scripturæ compendio orta, aut e sequentibus ducta» videbatur; *τοῦ πατρὸς τῆς μητρὸς αὐτοῦ, ἤτοι (ἤγουν i'') τοῦ πάππου* cett. codd. et edd. — *ὀποῦντα ὀπωῦντα o*. — 6 *μήτρων a* Vrat. *i'' μ'*, *μήτωρ q*, *μήτρωον* cett. Cf. Moschopuli Syllogen: *Μήτρων* (sic) *λέγεται ὁ πρὸς μητρὸς θεῖος*. — *τὸν*] *τοῦ* Vrat. — 7 *ὑπέρφαντον q μ'*. — 8 *ἤτοι μ'* ante corr. — 16 Lemma *ἱστορία* edd. ante Bœckhium, *ἱστορία περὶ τοῦ Πατρόκλου* Bœckh in textu, Vrat. *μ'* in marg., *περὶ τοῦ Πατρόκλου z* in textu. — *Ὅτ' ἐς Τροίαν ἐστράτευον (οἱ* add. Vrat.) *Ἕλληνες* codd. mixti et edd. — 16. 17 *προσέκειλαν* edd. ante Heynium. — 17 *εἰς Μυσίαν Γ*. — *ἐδῄων* Vrat. *zμ'* et edd. ante Beckium.

ὁ οὖν ταύτης βασιλεὺς Τήλεφος ἀμυνόμενος ὑπὲρ τῆς χώρας μάχην συνῆψε τοῖς Ἕλλησιν, ἧς καρτερᾶς γενομένης οἱ μὲν ἄλλοι πάντες Ἕλληνες εἰς ναῦς ἀνεχώρησαν, μόνος δὲ Πάτροκλος σὺν τῷ Ἀχιλλεῖ ἐμάχετο.

gl. 107. *τοῦ Μενοιτίου ὁ Πάτροκλος.* — 108. *οὗτος γὰρ πρῶτος ἐβασίλευσε Μυσίας.* — *τὴν Μυσίαν.* — *ἐλθών· ἐνόμιζον γὰρ Ἕλληνες ταύτην εἶναι τὴν Τροίαν·* — † *ἀπελθών.* — 110. *ἰσχυροτάτους.* — *τοὺς Ἕλληνας.* — 111. *εἰς τροπὴν ἀγαγών.* — *ταῖς θαλασσίαις.* — *ἤτοι ταῖς ναυσὶν αὐτῶν.*

113. *Th. Ὥστ' ἔμφρονι δεῖξαι] ἤγουν· ἐπεὶ Πάτροκλος ἔστη σὺν Ἀχιλλεῖ τῶν ἄλλων Ἑλλήνων τραπέντων, πᾶς ἀνὴρ νουνεχὴς ἔγνω ἂν ἰδών, ὅτι Πάτροκλος ἔξοχος ἦν τὰ εἰς μάχην.*

gl. 113. * † *φρονίμῳ.* — 114. *γνῶναι.* — * *ἰσχυρόν.* — 115. *γνώμην καὶ προθυμίαν εἰς τὰ πολεμικά.* — * † *ὁ Ἀχιλλεύς.* — 116. *ἐν τῷ ὀλεθρίῳ πολέμῳ.* — *αὐτόν.* — 117. *παρήγγειλε.* — 118. *τῆς αὐτοῦ.* — *μακράν.* — *τάττεσθαι.* — 119. *τῆς τοὺς παραπεσόντας αὐτῇ βροτοὺς δαμαζούσης.*

101—119. *M. Ἀφίκοντο δὲ πρὸς αὐτόν, ἤγουν τὸν Ὀποῦντα, ξένοι καὶ ἐκ τοῦ Ἄργους καὶ ἐκ τῶν Θηβῶν καὶ Ἀρκάδες, οἱ δὲ καὶ ἀπὸ τῆς Πίσης, ἤγουν Ἠλεῖοι. ἀπὸ τῶν ἐποίκων δέ,*

---

1 *βασιλεύσας* edd. inde a Beckio. — *ὑπερὶ* ex *περὶ μ'*, *περὶ z.* — 2 *μάχη* Ro. Br. St., *μάχῃ* Ox., corr. etiam Beck. — *γινομ.* [Vrat.] edd. — 3 *οἱ ἄλλ. A.* — *εἰς τὰς ν.* edd. — *δὲ ὁ Π.* edd. — 4 *τῷ* omm. *Γ* Vrat. *ι''* (?) *μ'.* — 5 Ad v. 108 hæc adscripsit glossator in *b*: *ἤγουν εἰς τὴν Μυσίαν, ἣν εἶχε πρότερον ὁ Τεύθρας καὶ μεταταῦτα ὁ Τήλεφος.* — 10 Hoc scholium om. *z.* — Lemma omm. *ΓΔ.* — *δεῖξαι* om. *ι''.* — *ἐπεὶ ὁ π. Γ.* — 12 *τὰ ἐς ι''* et edd. — 19 Lemma *ἀφίκοντο δὲ οἱ* est in Vrat. *z μ'* et edd. ante Beckium, *ἀφίκοντο* in *ι''*, *ἀφίκ. δὲ οἱ ξένοι* in ed. Bœckh., lemma omm. cett. codd. et edd. — *σύνταξις z μ'* in marg., Bœckh in textu ante lemma. — *τὴν ὀπ. μ'.* — 20. 21 *καὶ ἐκ τοῦ Ἄργους — Ἠλεῖοι* om. *ι''.* — 21 *πίσας ἤγ. ἠλ. q.*

τουτέστι τῶν ξένων τῶν κατοικησάντων ἐν τῷ βασιλευομένῳ ὑπ' αὐτοῦ τόπῳ, τὸν Μενοίτιον ἐτίμησεν ἐξόχως, τὸν υἱὸν τοῦ Ἄκτορος καὶ τῆς Αἰγίνης, οὗτινος (107), *τουτέστι τοῦ Μενοιτίου ὁ υἱός, ὁ Πάτροκλος δηλονότι, ἅμα τοῖς Ἀτρείδαις ἀπελθὼν εἰς τὴν γῆν τοῦ Τεύθραντος, ἤγουν εἰς τὴν Μυσίαν (ἣν τοῦ Τεύθραντος λέγει διὰ τὸ ἄρξαι αὐτῆς ποτε τὸν Τεύθραντα, τότε δὲ ἐπ' αὐτῇ ὁ Τήλεφος ἐβασίλευε) μόνος ἔστη σὺν τῷ Ἀχιλλεῖ, ὅτε ὁ Τήλεφος τρέψας τοὺς Δαναοὺς τοὺς ἀλκήεντας, ἤγουν τοὺς ἰσχυρούς, τοὺς γενναίους, ἐνέβαλεν εἰς τὰς πρύμνας τὰς θαλασσίας, ἀντὶ τοῦ εἰς τὰς ναῦς τὰς ἐν τῇ θαλάσσῃ τὴν διατριβὴν ποιουμένας· ὥστε* (113) *δεῖξαι αὐτὸς ὁ Πάτροκλος τῷ φρονίμῳ μαθεῖν τὸν νοῦν τοῦ Πατρόκλου, ἀντὶ τοῦ τὸν ἑαυτοῦ, τὸν βιατήν, ἤγουν τὸν γενναῖον, τὸν ἀνδρεῖον (ἀπὸ τοῦ βία, ἡ ἰσχύς) ἀφ' οὗ χρόνου παρηγορεῖτο* (117), *ἀντὶ τοῦ παρῄνει, ἔλεγεν αὐτῷ ὁ υἱὸς τῆς Θέτιδος ὁ Ἀχιλλεύς, μηδέποτε ταξιοῦσθαι, τουτέστι παρατάττεσθαι αὐτὸν ἐν τῷ πολέμῳ τῷ ὀλεθρίῳ χωρὶς τῆς αἰχμῆς τῆς σφετέρας, ἀντὶ τοῦ τῆς ἑᾶς, τουτέστι τῆς ἑαυτοῦ, τῆς δαμασιμβρότου, ἤγουν τῆς τοὺς ἄνδρας κτεινούσης.*

119. *Th.* *Εἴην εὑρεσιεπής] ἤγουν εἴθε τοιαύτας ἱστο-*

---

2 *ἐτίμησεν καὶ ἐξ.* z. — *τοῦ* om. *ι''*. — 3 *τῆς* om. *ι''*. — 4 *ὁ* ante *υἱὸς* om. *a*. — *δηλονότι* om. *ι''*. — *ἐπελθὼν* [*q*] edd. — 5 *θεύτραντος ι''*. — *ἤγουν — Τεύθραντος,* om. *q*. — *εἰς τὴν* om. *ι''*. — *ἣν*] *ἦν a*. — 5. 6 *ἣν — λέγει* om. *ι''*. — 6 *πρῶτον* post *ἄρξαι* additum, *ποτε* deletum est a m. pr. in *ι''*. — *θεύτραντα ι''*. — 7 *ἐπ' αὐτῆς ι''*, et *q* ex *ἐπ αὐτοῖς* (?). — *τῷ* om. *ι''*. — 8 *ἤγουν* om. *ι''*. — 9 *ἰσχ. καὶ γενν. ι''*. — 10 *τὴν* om. *ι''*. — 11 *δεῖξαι*] *διόξας a*. — 12 *τοῦ* ante *Πατρ.* om. *a*. — *τὸν* om. *ι''*. — 13 *γενν. καὶ ἀνδρ. ι''*. — 15 *θέτιος ι''*. — *ὁ Ἀχ.* om. *ι''*. — 17 *τῆς αἰχμῆς* omm. Vrat. *z μ'*. — *ἑᾶς q*. — *τουτέστι* omm. edd. — 18. 19 *τῆς δαμ. — κτειν.* om. *ι''*. — 18 *τῆς τοὺς*] *τοὺς τῆς q*. — 20 Hoc scholium om *z*. — Lemma omm. *ΓΛ*. — *Ἁρμόδιος τῇ παρούσῃ ὑποθέσει* (conf. glossam ad v. 121) ante *ἤγουν* legitur in *Γ*. — *ἤγουν* ex *ΓΛ* addidi.

ρίας εὑρίσκοιμι, ἵνα ἐποχούμενος τῷ παρὰ τῶν Μουσῶν δοθέντι μοι δίφρῳ, λέγω δὴ τῇ ποιητικῇ, ἁρμοδίως τῇ παρούσῃ ὑποθέσει ποιῶμαι τοὺς λόγους. τοῦτο δὲ λέγει, ἐπειδὴ καὶ ὁ Πάτροκλος Ὀπούντιος ἦν ὥσπερ καὶ Ἐφάρμοστος. τοῦ δὲ ἐναγεῖσθαι τὸ ἐν πρὸς τὸ δίφρῳ συναπτέον, οὕτως· ἐν τῷ δίφρῳ τῶν Μουσῶν ἡγεῖσθαι καὶ προέρχεσθαι.

120. Pal. *Ὡς πρὸς τοὺς παρεστῶτας λέγει.*

gl. 120. *ἐφευρετικὸς τοιούτων ἱστοριῶν. — ἐποχεῖσθαι, προέρχεσθαι εἰς τὸν τοῦ Ἐφαρμόστου ἔπαινον.* — 121. *ἁρμόδιος τῇ παρούσῃ ὑποθέσει, ἤγουν τῇ ποιήσει.* — ** *ἅρματι.* — 122. *ἤγουν πρόθυμος εἴην εἰς τὸ ὑμνεῖν καὶ λόγων εὔπορος.* — 123. *ἐν φιλίᾳ αὐτοῦ τῇ πρὸς Ἐφάρμοστον νίκῃ.* — 124. ** *καί. — ὑμνητής·* — ** *συνίζησις. — ταῖς ἐν Ἰσθμοῖ δοθείσαις αὐτῷ.*

125. *Th.* *Ἐπειδὴ Ἐφάρμοστος καὶ Λαμπρόμαχος Ὀπούντιοι ὄντες φίλοι τε ἦσαν καὶ ἐν τῷ Ἰσθμῷ ἅμα ἐνίκησαν, διὰ τοῦτο ἐν τῷ Ἐφαρμόστου ὕμνῳ καὶ τούτου μέμνηται.*

gl. 125. *οὗτος Ὀπούντιος ἦν.* — *στεφάνοις.* — 126. * † *ὁ Ἐφάρμοστος καὶ ὁ Λαμπρόμαχος.* — * † *ἐνίκησαν.* — 127. *πάλην.*

128. *Th.* *Κορίνθου πύλας λέγει τὸν Ἰσθμόν· ἐν τῷ τέλει γὰρ αὐτοῦ ἡ Κόρινθος κεῖται. λάμβανε δὲ εἰς τὸ ἐγένετο, τῷ Ἐφαρμόστῳ, κατὰ συνεκδοχήν. τὸ δὲ Νεμέας κατὰ κόλπον ἀντὶ τοῦ εἰς τὴν Νεμέαν περιφραστικῶς.*

---

1 *ἐπωχούμενος Δ.* — 3 *ἐπεὶ* edd. inde a Beckio. — 4 *Ὀποῦντος* Oxx. — *καὶ ὁ ἐφ.* ι' ante corr. — 5 *τὸ ἓν πρ. τὸ δίφρον Δ.* — *οὕτω Δ.* — 6 *ἔρχεσθαι Γ'.* — 15 Hoc scholium om. *z.* — *Λαμπρομάχου* lemma est in codd. mixtis et edd. — *ὁ ἐφ. ι'.* — 15. 16 *ὀπ. ἦσαν φ. τὲ ὄντες Δ.* — 17 *τ. καὶ ἐν ι'.* — *ἐφαρμόστῳ* Vrat. *μ'.* — 21 *Κορ. πύλαι· λέγει z.* — 24 *τὴν* om. *ι'.* — *νέμεαν Δ.*

gl. 128. * † ἤτοι ἐν τῷ Ἰσθμῷ. — 129. * κατὰ συνεκδοχὴν τὸ τῷ Ἐφαρμόστῳ. — ὕστερον. — ἀγῶνες, χαραί. — 130. ἄλλαι δέ. — ἐγένοντο. — 131. * Ἐφαρμόστῳ] ἀπὸ κοινοῦ τὸ ἐγένοντο. — 132. εἰς τὰ Ἥραια. — ἤγουν ἀνὴρ ὢν ἐνίκησεν. — 133. ἤγουν παῖς ὢν ἐν Παναθηναίοις ἐνίκησεν.

119—133. *M.* Εἴθε εἴην καινῶν ἐπῶν εὑρετής, ὥστε ἀναγεῖσθαι, ἀντὶ τοῦ διηγεῖσθαι τὰ περὶ τούτων δηλονότι· πρόσφορος, ἤγουν ἐπιτήδειος γενόμενος ἐν δίφρῳ τῶν Μουσῶν, ἀντὶ τοῦ ἐν ὑψηλῇ ποιήσει, ἣν αἱ Μοῦσαι δωροῦνται. τόλμα δέ, ἀντὶ τοῦ παῤῥησία, εἴθε ἕσποιτο (123), ἤγουν ἀκολουθήσειεν ἐμοί, καὶ δύναμις ἀμφιλαφής, ἀντὶ τοῦ μεγάλη, ἀπὸ μεταφορᾶς τῶν ὄγκον ἐχόντων σωμάτων, ὧν ἀμφοτέραις ταῖς χερσίν ἐστι λαβέσθαι. ἔστι δὴ ἀμφιλαβής, καὶ τροπῇ τοῦ β̄ εἰς φ̄ κατ' ἔθος Μακεδόνων ἀμφιλαφής. ἐπὶ προξενίᾳ δέ, ἤγουν χάριν τῆς προξενίας, τουτέστι τῆς φιλοφρονήσεως τοῦ Λαμπρομάχου πρὸς τοὺς Θηβαίους, καὶ χάριν τῆς ἀρετῆς, ἤτοι ἀνδρείας καὶ τῶν ἀνδραγαθημάτων αὐτοῦ, ἦλθον τιμάορος, ἤγουν τιμητής, ὑμνητὴς γενησόμενος τῶν μιτρῶν, ἀντὶ τοῦ τῶν στεφάνων αὐτοῦ, οὓς ἐν τῷ Ἰσθμῷ ἔλαβεν, ὅτε ἀμφότεροι, ἤγουν αὐτὸς ὁ Λαμ-

---

1—3 Glossas Thomanas *Γ* solus servavit. — 7 Lemma εἴην εὑρεσιεπής (εὑρησιεπὰ ν ε) est in codd. mixtis et edd. — εἴθε om. *q*. — καὶ νῶν *a*. — 8 ἀντὶ τοῦ om. *a*. — 9 ἡγεῖσθαι *a*. — ἤτοι *ι''*. — τῶν om. *ι''*. — 10 αἱ om. *ι''*. — 11 ἕσποιτο *a ι''*, ἕποιτο cett. — ἤγ. ἀκολ. om. *ι''*. — 12 ἀντὶ τοῦ] ἤγουν *ε*. — ἀπὸ *aq*, ἐκ cett. — 13 ὄγκων Vrat. *μ'* — ταῖς ex *aq* est. — ἐστὶ χερσὶ *ι''*. — 14 ἐστὶ *qι''*. — δὴ *aq*, δὲ cett. — τροπὴ *q*. — τῶν μακ. *ι''*. — 15 ἐπιπροξ. *q*. — δὲ om. *ι''*. — ἤγουν *aq*, ἀντὶ τοῦ cett. — 16 τῆς omm. Vrat. *ι''*. — 17 ἤγουν *q ι''*. — τῆς ἀνδρείας (ἀνδρίας *q*) *q ε ι'' μ'*. — 18 ἤγουν *aq ι''*, τουτέστι cett. — 19 γεννησ. Vrat. — μητρῶν *q* Vrat. — τοῦ om. *ι''*. — οὓς καὶ ἐν *μ'*. — 20 αὐτὸς om. *ι''*.

πρόμαχος καὶ ὁ Ἐφάρμοστος ἐκράτησαν ἔργον, τουτέστιν ἐνίκησαν νίκην κατὰ μίαν ἡμέραν. ἀμφότεροι γάρ, φασίν, ἐνίκησαν ἐν μιᾷ ἡμέρᾳ, ὁ μὲν Ἐφάρμοστος Ὀλύμπια, ὁ δὲ Λαμπρόμαχος Ἴσθμια· ἔνιοι δέ φασιν, ὅτι οἱ δύο Ἴσθμια ἐν μιᾷ ἡμέρᾳ ἐνίκησαν. ἔπειτα (128) *δὲ ἄλλαι δύο χάρμαι, ἤγουν χαραὶ νίκης, ἀντὶ τοῦ νῖκαι, ἐγένοντο τῷ Ἐφαρμόστῳ ἐν ταῖς πύλαις τῆς Κορίνθου, ἤγουν ἐν τῷ Ἰσθμῷ· ταὶ δέ, ἤγουν αὗται δέ, ἀντὶ τοῦ τοσαῦται δέ, καὶ κατὰ τὸν κόλπον τῆς Νεμέας ἐγένοντο δηλονότι αὐτῷ νῖκαι. καὶ κατὰ τὸ Ἄργος* (132), *ἔνθα ἐτελεῖτο ἀγὼν τὰ Ἥραια, ἔλαβε κῦδος ἀνδρῶν, ἤγουν γέρας ἀνδράσι προσῆκον, τουτέστιν ἐν ἀνδρὸς ἡλικίᾳ νενικηκώς· παῖς δὲ ἐν Ἀθήναις νικήσας δηλονότι ἔλαβε κῦδος.*

gl. 134. *ὁποῖον, ἤτοι μέγαν.* — * *ἐν τῷ·* — * * *τῇ.* — 135. *κλαπείς, ἤτοι ἐκ παίδων εἰς ἄνδρας ἐλθών.* — 136. * *ὑπέμεινεν·* — * * *ὑπέμενεν.* — *τοιούτους γὰρ ἄνδρας ἐνίκησεν.* — 137. *περί.* — *χρυσαῖς φιάλαις· τοῦτο γὰρ ἦν ἆθλον αὐτόθι.* — 138. *τοὺς ἐκεῖ ἀγωνιζομένους.* — *ταχυτάτῳ.* — * *τέχνῃ τῆς πάλης.* — 139. *θαῤῥαλέῳ.* — *καταγωνισάμενος.* — 140. * * *περιήρχετο.* — *τὸν τοῦ σταδίου χορόν.* — *μεγάλῃ·* — * * *ἐν.* — 141. *ἔλεγε γάρ· ὁ βουλόμενος ἐλθέτω εἰς ἅμιλλαν.* — 142. *εὔμορφος.* — *ἔργα.* — *πράξας.*

134—142. M. *Ἐν δὲ Μαραθῶνι φεῦ ὅπως ἑαυτὸν λάθρα ἐξαγαγὼν ἀπὸ τῶν ἀγενείων, ἀντὶ τοῦ ἀπὸ τοῦ ἀγωνίσασθαι*

---

2 *νίκην* om. *a*. — *φησιν ι''*, *φασι q*. — 4 *οἱ* om. *q*. — 6 *τοῦ* om. *z*. — *τῷ Ἐφ.* om. *ι''*. — 7 *ἤγουν ἐν a ι''*, *ἤτοι ἐν* cett. — *ἤγ.*] *καὶ z*. — 8 *καὶ* ex *aq* addidi. — 9 *τελεῖτο* Vrat. — 10. 11 *ἀνδρῶν* — *τουτ. ἐν* om. *z*. — 11 *δὲ aqι''*, *δ'* cett. — *ἀθάναις* Vrat. Ro. Br. — 22 Lemma *οἷον δ' ἐν Μαραθῶνι* est in codd. mixtis et edd., nisi quod omm. Beck, Heyne. — *σύνταξις μ'* in marg., Boeckh in textu ante lemma. — *ἐν δὲ Μαρ.* om. *ι''*.

μετὰ τῶν ἀγενείων, ἀνέμενε τὸν ἀγῶνα τῶν πρεσβυτέρων, ἤγουν τῶν τελεωτέρων τὴν ἡλικίαν, τουτέστι τῶν ἀνδρῶν, ἀμφ' ἀργυρίδεσσιν, ἀντὶ τοῦ ἐπὶ ταῖς ἀργυρίσιν, ἤγουν ταῖς ἀργυραῖς φιάλαις, αἳ ἐδίδοντο ἐκεῖ γέρας. ἄνδρας δὲ (138) *δαμάσας, ἤγουν καταβαλὼν διὰ μηχανῆς ἀφόβου, ὀξυῤῥεποῦς, ἤτοι ταχεῖαν ἐχούσης τὴν ὁρμήν, διήρχετο τὸν κύκλον, ἤγουν τὸν ἀγῶνα, φεῦ τῆς βοῆς ὅσῃ· ἐπὶ δοτικῆς τὸ ὅσῃ· ἤγουν δι' ὅσης βοῆς διήρχετο· ὡραῖος ὤν, ἤγουν ἐν ἀκμῇ ἡλικίας, καὶ καλός, τουτέστιν εὔμορφος, καὶ κάλλιστα ἔργα πράξας.*

gl. 143. *Παῤῥάσιον τόπος Ἀρκαδίας, ἔνθα ἐνίκησεν.* — 145. * * *τοῦ Διός.* — *περί.* — 146. *Ὁπότ'*] *ἐφάνη θαυμαστός.* — *κάλλιστον.*

147. *Germ. Οἱ νικήσαντες ἐν τῇ Πελλήνῃ ἐλάμβανον παχὺ καὶ χειμερινὸν ἱμάτιον.*

gl. 147. *θεραπείαν·* * * *χλαῖνα γὰρ ἐδίδοτο.* — *ἀνέμων.*

148. *Th. Ἐν Πελλήνῃ πανήγυρις ἐγίνετο τὰ Ἕρμαια ἢ τὰ Φιλοξένια πρὸς τὸν Ἀπόλλωνα· ἔνθα νικήσας Ἐφάρμοστος διφθέραν ἔλαβε· τοῦτο γὰρ ἦν ἆθλον· ἥτις ἀλεξίκακός ἐστι τῶν ἀνέμων. ἐδίδοτο δὲ διφθέρα διὰ τὸ ἐν χειμῶνι τοὺς ἀγῶνας τούτους γίνεσθαι. τὸ δὲ σύνδικος διὰ τοῦτο λέγει, ἐπειδὴ*

---

1 *ἀγ. αὐτῶν πρ.* *z μ'*. — 2. 3 *ἀργυρίδεσιν* Vrat. *z μ'*. — 3 *ἐπὶ τοῖς q z μ'*. — *ἀργυροῖσιν ἤγ. ι'*. — 3. 4 *φυάλαις z μ'*. — 4 *δὲ* om. *ι'*. — 5 *ὀξυρεποῦς q z μ'*. — *ἤγουν ι'*. — 6 *ἤτοι z μ'*. — 8 *τῆς ἡλ. ι'*. — 10 *Παῤῥασία* codd. mixti. — 11. 12 *ἐφάνη — κάλλ.*] *ἐφάνη κάλλιστος Γ*. — Ad v. 146 hæc est glossa in *b*: *φάρμακον εὐδιανὸν τῶν ψυχρῶν αὐρῶν καλεῖ τὴν χλαῖναν τὴν μεγαλοπρεπῆ, ἣν παρεῖχον οἱ ἀθλοθέται ἐκεῖ γέρας τοῖς νικῶσιν.* — 13 Ante *οἱ* delevi *ἡ*. — *Πελήνῃ U*. — 16 Hoc scholium om. *z*. — *πελήνῃ Γ*, *πα πέλλήνῃ ι'*. — 18 *ἐλάμβανε* Vrat. — 19. 20 *ἐδίδοτο — γίνεσθαι* omn. edd. ante Boeckhium, qui ex Mosc. B addidit. — 20 *δὲ* ex *ΓΔ* addidi.

ἐν ταῖς Θήβαις ἀγὼν ἐτελεῖτο Ἡράκλεια καὶ Ἰόλεια. ἦν δὲ ἐν μέσῳ τοῦ σταδίου ὁ τοῦ Ἰόλεω τάφος, ἔνθα Ἐφάρμοστος ἐνίκησεν.

gl. 148. ἐν. — ἐδέξατο. — σύμμαρτυς τῆς ἐνταῦθα νίκης.

150. *Th.* Ἐν τῇ Ἐλευσῖνι τῆς Ἀττικῆς ἀγὼν ἐτελεῖτο Δήμητρος καὶ Περσεφόνης, τὰ καλούμενα Ἐλευσίνια, ἔνθα ἐνίκησεν.

gl. 150. * † ἡ παραθαλασσία. — ἐνταῦθα γὰρ ἀγὼν Δήμητρος καὶ Περσεφόνης. — 151. ταῖς αὐτοῦ νίκαις. — * ἥνωται.

143—151. *M.* Κατὰ δὲ τὰ ἔργα τὰ γενόμενα αὐτῷ ἐν τῷ στρατῷ τῷ Παῤῥασίῳ, ἤγουν ἐν τῷ Ἀρκαδικῷ (Παῤῥασία γὰρ τόπος ἐν Ἀρκαδίᾳ) θαυμαστὸς ἐφάνη ὤν, λέγω κατὰ τὴν πανήγυριν τοῦ Λυκαίου Διὸς θαυμαστὸς ἐφάνη ὤν, καὶ ὁπότε ἔφερεν, ἀντὶ τοῦ ἀπηνέγκατο ἐν τῇ Πελλήνῃ (148), ἔνθα ἐτελεῖτο ἀγὼν τὰ Ἕρμαια, φάρμακον εὔδιανόν, ἀντὶ τοῦ ἀποσοβητικὸν τῶν πνοῶν τῶν ψυχρῶν· χλαῖνα γὰρ ἐκεῖ ἐδίδοτο τῷ νικῶντι. σύνδικος δέ, τουτέστι μάρτυς αὐτῷ τῷ Ἐφαρμόστῳ δηλονότι, ἐστὶ κατὰ τὰς ἀγλαΐας, ἤγουν τὰς λαμπρότητας, τουτέστι κατὰ τὰς

---

1 *ἰόλεια Δ*, *ἰόλια Γ*, *ἰολάεια* Bœckh et cett. codd., *ἰολάϊα* cett. edd. — 3 *ἐνίκησε Γi″*. — 4 In *b* hoc scholium ad v. 148 legitur: *Κριτὴς κοινός ἐστιν αὐτῷ τῷ Ἐφαρμόστῳ εἰς τὴν πολλὴν νίκην ὁ τάφος τοῦ Ἰολάου. ἐκεῖ γὰρ συνέρχετο* (*συνήρχετο* Beck) *πλῆθος πολὺ ἀνδρείων* (*ἀνδρείως* coni. Beck, recte) *ἀγωνιζομένων*. — *μάρτυς* codd. mixti. — 5 *ἐλευσίνι μ′*. — *τῆς* om. *i″*. — 10 Lemma *Τὰ δὲ Παῤῥασίῳ στρατῷ* est in codd. mixtis et edd. — *σύνταξις μ′* in marg., Bœckh in textu ante lemma. — Ipsum scholium (excepto lemmate) in *i″* deest in spatio. — 11 *παρασίω q*, *σίω a*, qui tamen *παρα* in marg. exhibet. — *ἐν* ex *aq* addidi. — *παρασίω a*, *παρασία q*. — 13 *ἐφάνη ϑ*. om. *z*. — 14 *ἐπηνέγκατο* edd. — 16 *ἀντὶ τοῦ* post *πνοῶν* legitur in Vrat. *μ′*, *ἤτοι* in *z*. — *ἐδίδετο τῷ νικόντι q*. — *τῷ* om. *a*. — 18 *κ. τῆς ἀγλ. z*. — *λαμπροτάτας a*. — *κατὰ* ex *aq* addidi.

νίκας, ὁ τύμβος τοῦ Ἰολάου, ἔνθα ἐτελεῖτο ἀγὼν τῷ Ἰολάῳ τὰ Ἰολάια, καὶ ἡ Ἐλευσὶς ἡ εἰναλία, ἤγουν ἡ παραθαλασσία, μάρτυς ἐστὶν αὐτῷ δηλονότι κατὰ τὰς νίκας· ἐτελεῖτο δὲ αὐτόθι ἀγὼν Κόρης καὶ Δήμητρος, ὃς ἐκαλεῖτο Ἐλευσίνια, ἐλάμβανε δὲ γέρας ὁ νικῶν κριθάς.

152. τὸ ἐκ φύσεως· Ἐφάρμοστος γὰρ φυσικῇ ἀνδρίᾳ καὶ οὐ τέχνῃ μόνῃ τοὺς ἀγῶνας κατώρθου. — 153. καὶ οὐ φυσικαῖς. — 154. * † δόξαν. — 155. * † ὥρμησαν. — * λαβεῖν. — 156. ἤγουν μὴ ἀπὸ φύσεως κατορθούμενον· * τὸ δὲ θεοῦ λέγει, ἐπειδὴ ἐκ θεοῦ πάρεστι τοῖς ἀνθρώποις φύσει ἀνδρείοις εἶναι καὶ ἄλλο τι ἀγαθὸν ἔχειν. — σιωπηθέν. — 157. οὐ κακόν ἐστι. — πρᾶξις. — 158. εἰσί. — 159. μεταχειρήσεις πράξεων. — ἐξοχώτατοι εἰς κατόρθωσιν τῷ πρὸς αὐτὰς πεφυκότι. — 160. οὐ γὰρ εἰς τὸ αὐτὸ καὶ ἓν πάντες εὐδοκιμοῦσιν. — * ἡμᾶς. — * αὐξήσει καὶ δοξάσει. — 161. ἄσκησις καὶ ἐνέργεια. — * ὑψηλαί.

152—161. *Th.* Τὸ δὲ φυᾷ φασί τινες λέγειν τὸν Πίνδαρον δι' ἑαυτόν, ληροῦντες· ἔστι γὰρ πρὸς τὸν Ἐφάρμοστον, ἐπειδὴ ἐκ φύσεως ἀνδρεῖος ὢν καὶ οὐκ ἀπὸ μόνης τέχνης τοὺς συναγωνιζομένους ἐνίκα. πρὸς ὃ ἐπιφέρει· πολλοὶ δὲ τῶν ἀνθρώπων ἐν διδακταῖς ἀρεταῖς, τουτέστιν οὐ φύσει ὄντες ἀνδρεῖοι, ἀλλ' ὑπὸ διδαχῆς μόνης καὶ μαθήσεως, ὥρουσαν καὶ ὥρμησαν ἀνελέσθαι καὶ λαβεῖν κλέος, ἤτοι νικῆσαι καὶ δοξασθῆναι. ἕκαστον

---

2 παραθαλασία q. — 9 Glossa Thomana τὸ θεοῦ δὲ (sic) etc. in codd. mixtis et edd. paraphrasi Thomanae vv. 152—161 post κατορθουμένη (p. 338, 2) inserta est. — 13 ἐξοχώτατοι codd. omnes et ἐξοχώτεροι masc. gen. etiam in paraphrasi legitur. — 17 δὲ ex ΓΔ addidi. — 18 ληροῦντες ΓΔ, οἱ καλῶς cett. — πρὸς τὸ ἐφ. Γ. — 20 ὃ] δὲ z. — 23 ἤτοι νικ. om. ι''

δὲ χρῆμα, ἤγουν πᾶσα πρᾶξις ἄνευ θεοῦ (156), *ἤγουν μὴ ἀπὸ φύσεως κατορθουμένη οὐ σκαιότερον καὶ οὐ φαῦλον ὑπάρχει σεσιγημένον καὶ σιωπηθέν, ἀλλὰ μᾶλλον καλόν ἐστιν, εἰ μηδεὶς γινώσκει αὐτό. μόνα γὰρ τὰ ἐκ φύσεως πλείστου ἐστὶν ἄξια, ὥστε εἰ μὴ πρός τι φυσικῶς ἔχει τις, οἷον πάλην λέγω καὶ δρόμον καὶ ἄλλον τινὰ ἀγῶνα, ἀφεὶς τοῦτο, πρὸς ὃ ἡ φύσις αὐτοῦ ῥέπει, τρεπέσθω. ἐντὶ γὰρ καὶ εἰσὶν ἄλλαι ὁδοὶ καὶ μεταχειρήσεις πράξεων περαίτεραι καὶ ἐξοχώτεραι ὁδῶν ἑτέρων, τουτέστι πολλῶν οὐσῶν πράξεων, τὴν προσφυῆ σοι μεταχειριζόμενος κατορθώσεις αὐτὴν μᾶλλον ἢ τὴν οὐ προσφυῆ.*

M. *Τὸ δὲ φυᾷ, ἀντὶ τοῦ τὸ μὲν φύσει, τουτέστι τὸ μὲν ἀπὸ φύσεως ἅπαν κράτιστον, ἤγουν ἄριστον, δεξιώτατον. διὰ τὸν Ἐφάρμοστον δὲ τοῦτο λέγει. πολλοὶ δὲ δι' ἀρετῶν, ἤγουν ἐπιτηδευμάτων δεδιδαγμένων παρὰ ἀνθρώπων, δόξαν ὥρμησαν ἑλέσθαι, ἤτοι λαβεῖν· χωρὶς δὲ θεοῦ* (156), *τουτέστι τῆς φύσεως, ἕκαστον πρᾶγμα οὐ σκαιότερόν ἐστιν, ἀντὶ τοῦ οὐκ ἀπρεπές, σεσιγημένον, ἤγουν ἄπρακτον ὑπάρχον· τουτέστιν ἕκαστον δὲ πρᾶγμα χωρὶς φύσεως πρεπωδέστερόν ἐστιν, εἰ σεσιγημένον ἐστίν. εἰσὶ γὰρ ὁδοὶ ἄλλαι, πρὸς ἃς ἔχει δηλονότι τις εὐφυῶς,*

---

1 *ἤτοι πᾶσα πρᾶξις Γ.* — 2 Post *κατορθ.* in codd. mixtis et edd. glossa Thom. ad v. 155 *τὸ θεοῦ δὲ λ.* etc. legitur. — *ὑπάρχον ε.* — 3 *καλὸν* ex *ΓΑι''* addidi. — 4 *ἔστιν Α.* — 5 *οἷον*] *ἤγουν Γ.* — *λέγει ι''.* — 6 *ἄλλόν τινα Αι''.* — 7 Inter *ῥέπει* et *τρεπ.* in *Γ πρὸς ὃ ῥέπει* insertum legitur. — *καὶ* ante *εἰσιν* om. *ε.* — 8 *περαιτέρω ε, περαίτεροι* cett. codd. et edd. ante Beckium. — *ἐξοχώτεροι* codd. et edd. ante Beckium (etiam in glossa). — *περαίτεροι — ἑτέρων ι''* in marg. habet; idem om. *τουτ. — πράξεων.* — 10 *αὐτὸν μ. Α.* — 11 Ante schol. Mosch. Heyne *ἄλλως*, Bœckh *σύνταξις* inseruit, idem *σύντ.* habet *μ'* in marg. — In *ι''* nihil nisi *τὸ δὲ φυᾷ* legitur, reliqua pars scholii deest. — 13 *δὲ* ante *τοῦτο* ex *αq* addidi. — 14 *διδαγμένων q.* — *ἀνθρώποις* Vrat.

περαίτεραι, ἀντὶ τοῦ δυνάμεναι μᾶλλον ἀνύεσθαι ὁδῶν ἑτέρων, πρὸς ἃς οὐκ ἔχει δηλονότι τις εὐφυῶς· οὐχ ἅπαντας δὲ ἄμμε, ἀντὶ τοῦ ἡμᾶς, μία μελέτη, ἤγουν ἓν ἐπιτήδευμα, δυνατόν ἐστι θρέψαι, ἀντὶ τοῦ οὐ δυνατὸν δέ ἐστι πάντας ἡμᾶς ἐν ἑνὶ ἐπιτηδεύματι τραφῆναι, ἤγουν τὸν βίον ἀνῦσαι, τουτέστιν ἐν ἑνὶ ζῆσαι ἐπιτηδεύματι.

152—162. *Pal.* Ἤγουν μὴ ὤν τις παλαιστρίτης καλὸς μετερχέσθω ἄλλην τέχνην· εἰσὶ γὰρ πολλαί· μία γὰρ οὐχ ἅπαντας ἡμᾶς θρέψει τέχνη, ἤγουν οὐκ ἔστι δυνατὸν πάντας παλαιστρίτας εἶναι· αἱ σοφίαι δὲ μεγάλαι εἰσὶν ἢ ὑψηλαί, ὡς εἶναι τὴν ἐπ' αὐτῶν ὁδὸν δυσχερῆ, ἤγουν τὸ κατορθῶσαί τινα ἀρετὴν δυσχερὲς ὑπάρχει.

162. *Th.* Τὸ τοῦτο πρὸς τὸ γεγάμεν ἔχει τὴν δύναμιν οὕτω· προσφέρων, ὦ θυμέ, ἆθλον καὶ ὥσπερ βραβεῖον τῆς νίκης τὸν ὕμνον τῷ Ἐφαρμόστῳ θαρσέων καὶ θαρσῶν καὶ μὴ ἀμφιβάλλων ἄρυσαι καὶ μετὰ βοῆς ὕψωσον ὄρθιον τοῦτο, γεγάμεν καὶ ὑπάρξαι τόνδε τὸν ἄνδρα τοιόνδε καὶ τοιοῦτον.

gl. 163. ὑψηλόν. — μετὰ βοῆς ὕψωσον. — 164. * τὸν Ἐφάρμοστον. — ἤγουν δαιμονίως καὶ εὐφυῶς. — ὑπάρξαι.

165. *Germ.* Ἤγουν καὶ ἐν τῷ βλέμματι δύναμιν φέρει, οὗ καὶ τὸ ὄμμα τὴν ἀλκὴν γέμει. δεξιόγυιον δέ, ποδαπόν; τὸν δεξιῶς ἐργαζόμενον καὶ ἀνάλογα τὰ μέλη ἔχοντα.

---

1. 2 περαίτεραι — εὐφυῶς om. *q*. — πρὸς οὓς Vrat. — 2 ἅπαντες μ'. — 3 ὑμᾶς Vrat. *z* μ'. — ἓν] εἰς ἓν μ'. — 4 ἡμᾶς om. *z*. — 5 ἀνύσαι *q* Vrat. *z*. — 10 κατορθῶσαι τινὰ cod. — 12 Lemma τοῦτο δὲ est in codd. et edd. mixtis. — 13 καὶ om. *i'*. — 14 καὶ θαρσῶν om. *i'*. — θαῤῥῶν edd. Heyne, Bœckh. — 15 καὶ μεταβολῆς *Γ*. — ὄρθριον *A*. — 15. 16 γέγαμεν *z*. — 16 τοῖόνδε καὶ τοῖόνδε Beck, Heyne, τοιόνδε καὶ τοιόνδε cett. codd. mixti et edd. — 19 Ante ἤγουν delevi ἤ. — 20 δεξ. δὲ τὸν δ. ἐργαζόμενον ἀνάλογα τὰ ποδαπὸν μέλη ἔχοντα *U* et Mommseni ed., nisi quod Mommsen ποδαπὸν (?) edidit. — Ad v. 165 m. prima (ut vid.) hæc adscripsit in *b*: καὶ μαρτύρησον γεγονέναι

gl. 165. *ἰσχυρὸν ταῖς χερσὶ καὶ παντὶ τῷ σώματι ἐπιτήδειον.*

166. *Th.* *Αἴας ὁ Λοκρὸς ἐν Τροίᾳ ἀποθανὼν τιμᾶται ἐν τῇ Λοκρίδι ἴσα θεῷ. κενοτάφιον γὰρ τούτου ἐνταῦθα ἐποίησαν μέσον τοῦ τόπου, ἔνθα οἱ τῆς ἐν αὐτῷ πανηγύρεως ἀγῶνες τελοῦνται. ἐνίκησεν οὖν ἐνταῦθα Ἐφάρμοστος. δέον δὲ εἰπεῖν, ἐπεστεφάνωσε τὸν βωμὸν τοῦ Ὀϊλίδα Αἴαντος· Ὀϊλέως γὰρ υἱὸς ὁ Αἴας· Αἰάντειον εἶπε πρὸς τὸν βωμόν.*

gl. 166. *πόλεμον, ἤτοι πολεμικώτατον. — ἐν τῇ πανηγύρει. — 167. * † ὁ Ἐφάρμοστος. — τοῦ υἱοῦ τοῦ Ὀϊλέως. — 168. ἐδόξασεν. — * * ἤτοι τάφον.*

161—168. *M.* *Αἱ σοφίαι μέν, ἤγουν αἱ λογικαὶ τέχναι αἰπειναί, ἤτοι ὑψηλαί· τοῦτο δὲ τὸ ἄθλον, ἤγουν τὸ γέρας, τουτέστι τὸν ὕμνον προσφέρων, ὦ νοῦ, δηλονότι τῷ Ἐφαρμόστῳ, ὄρυσαι, ἀντὶ τοῦ βόησον ὄρθιον, ἤγουν ὀξύ, ὑψηλόν, μετὰ θάῤῥους, τόνδε τὸν ἄνδρα, τουτέστι τὸν Ἐφάρμοστον, ἀπὸ μοίρας δαίμονος γεγονέναι εὔχειρα* (165), *ἤγουν γενναῖον τὰς χεῖρας, δεξιόγυιον, ἤτοι*

ὁρῶντα ἀλκήν, ἤγουν ἀνδρεῖον κατὰ τὸν ὁρῶντα αὐτόν, δῆλον ὅτι τὸν Ἐφάρμοστον. — In eodem libro hæc glossator ad v. 166: *Ὀϊλιάδης Ὀϊλιάδου κοινῶς, καὶ Αἰολικῶς Ὀϊλιάδας, Ὀϊλιάδα.*

4 *τούτω* *i''*. — 5 Displicebat *ἐν αὐτῷ* Beckio, Heyne tacite *ἐπ* (sic, errore?) *αὐτῷ*, Bœckh *ἐπ' αὐτῷ* edidit. — 6 *δὲ* omm. edd. — 7 *ὀϊλιάδα* *i''*. — *Ὀϊλέως — Αἴας* om. *i''*. — *ὁ* om. *z*. — 8 *αἰάντειος* *A*. — *τὸ βωμὸν* *Ai''*. — 12 Lemma *σοφίαι μὲν* est in *i''* (qui om. reliquam partem scholii), *σοφίαι* (*σοφίαν* *z*) *μὲν αἰπειναὶ* cett. codd. mixti et edd. — *σύνταξις* *μ'* in marg., Bœckh in textu ante lemma. — *αἱ σοφίαι — αἰπειναὶ* om. *z*. — 12. 13 *ἐπειναὶ* *aq*. — 13 *τ. δὴ τὸ* *q*. — 14 *ὦ νοῦ*] *ὦν* (ex *ὂν*) *q*, *ὢν οὐ* *μ'*. — 15 *βοήθησον* *q*, *βόησαι* *μ'* et edd. ante Beckium, qui ex cod. Bodl. correxit. — *καὶ* ante *μετὰ* add. edd. — 17 *ἤγουν* codd., *ἢ* Oxx., omm. cett. edd. Conf. Beckium: «In Ox. inseritur *ἢ* ante *γενν.*, quod potuit quidem in Call. excidere, quia folium finitur in *εὔχειρα*, sed Ox. non monuerunt, unde habeant, et abesse potest.» — *δεξιόγ.* om. *a*.

ἐπιτήδειον, εὔστροφον κατὰ πᾶν τὸ σῶμα, ὁρῶντα ἀλκήν, τουτέστι παράστημα γενναῖον ἔχοντα, ὅστις νικῶν ἐπεστεφάνωσεν, ἤγουν ἐκόσμησε δαιτί, τουτέστι δι᾽ ἑορτῆς, τὸν βωμὸν τὸν Αἰάντειον τοῦ Ὀιλιάδου, ἀντὶ τοῦ τὸν βωμὸν τὸν τοῦ Αἴαντος τοῦ υἱοῦ τοῦ Ὀϊλέως. πρὸς τὸ σημαινόμενον τοῦ κτητικοῦ ἡ ἀπόδοσις. τὸ τοιοῦτο δὲ σύνηθες καὶ τῷ πεζῷ λόγῳ.

---

3 ἐσκόσμησε q. — τουτέστι deest in edd. Beck. et Heyn. — 4 αἰάντιον Vrat. — Ὀιλιάδου edd. inde a Beckio. — 5 τόν ante τοῦ omm. edd. — 5 τοῦ υἱοῦ om. q. — ἰολέως q. — κλητικοῦ ε μ'. — 6 τὸ τοιοῦτο] τοῦτο Vrat. ε μ'.

Ἐπίνικοι Ὀλυμπιονίκαις.

Ἁγησιδάμῳ Λοκρῷ Ἐπιζεφυρίῳ παιδὶ πύκτῃ. Ὠιδὴ ι'.

[Δημητρίου Τρικλινίου]

περὶ τῶν κώλων τῶν στροφῶν καὶ ἀντιστροφῶν τοῦ ι' εἴδους. ἔστι δὲ στροφῶν ε'. Παλαιόν.

Τοῦ ι' εἴδους αἱ στροφαὶ καὶ ἀντιστροφαὶ κώλων ἑκάστη η'. Τὸ α' ἀντισπαστικὸν τρίμετρον ἀκατάληκτον, ὃ καλεῖται Ἀσκληπιάδειον ὡς εὑρόντος ἢ καταχρησαμένου αὐτῷ. σύγκειται δὲ ἐκ β' ἀντισπάστων καὶ β' ἰάμβων, ἀλλ' ὁ α' ἀντίσπαστος οὐκ ἔστι καθαρός· τρέπεται γὰρ εἰς τὰ εἰρημένα τοῦ δισυλλάβου σχήματα, καὶ ἔστιν ἐνταῦθα παίων γ'. Τὸ β' χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον, ἀρξάμενον ἐξ ἰαμβικῆς συζυγίας καὶ καταλῆξαν εἰς ἴαμβον. Τὸ γ' ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον τὸν γ' ἔχον πόδα δάκτυλον. Τὸ δ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον τοῦ α' καὶ γ' ποδὸς διαλελυμένου εἰς τρίβραχυν. Τὸ ε' προσοδιακὸν δίμετρον ἀκατάληκτον ἐξ Ἰωνικοῦ καὶ χοριάμβου, ἢ ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον σπονδείου ἀρχομένου. Τὸ ς' ἀντισπαστικὸν δίμετρον βραχυκα-

---

Scholium metricum, quod Bœckh ex Vrat. A edidit, ego ex Vrat. meo, ει'' μ' novi. — Titulum om. ε. Nihil præter titulum est in Vrat. — **5** *παλαιόν* ex Vrat. μ' et marg. ι'' addidi. — **6** *ἑκάστη* om. ι''. — **8** *ὡς* Vrat. ει'', *ἀπὸ τοῦ* Bœckh, om. Vrat. A. — **15** *δίμ. ἀκατ.* ex ι'' addidi.

τάληκτον ἤτοι ἡμιόλιον· οἱ δέ φασι Φερεκράτειον ἐνδέον μιᾷ συλλαβῇ. Τὸ ζ' Ἰωνικὸν τρίμετρον καταληκτικόν· ἡ α' Ἰωνική, ἡ β' ἰαμβικὴ καὶ ἡ γ' τροχαϊκή. Τὸ η' ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, ὃ καλεῖται Γλυκώνειον. διέλυσε δὲ τὸν ἀντίσπαστον εἰς τὸ Πέφνε Κτέατον ἀμύμονα, ποιήσας τὸ κῶλον ἐννεασύλλαβον. Ἐφ' ἑκάστῃ στροφῇ καὶ ἀντιστροφῇ παράγραφος.

Περὶ τῶν κώλων τῶν ἐπῳδῶν.

Αἱ ἐπῳδοὶ κώλων θ'. Τὸ α' χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον, οὗ ἡ α' συζυγία ἰαμβικὴ τοῦ β' ποδὸς διαλελυμένου εἰς τρίβραχυν, εἶτα χορίαμβος, εἶτα ποὺς ἁπλοῦς. Τὸ β' προσοδιακὸν τρίμετρον ἀκατάληκτον· ἡ α' συζυγία τροχαϊκὴ τοῦ α' τροχαίου διαλελυμένου εἰς τρίβραχυν, εἶτα Ἰωνικὸς ἀπὸ μείζονος, εἶτα χορίαμβος. Τὸ γ' ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον, τινὰς τῶν ποδῶν ἔχον λελυμένους. ἐμοὶ δὲ δοκεῖ Ἰωνικὸν ἀπὸ μείζονος τρίμετρον καταληκτικόν, τὸν β' ἔχον πόδα πεντασύλλαβον, ἤτοι ἰαμβικὴν συζυγίαν διαλελυμένου τοῦ β' ποδός, τὴν δὲ γ' Ἰωνικὴν καταληκτικήν. Τὸ δ' ἐπιωνικὸν τρίμετρον ἀκατάληκτον, τῆς α' συζυγίας ἰαμβικῆς λελυμένης εἰς ἴαμβον καὶ ἀνάπαιστον, τῶν δ' ἄλλων Ἰωνικῶν. Τὸ ε' Ἰωνικὸν τετράμετρον καταληκτικόν, τοῦ γ' παίωνος ἀντὶ Ἰωνικοῦ κειμένου τοῦ ἀπ' ἐλάσσονος, εἶτα Ἰωνικῶν, καὶ τροχαϊκῆς συζυγίας καταληκτικῆς. Τὸ ς' ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον ἐξ ἰάμβων καὶ ἀναπαίστων. ἐμοὶ δὲ δοκεῖ ὡς ἰαμβέλεγός ἐστι τὸ τοιοῦτο κῶλον·

---

1 *ἤγουν ι''.* — **2** *συλλῇ μ'.* — **6** *ἐφ' ἑκάστης στροφῆς καὶ ἀντιστροφῆς π. ι''.* — Explicit codex *z*. — **8** *τῶν* ante *κώλων* om. *ι''*. — **9** *αἱ ἐπωδοὶ ι''*, *ἑκάστη ἐπῳδὸς* cett. — **10** *διαλυομένου ι'' μ'.* — **13** *διαλελυμένου μ'*, *διαλυομένου* cett. — *εἰς τρι . . . ωνικὸν* (non *ἰωνικόν*, quod Boeckh enotavit) Vrat. *Δ*. — **14. 15** *τρ. . . του τινὰς* Vrat. *Δ*. — **15** ionicus *ι''*. — **21** *τοῦ* ante *ἀπ'* om. *ι''*. — **22** *ἰω . . .* Vrat. *Δ*. — **24** *ἐστι* (non *ἔστι*) *τὸ . . κῶλον* Vrat., unde *ἐστι τοῦτο τὸ κῶλον* Boeckh. — *τοιοῦτον ι''*.

ἐκ γὰρ β' ἰάμβων καὶ συλλαβῆς καὶ ἐκ β' δακτύλων καὶ συλλαβῆς σύγκειται. εἰ δ' ἔν τισι τῶν κώλων καὶ τρίβραχυς εὕρηται, ἀλλ' οὐκ ἔστι τρίβραχυς, ἀλλὰ δάκτυλος· κοινὴ γὰρ συλλαβὴ τὰ τέλη τῶν λέξεων ἐν τῷ δακτυλικῷ λελόγισται. Τὸ ζ' προσοδιακὸν τρίμετρον βραχυκατάληκτον ἐξ Ἰωνικοῦ ἀπὸ μείζονος, χοριάμβου καὶ ἡμίσεος ποδὸς ἀδιαφόρου. Τὸ η' ἰαμβικὸν δίμετρον ἀκατάληκτον· ὁ β' ποὺς ἀνάπαιστος, ὁ δὲ δ' τρίβραχυς. Τὸ θ' Ἰωνικὸν δίμετρον καταληκτικὸν ἀπὸ τροχαϊκῆς εἰς Ἰωνικὴν συζυγίαν. Ἐπὶ τῷ τέλει τὰ συνήθη σημεῖα.

---

1. *Th.* Ἔοικεν ὁ Πίνδαρος ἐκ πολλοῦ συνθέμενος γράφειν αὐτῷ τὸν ἐπινίκιον ὀλιγωρῆσαι διά τινα περιπέτειαν· νῦν οὖν ὥσπερ τι χρέος ἀποδίδωσιν αὐτῷ τὸν παρόντα ὕμνον. ἐπεὶ δὲ τὸ χρέος γεγονὸς χρόνιον ἀπαιτεῖ καὶ τόκον, προστίθησι μετὰ ταῦτα καὶ ᾠδάριόν τι ὥσπερ τινὰ τόκον. τὸ δὲ ἀνάγνωτε οὐχ, ὥς φασί τινες, ἀντὶ τοῦ ἀναγνωρίσατε, ἀλλ' ἐπειδὴ γέγραπται λέγει, διὰ τοῦτο ἀνάγνωτε εἶπε· τὰ γὰρ γεγραμμένα ἀναγινώσκεται. φασὶ δέ τινες πρὸς τὰς Μούσας πάσας ποιεῖσθαι τὸν λόγον· ἐγὼ δέ φημι πρὸς τὴν Μοῦσαν καὶ τὴν Ἀλήθειαν, εἰ καὶ ὕστερον ταύτας ἐπιβοᾶται.

---

1. **2** συλλαβῆς ι' μ', συλλαβῶν cett. — **3** ἀλλ' om. ι'. — τρίβρ. ι' μ', τρίμετρον cett. — **4** δακτ. . . . . Vrat. *A*. — **5** ἰαμβικοῦ Vrat. *A*. — **7** ὁ β' π.] primus pes ι'. — **9** Ante scholia inscriptio σχόλια τῶν αὐτῶν legitur in Vrat. ι' μ'. — **10** Lemma τὸν ὀλυμπιόνικαν est in ι'. — ἐκ παλαιοῦ Γ, om. ι'. — καὶ γρ. ι'. — **11** ἐπίνικον *A*. — ὀλιγορῆσαι Vrat. μ' et edd. ante Beckium. — προπέτειαν Γ, περιπάτειαν μ' et edd. ante Beckium. — οὖν om. *A*. — **12** ὡσπέρ τι *A* et ed. Ro. — **13** γεγονὼς μ'. — **13. 14** μεταταῦτα ed. Ro. — **14** ὡσπέρ τινα *A* et ed. Ro. — Novum comma a τὸ δὲ incipit in Γ*A*. — **15** ὡς φασὶ τινὲς *A*. — **16** γὰρ Γ*A*, δὲ cett. — **16. 17** ἀναγινώσκετε μ'. — **17** πρός] ὅτι πρὸς Heyne, Boeckh. — ποιεῖται edd. — μούσας ποιεῖσθαι πάσας Γ.

gl. 1. τὸν ἐν τῇ Ὀλυμπίᾳ νικήσαντα πυγμῇ. — 2. * † τὸν Ἀγησίδαμον. — ποῦ. — 3. ἐγράφη.

4. *Th.* Ἐπειδὴ ποιήσειν αὐτῷ ὕμνον εἰπὼν οὐκ ἐψεύσθη, ἀλλ' ἐπελάθετο, διὰ τοῦτό φησιν· ὦ Μοῦσα καὶ ὦ Ἀλήθεια, ἀντὶ τοῦ α' λόγοι τῆς ἐμῆς ποιήσεως, ἀληθῶς, ὡς ὑπεσχόμην, ἐπαινέσαντα αὐτὸν μὴ συγχωρήσητε ψευδομένου αἰτίαν λαβεῖν με.

gl. 4. ὕμνον. — εἰς λήθην ἦλθον.

5. *Germ.* Ἀλιτόξενον ἐνιπὴν τὴν ἐπιτίμησιν καὶ τὴν ἐπίπληξιν τὴν διαμαρτάνουσαν εἰς τοὺς ξένους καὶ ποιοῦσαν ἁμαρτάνειν εἰς τοὺς φίλους αὐτῶν· τὸ γὰρ ξένος λέγει ὁ φίλος.

gl. 5. Καλλιόπη ἢ Τερψιχόρη. — 7. * † δικαίᾳ. — κωλύσατε. — 8. κακολογίαν τὴν ἁμαρτάνουσαν εἰς τοὺς ξένους ἢ τὴν ἐπενεχθησομένην μοι ὡς ἀλιτῶντι καὶ ψευσαμένῳ περὶ τοὺς φίλους.

9. *Th.* Τὸ μέλλων λέγει ὡς πρὸς τὸν καιρόν, καθ' ὃν

---

3 Lemma ὦ μοῖσα est in Γ, ὦ μοῖσ', ἀλλὰ σύ in cett. codd. mixtis et edd. — ὕμνον ex ΓΔ addidi. — εἰπὼν omm. Vrat. Γ. — 4 α' post καὶ om. Γ. — 5 ἐπεσχ. Vrat. — 6 ἐπαινέσας Vrat. ante corr., ἐπαινέσοντα edd. inde a Beckio, qui hæc adnotavit: »Scripsi ἐπαινέσοντα pro vulg. ἐπαινέσαντα. Structura verborum est: μὴ συγχωρήσητε ἐμὲ ἐπαινέσοντα αὐτὸν ἀληθῶς ὡς ὑπεσχ. etc. Pro ἀληθῶς etiam scribi potuit ἀληθεῖς, cum λόγοι iungendum.« — συγχωρήσατε Δ. — ψευδόμενον ΓΓ'. — 9 ἐνιπὴν ego addidi. — 11 λέγει scripsi pro λέγεται. Possis etiam ξένος γὰρ λέγεται ὁ φίλος, vel τὸ γὰρ ξένος λέγει (vel σημαίνει) τὸ φίλος. — 12 Ad v. 7 εἴπερ (sic Heyne et Boeckh pro ἤνπερ) ἐπιλέλησμαι Ἀγησιδάμου καὶ γέγονα ῥᾴθυμος καὶ ἀχάριτος scholium legitur in b, ad vocem ἀλιτόξενον glossa τὴν ὀνειδιστικὴν τῶν ἀνθρώπων, τὴν (adde ὀνείδη) προφερομένην in b, ἁμαρτάνουσαν εἰς τοὺς φίλους in Bodl. β. — 14 ἀλιτῶντι codd. omnes. — 16 Lemma Ὁ μέλλων χρόνος est in codd. mixtis et edd. — τὸ μέλλον Vrat.

ὑπέσχετο ὑμνῆσαι. ὁ γὰρ μετ' αὐτὸν ἐπιὼν χρόνος ὡς πρὸς αὐτὸν μέλλων ἦν.

gl. 9. *ἐκ πολλοῦ.* — *ἐπιγενόμενος.* — 10. *αἰσχύνονται γὰρ οἱ χρεωστοῦντες οὓς χρεωστοῦσιν.* — *ποταπόν; πολύ.* — 11. * * *διαλῦσαι.* — *ποταπήν; ταχεῖαν.* — 12. *ὃν οἱ ἄνθρωποι διδόασιν ὀφείλοντες.*

1—12. M. *Τὸν Ὀλυμπιονίκαν ἀνάγνωτέ μοι, ὦ παρόντες δηλονότι, ἤγουν ἀναγνόντες ὥσπερ ἐν βιβλίῳ γράμματα, εἰς μνήμην ἀγάγετέ μοι τὸν υἱὸν τοῦ Ἀρχεστράτου, τὸν Ἁγησίδαμον τὸν Ὀλυμπιονίκην, ἐν ποίῳ μέρει τῆς ἐμῆς μνήμης ἐστὶ γεγραμμένος, ἤτοι ἀποκείμενος. γλυκὺ γὰρ μέλος, ἀντὶ τοῦ ἡδὺν ὕμνον χρεωστῶν αὐτῷ ἐπελαθόμην. ἀλλ' ὦ Μοῦσα* (5), *σὺ καὶ ἡ Ἀλήθεια ἡ θυγάτηρ τοῦ Διὸς ἐρύκετον, ἤγουν ἐρύκετε, κωλύετε, παύετε ὀρθῇ χειρί, ἤγουν δικαίᾳ, ἀντὶ τοῦ κωλύετε διὰ τῆς χειρὸς δικαίως, τὴν ἐνιπήν, ἤτοι τὴν ἐπιτίμησιν τῶν ἀνθρώπων τὴν ἕνεκα ψευδῶν, τὴν ἀλιτόξενον, τουτέστι τὴν ὀνείδη προσφέρουσαν ἡμῖν ἕνεκα τῆς εἰς τὸν φίλον ἁμαρτίας. ἕκαθεν γάρ* (9), *ἤγουν πρὸ πολλοῦ χρόνου ἐπελθών, τουτέστι παραγενόμενος, ἐνστὰς ὁ μέλλων χρόνος, ἤτοι ὁ ἀποκείμενος, ὁ συμπεφωνημένος, τὸ ἐμὸν χρέος τὸ βαθύ, τουτέστι τὸ πολύ, κατῄσχυνεν, ἤγουν ἤλεγξεν, ἐπονείδιστον ἔδειξεν. ὅμως δὲ*

---

2 *μέλλας ἦν Γ.* — 7 *τὸν ὀλυμπιονίκην* lemma legitur in *Γ'*, qui om. scholium in spatio. — *σύνταξις* margo *μ'*. — 9 *ἄγετε a.* — *τὸν* ante *Ἁγησ.* om. *a.* — 10 *μένει* Vrat. — *ἐμῆς* om. *q.* — 12 *ἀπελ. q*, om. Vrat. in spatio, *ἀπελ. ἀλλ'* omm. edd. ante Oxx. — 13 *ἡ* ante *Ἀλ.* om. Vrat. — 14 *κωλύετε*] *λύετε* edd. ante Beckium, qui e codd. Oxx. correxit. — *ὀρθὴ a.* — *χειρὶ aq* Vrat., *χειρί* cett. — 15 *δικαίας* «ad sensum omnino necessarium» post *χειρὸς* addidit Beck, retinuit Heyne. — *δικαίος a*, *δικαίως* ex *δικαία q.* — *ἤτοι aq*, *ἤγουν* cett. — 16 *τῶν ἕνεκα a.* — *τῶν ψ.* codd. mixti et edd. — *ἀλιτ. q.* — 17 *ὀνειδος* ex *ὀνείδη q.* — *προσφέρ. a.* — 18 *ἤγ. ἐκ προπολλοῦ a.* — 19 *ὁ* post *ἤτοι* om. *μ'*. — 20 *χρέος*] *χρόνος a.* — 21 *ἔλεγξεν* Vrat. *μ'*.

δυνατός ἐστιν ὁ τόκος, ἤγουν ὁ ὕμνος ὁ ἐπὶ τῷ ὀφειλομένῳ ὕμνῳ προστεθησόμενος, λῦσαι τὴν ἐπιμομφήν, τουτέστι τὴν πολλὴν μέμψιν τῶν ἀνθρώπων, τὴν ὀξεῖαν, ἤγουν τὴν ὀξέως κινουμένην, τουτέστι τὴν μετ' ὀργῆς καὶ ἀγανακτήσεως κινουμένην.

gl. 13. τὰ τῆς ἄμμου λιθίδια. — περιφερομένην τῷ κύματι. — 14. * ὥσπερ.

15. Germ. Ὄπα καὶ ὅπου τὸν κοινόν, ἤτοι τὸν μέλλοντα ᾄδεσθαι κοινῶς· κοινὸς γὰρ ὁ ἔπαινος διὰ τὸ τοιοῦτον. ἢ ὅτι διὰ τοὺς ν' χορευτὰς ᾖδετο· ἢ ὡς τὸν μέλλοντα ᾄδειν καὶ ἐμὲ διὰ τὴν φιλίαν.

Th. Τὸ κοινὸν λόγον ἀντὶ τοῦ πάγκοινον τοῖς μετιοῦσι νῦν τε καὶ ἐσύστερον. ἔχει δὲ τὸ ὄπα τε τὴν δύναμιν πρὸς τὸ τίσομεν ἐς φίλαν χάριν· τὸ δὲ κοινὸν λόγον ὕστερον λέγε.

gl. 15. ἀφανίσει καὶ πόῤῥω θήσει. — * φωνὴν καὶ ὕμνον. — 16. ἀποδώσομεν Ἁγησιδάμῳ.

17. Th. Εἰ μὲν εἴποις νέμει γὰρ ἀτρέκεια πόλιν Λοκρῶν, τὸ νέμει ἀντὶ τοῦ διοικεῖ καὶ διεξάγει νοήσεις· εἰ δὲ ἀτρέκειαν πόλις, τὸ νέμει ἀντὶ τοῦ τρέφει ἐρεῖς.

Th. Λοκροὶ Ἐπιζεφύριοι, Λοκροὶ Ἐπικνημίδιοι, Λοκροὶ Ὀπούντιοι, Λοκροὶ Ὀζόλαι. τέσσαρα γὰρ γένη Λοκρῶν.

gl. 17. * † διοικεῖ· — * * διεξάγει. — ἀλήθεια· διὸ καὶ ἡμᾶς δεῖ τὴν πρὸς αὐτὴν ὑπόσχεσιν ἐκτελέσαι.

---

1 ἤγουν — ὀφειλ. bis scripta sunt in Vrat. — 2 προστιθεισ. q μ'. — 3 ὀξέως α. — 8 τὸν κοινὸν ego addidi. — 10 ᾖδετο ego addidi. — Post ὡς delevi ὅτι. — 12 Ὄπα τέ κ. λ. ἀντὶ Vrat. — 13 τε om. ι'. — ἐς ἕστερον Δ Vrat. — ὅπα Δ. — τέ (sic codd.) ex Γ Vrat. ι'μ' addidi. — 15 λέγε ΓΔ ι' μ', λέγει cett. — 18—20 ex ΓΔ edidi. — 21 Lemma πόλιν Λοκρῶν est in codd. mixtis et edd. — 22 In ι' verba τίσσ. γ. γ. Λοκρῶν post lemma leguntur. — γὰρ om. Δ.

18. *Th.* Τὸ Καλλιόπη λέγει, ἢ ὅτι καὶ παρ' αὐτοῖς ἡ ποιητικὴ χάρις ἐσπουδάζετο, ἢ ὅτι νίκας ποιοῦντες τοὺς ποιητὰς εἰς ὕμνον ἐγείρουσιν.

gl. 18. * διὰ φροντίδος ἐστί. — * τοῖς Λοκροῖς. — 19. σιδηροφόρος.

13—19. *M.* Νῦν σκοπήσωμεν δηλονότι, ὅπως τὸ κῦμα τὸ ῥέον κατακλύσει, ἤγουν καλύψει, τὴν κυλιομένην παρὰ τῷ αἰγιαλῷ ψῆφον· συμβολικὸς ὁ λόγος, ἀντὶ τοῦ νῦν σκοπήσωμεν, ὅπως ἡ δύναμις τῶν ἡμετέρων λόγων ἀποκρύψει τὴν φερομένην καθ' ἡμῶν τῶν ἀνθρώπων μέμψιν, ὅπως τε κοινὸν ὕμνον πάσῃ τῇ πόλει δηλονότι ἀποδώσομεν εἰς χάριν ἀφορῶντα, ἤγουν δύναμιν ἐπαγωγόν, φίλην, τουτέστι φιλουμένην. ἔχομεν δὲ δηλονότι εὐπορίαν λόγων· νέμει γάρ (17), ἤγουν διοικεῖ τὴν πόλιν τῶν Λοκρῶν τῶν Ἐπιζεφυρίων τὴν πατρίδα τοῦ Ἁγησιδάμου ἀτρέκεια, τουτέστιν ἀλήθεια, καὶ διὰ φροντίδος ἐστὶν αὐτοῖς, ἤγουν τοῖς Λοκροῖς, ἡ Καλλιόπη, τουτέστι καὶ ποιητικοί εἰσι, καὶ ὁ Ἄρης, ἤγουν ὁ πόλεμος, ὁ χαλκῷ, ἤτοι ὅπλοις ὠχυρωμένος, μέλει αὐτοῖς, τουτέστι καὶ πολεμικοί εἰσιν.

19. *Pal.* Καὶ εἰ ἐνικήθης, μή σοι μελέτω. τράπε γάρ, καὶ τὸ ἑξῆς.

---

1. 2 ἢ ὅτι ἡ π. χ. καὶ παρ' αὐτοῖς ἐσπ. ι'. — **6** νῦν ψᾶφον· νῦν σκοπήσομεν ι', qui om. cetera in spatio. — Lemma νῦν (μῦν μ') ψᾶφον est in codd. mixtis et edd. — σύνταξις margo ι' μ'. — σκοπήσομεν Vrat. ι'' μ' et edd. ante Beck. — **7** ἤγ. κατακαλύψει edd. — **8** συμβουλευτικὸς edd. ante Beck. — **11** ἀποδάσομεν Vrat., ἀποδώσωμεν edd. ante Heyn. — **12** φίλην] φήμην edd. ante Beckium, qui φήμην φίλην edidit. — **13** ἀπορίαν μ'. — **15** διὰ φροντίδος ἐστὶν Beck primus e codd. Oxx. addidit. — αὐτοῖς omm. edd. ante Boeckhium. — **15. 16** ἤγουν τοῖς om. a. — ἤγουν τοῖς Λοκροῖς omm. edd. ante Boeckhium. — **17** ἤγουν (ἤτοι Beck, Heyne) — ὠχυρ. Beck primus e codd. Oxx. addidit. — μέλλει q. — **18** αὐτοῖς τοῖς Λοκροῖς r. edd. — εἰσὶ a. — **19. 20** καὶ τὸ ἑξῆς Boeckh addidit ad supplendam sententiam.

Th. Κύκνος ὁ Ἄρεος υἱὸς ἐν παρόδῳ τῆς Θετταλίας οἰκῶν τοὺς παριόντας ἐκαρατόμει, βουλόμενος ἐκ τῶν κεφαλῶν Ἄρει νεὼν ἀνεγεῖραι. παριὼν οὖν καὶ ὁ Ἡρακλῆς καὶ ὑπὸ τούτου ἐπιβουλευθεὶς μάχην συνῆψεν αὐτῷ. βεβοηθηκότος δὲ Ἄρεος τῷ παιδὶ τραπεὶς ἀνεχώρησεν, ἀλλ' ὕστερον μόνον Κύκνον εὑρὼν ἀπέκτεινε. λέγει οὖν τὴν Ἡρακλέους τροπὴν εἰς παραμύθιον Ἀγησιδάμου ὀκλάσαντος μὲν ἐν τῇ τῆς πυγμῆς μάχῃ καὶ τὸν ἀντίπαλον ἂν παρὰ μικρὸν νικῆσαι ποιήσαντος, εἰ μὴ ὁ ἀλείπτης αὐτοῦ Ἴλας ἰδὼν θάρσος ἐνέβαλε· διὸ καὶ ἐνίκησεν.

gl. 19. εἰς τροπὴν ἔφερε.

20. *Germ.* Ὑπέρβιον τὸν Ἡρακλέα, τουτέστι τὸν ἰσχυρόν.

gl. 20. τὸν λίαν ἰσχυρόν. — ποταπός;

21. *Pal.* Νικῶν δὲ ὁ Ἀγησίδαμος ἐχέτω χάριν τῷ ἀλείπτῃ αὐτοῦ Ἰόλᾳ ὡς τῷ Ἀχιλλεῖ Πάτροκλος.

gl. 21. * * ἐν τῷ Ὀλυμπιακῷ ἀγῶνι. — τῷ αὐτοῦ ἀλείπτῃ. — 22. ὁ νῦν εὐφημούμενος. — διὰ γὰρ αὐτὸν καὶ οὗτος ἐνίκα. — * * Ἀχιλεῖ] διὰ τὸ μέτρον. — 23. παρακινήσας. — * * ἄν. — τινά. — * τὸ ἀρετῇ ἢ πρὸς τὸ θήξας, ἵν' ᾖ· παρακινήσας ἐν ἀρετῇ, ἢ πρὸς τὸ ὁρμῆσαι, ἵν' ᾖ· ὁρμῆσαι ἐν ἀρετῇ πρὸς κλέος μέγα. — πρός. — 24. μέγα. — ἀγαγεῖν λέγεται ὥσπερ Ἴλας Ἀγησίδαμον. — 25. τίς. — * † βοηθεία.

---

1 Ἱστορία. τράπε δὲ Κυκνεία est lemma in codd. mixtis et edd., nisi quod ἱστορία deest in codd. — ἄρεως Γ'' ante corr. et edd. — 2 ἐκαρατόμη edd. ante Beck., ἐκαρατόμησε cett. edd. ante Bœckh. — 3 ἐγεῖραι Γ. — οὖν om. Γ. — ὁ ex Γ'' addidi. — ὑπὸ] παρὰ Γ, om. Δ. — 4 μάχην om. Γ'. — ἄρεος Γ'', τοῦ ἄρεος Δ, ἄρει Vrat. μ'. — 6 ἀπέκτεινεν Γ'. — τὴν τοῦ ἡρ. Γ. — παραμυθίαν codd. mixti et edd. — 7 ἐν τῷ τ. π. ἀγῶνι codd. mixti et edd. — 9 ἴλας Γ, Ὕλας edd. — 11 Post ὑπέρβ. delevi δέ. — 13 Hanc notam omisit Bœckh. — τῷ scripsi pro τό. — 18 Glossa Thomana, quam Δ solus servavit, in codd. mixtis et edd. scholiorum corpori inserta est. — ἀρετὴν Δ. — 20 Post κλ. μέγα in codd. mixtis et edd. ἢ τῇ ἑαυτοῦ ἢ τῇ ἐκείνου additur.

23—25. *Germ.* *Καὶ φῶτ᾽ ἀρετᾷ]* ὁ νοῦς· καὶ τὸν φῶτα δὲ καὶ τὸν ἄνδρα ὁ ἀνὴρ σὺν τῇ παλάμῃ καὶ σὺν τῇ βοηθείᾳ καὶ τῇ συνεργίᾳ τοῦ θεοῦ (ἐξασφαλίζεται τοῦτο οὕτω) θήξας καὶ διεγείρας καὶ ὀξύνας τῇ ἀρετῇ ὁρμᾶσαι καὶ ἀναβιβασθῆναι ἐποίησεν εἰς κλέος καὶ δόξαν πελώριον καὶ μέγα καὶ λαμπρόν.

gl. 26. * χωρὶς πόνου. — * † χαράν. — ὀλίγοι. — 27. ἡ γὰρ τῆς νίκης δόξα ἁπάντων τιμιωτέρα ἐστὶ τῷ ἔχοντι.

26. 27. *Germ.* Ὀλίγοι εἰσὶν οἱ χωρὶς πόνου λαβόντες χαράν, ἤγουν νίκην· ἥτις ἐστὶ φῶς ἐν βιότῳ καὶ ἐν τῇ ζωῇ. ἢ οὕτω· χάρμα δὲ ἄπονον πρὸ πάντων τῶν ἔργων παῦροί τινες, ἀντὶ τοῦ οὐδέ τινες, ἔλαβον· ὅπερ τῷ βίῳ αὐτῶν καὶ τῇ ζωῇ, τὸ χάρμα, ἐστὶ φάος.

19—27. *M.* *Τράπε δέ]* ἤγουν εἰς φυγὴν ἐκίνησε καὶ τὸν Ἡρακλέα τὸν ὑπερβολικῶς ἰσχυρὸν ἡ μάχη ἡ Κυκνεία, ἤγουν ἡ τοῦ Κύκνου τοῦ υἱοῦ τοῦ Ἄρεος, τουτέστιν ἣν μετὰ τοῦ Κύκνου συνεκρότησεν ὁ Ἡρακλῆς. τοῦτο δὲ εἶπεν, ἐπειδὴ ὁ Ἀγησίδαμος ὑπεστάλη ἐν τῷ ἀγῶνι, εἶτα ὑπὸ τοῦ Ἴλα τοῦ ἀλείπτου ἀναρρωσθεὶς ἐνίκησε. διὸ ἐπάγει· τοὺς πύκτας δὲ ἐν τῇ Ὀλυμπιάδι νικῶν ὁ Ἀγησίδαμος τῷ Ἴλᾳ φερέτω χάριν, ἤγουν εὐχαριστίαν, ὥσπερ ὁ Πάτροκλος τῷ Ἀχιλλεῖ ἔφερε δηλονότι, ὅτε ἔτρεπε τοὺς Τρῶας μετὰ τῶν ὅπλων αὐτοῦ. παρορμήσας δ᾽ ἂν ἀνὴρ σὺν

---

3 Signa parenthesis addidit, *οὕτω* pro *οὕτως* scripsit Mommsen. — 8 Ante *ὀλίγοι* delevi *ἢ οὕτως*. — 9 *οὕτως U*. — 13 Lemma *τράπε δὲ κυκνεία* est in Vrat. *ι΄΄ μ΄*. — Quæ post *φυγὴν* leguntur om. *ι΄΄* in spatio. — *σύνταξις* margo *μ΄*. — 14 *ἡρακλῆ τ. ὑπερβελικῶς q*. — *κύκνεια q*. — 15 *τοῦ* ante *Ἄρεος* ex *aqμ΄* addidi. — *ἄρεος aq* Vrat. *μ΄*, *ἄρεως* cett. — *τουτέστιν* ex *aq* Vrat. *μ΄* addidi. — 16 *ἐπεὶ ὁ q*. — 17 *συνεστάλη* Vrat. *μ΄* et edd. ante Oxx. — Post *ἐν* delevi *αὐτῷ* cum *a q μ΄*. — *ἴλα a q μ΄*, *ἵλα* cett., nisi quod *Ἴλα τοῦ* om. Vrat. — 17. 18 *ἀναῤῥωθεὶς* Vrat. *μ΄* et edd. ante Oxx. — 19 *Ὕλᾳ* edd.

παλάμῃ, ἤγουν βοηθείᾳ θεοῦ, ἄνδρα πρὸς ἀρετήν, πρὸς πελώριον, τουτέστιν ὑψηλότατον, ὥρμησεν, ἀντὶ τοῦ ἀνεβίβασεν, ὕψωσε κλέος. ὀλίγοι δέ τινες, ἀντὶ τοῦ οὐδέ τινες ἔλαβον χαρὰν χωρὶς πόνων, λέγω φῶς τῷ βιότῳ, τουτέστι τῇ παρούσῃ ζωῇ, ἔργων πρὸ πάντων, ἀντὶ τοῦ ἀπὸ πάντων φημὶ τῶν ἔργων.

gl. 28. *τὸν Ὀλυμπιακὸν ἀγῶνα. — ὑπέρτατον τῶν ἄλλων. — ὑμνῆσαι.* — 29. *τοὺς γὰρ νικῶντας δίκαιον ἐπαινεῖν.* — * † *διήγειράν με. — ἀγῶνα. — παλαιῷ.*

30. *Th. Τὸ πὰρ Πέλοπος εἰ μὲν συνάψεις πρὸς τὸ σώματι, οὕτως ἐρεῖς· ὅντινα ἀγῶνα ἐκτίσατο καὶ ἐποίησεν ὁ Ἡρακλέης βωμὸν ἐξάριθμον παρὰ τῷ ἀρχαίῳ σώματι τοῦ Πέλοπος, ἤτοι τῷ ἔχοντι τὸ σῶμα αὐτοῦ τάφῳ, ἵν᾽ ᾖ τὸ ὂν ἐκτίσατο βωμὸν ἐξάριθμον ἀντὶ τοῦ ὂν ἔθηκεν ἐν τῷ κτισθέντι ὑπ᾽ αὐτοῦ ἐξαρίθμῳ βωμῷ. εἰ δὲ τὸ Ἡρακλῆς πρὸς τὸ ἀρχαίῳ σώματι συνάψεις, τὸ πὰρ Πέλοπος πρὸς τὸ βωμὸν ἐξάριθμον νοήσεις οὕτως· ὅντινα ἀγῶνα παρὰ τὸν ἐξάριθμον βωμὸν τοῦ Πέλοπος, ἤτοι τὴν ἐν Πελοποννήσῳ Πίσαν ἐκτίσατο ὁ Ἡρακλέης ἐν ἀρχαίῳ σώματι, ἤτοι ὂν ὁ παλαιὸς Ἡρακλῆς συνέστησεν. ὃ καὶ κρεῖττον.*

gl. 31. * *ἤγουν ἓξ βωμοὺς τὸν ἀριθμὸν ἔχοντα·* — * * *οὕτως ἄμεινον γράφεσθαι βίη Ἡρακλέος· οἱ δὲ γράφοντες ἑτέρως οὐκ ὀρθῶς γράφουσιν.* — 32. *συνέστησεν.* — * *υἱὸν Ποσειδῶνος.*

---

1 Post *ἤγουν* delevi *σὺν* cum *aq*. — **2. 3** *ἀντὶ — τινες* om. Vrat. — **4** *ζωή q*. — **5** *προπάντων q*. — *ἀντὶ τοῦ* omm. edd. — **9** Hoc scholium ex *ΓΔ* edidi. — *συνάψει π. τῷ σ. Δ*. — **12** *αὐτοῦ τῷ τ. Γ*. — **14** *πρ. τῷ ἀρχ. Δ* ante corr. — **16** *οὕτω ΓΔ*. — **17** *πελοπονήσω πίσαν ΓΔ*. — *ἐκτήσατο Δ*. — **19** *ὃ*] *ὁ Γ*. — **20** In cod. Boll. *β* hoc scholium legitur ad v. 30: *σύναψον τὴν παρὰ μετὰ τοῦ ἀρχαίῳ σώματι*. — **21** *οὕτω* mei codd., *οὕτως* Bœckh ex Mosc. *B* et Mommsen (in ed. mai.) ediderunt; deest notula in cett. edd. — **22** *ἑτέρως* Mommsen, *τερον* (sic) Vrat., *ἑτέρου μ'*, *ἕτερον* Mosc. *B*.

33. *Th.* Κτέατος καὶ Εὔρυτος Μολιόνης καὶ Ποσειδῶνος υἱοί. ὅτε δὲ Ἡρακλῆς μετὰ Τιρυνθίων κατ' Αὐγείου ἐστράτευσε, συμμαχοῦντες οὗτοι Αὐγείᾳ ἔν τινι τόπῳ τῆς Ἤλιδος λοχήσαντες τοῦ στρατοῦ τὸ πλεῖστον διέφθειραν, ἔπειθ' ὕστερον αὐτοὺς Ἡρακλῆς εἰς τὸν Ἰσθμιακὸν ἀγῶνα μέλλοντας ἀπιέναι λοχήσας καὶ αὐτὸς ἐν ταῖς λόχμαις τῶν Κλεωνιῶν, τούτους ἀπέκτεινε. μονωθέντος οὖν Αὐγείου πρῶτον μὲν τὴν πόλιν αὐτοῦ πορθεῖ, ἔπειτα καὶ αὐτὸν ἀναιρεῖ.

gl. 33. ἐφόνευσεν. — * * Κτέατον] συνίζησις. — τὸν εἰς ἀνδρίαν ἐπαινετόν. — 34. οὗτοι γὰρ συμμαχοῦντες Αὐγείᾳ οὐκ εἴων αὐτὸν ἀποδοῦναι ὃν ὑπέσχετο μισθόν. — δουλικόν· ἤτοι τὸν διὰ τὴν τῆς κόπρου ἐκφόρησιν. — 35. τὸν ἰσχυρόν. — 36. ἀπήτει.

36. *Th.* Τὸ ὡς πράσσοιτο ἢ τὸ ὡς ἀντὶ τοῦ ἐπεί, ἵν' ᾖ τὸ πράσσοιτο ἀντὶ τοῦ ἔπρασσεν, ἢ τὸ ὡς ἀντὶ τοῦ ἵνα, ἵν' ᾖ πρὸς μέλλοντα. τὸ δὲ ὑπέρβιον πρὸς τὸ Αὐγέαν συναπτέον.

34—36. *Germ.* Ὡς Αὐγέαν λάτριον] ὁ νοῦς· ὡς καὶ ὅτι (ἢ ἀντὶ τοῦ ἵνα) πράσσοιτο ἀντὶ τοῦ ἀπαιτητικῶς ἀπήτει καὶ ἐζήτει τῷ Αὐγέᾳ τὸν μισθὸν τὸν λάτριον, τὸν ὑπέρβιον καὶ τὸν πολὺν ἐχὼν καὶ βουλόμενος ὁ Ἡρακλῆς ἀέκοντα καὶ μὴ βουλόμενον τὸν Αὐγέαν. Εὔρυτος δὲ λέγεται υἱὸς ὢν καὶ αὐτὸς Ποσειδῶνος. λάτριον δὲ τὸν μισθὸν τὸν καὶ δούλειον, ὅτι ἐλάτρευσεν αὐτῷ καὶ μετὰ ταπεινοφροσύνης.

---

1 εὔρυτον Γ, εὔριτος Δ. — 5 ἰαθμ. Δ, εἰσθμ. Γ, omm. cett. — λοχίσας ed. Ox. — 6 λόγχμαις Δ. — 10. 11 οἶτοι — μισθὸν om. Γ. — γάρ om. Δ. — ὑπεσχέθη Δ. — 14 Hoc scholium om. Δ. — Τὸ ex Γ addidi. — ἢ ante τὸ ex Γ addidi, et eundem librum secutus delevi ἢ post ὡς. — 15 τὸ ὡς ex Γ addidi. — 16 πρ. τὸ μ. μ', πρ. τὸν μ. Vrat. et edd. — πρ. τὸ Γι' μ', πρ. τὸν cett. — αὐγέαν Γ Vrat. ι'', αὐγείαν cett. — 17 Ante Ὡς delevi ἢ οὕτως. — 22 ὅτι scripsi pro ὅτε.

28—36. M. *Τὸν ἀγῶνα δὲ τὸν ἐξαίρετον*, ἀντὶ τοῦ τὸ κατασκεύασμα τὸ ἐν Ὀλυμπίᾳ, ἔνθα ὁ ἀγὼν ἐτελεῖτο, ὑμνῆσαι ὦρσαν, ἤγουν διήγειραν ἐμέ, δηλονότι αἱ θέμιτες, ἤτοι αἱ νομοθεσίαι τοῦ Διός, αἱ κατὰ νόμους συνήθειαι. τοῦ Διὸς δὲ λέγει αὐτάς, ἐπεὶ βασιλέα πάντων αὐτὸν ἐνόμιζον, βασιλέως δὲ τὸ νομοθετεῖν. ὅν, ἤγουν τὸν ἀγῶνα, ἡ ἰσχὺς τοῦ Ἡρακλέος, περιφραστικῶς ἀντὶ τοῦ ὁ Ἡρακλῆς, ἐκτίσσατο (32), ἀντὶ τοῦ ἔκτισε, κατεσκεύασε, πλησίον τοῦ ἀρχαίου μνήματος τοῦ Πέλοπος· ἐπεί, ἤγουν ἀφ' οὗ, τὸν Κτέατον τὸν ἀμύμονα, ἤτοι τὸν ἄψογον ἐφόνευσε, τὸν υἱὸν τοῦ Ποσειδῶνος· ἐφόνευσε δὲ τὸν Εὔρυτον τὸν ἀδελφὸν αὐτοῦ, ἵνα πράσσοιτο, ἤγουν ἀπαιτοίη τὸν Αὐγείαν ἄκοντα ἑκὼν τὸν μισθὸν τὸν ὑπέρβιον, ἀντὶ τοῦ τὸν ὑπερβολικῶς πολύν, ἀπὸ μεταφορᾶς τῶν ὑπερβολικῶν τὴν ἰσχύν, τὸν λάτριον, τουτέστι τὸν ὑπὲρ τῆς δουλείας τῆς ἐξαιρέσεως τῆς κόπρου. συνεμάχουν γὰρ οὗτοι, ἤγουν ὁ Κτέατος καὶ ὁ Εὔρυτος, τῷ Αὐγείᾳ οὐ προθυμουμένῳ δοῦναι τῷ Ἡρακλεῖ τὸν συμπεφωνημένον μισθόν. ἦσαν δὲ οὗτοι μητρὸς μὲν τῆς Μολιόνης, ἀφ' ἧς καὶ Μολιονίδαι ἐλέγοντο, πατρὸς δὲ λόγῳ μὲν τοῦ Ἄκτορος αὐτοὺς ἔλεγον, τῇ δ' ἀληθείᾳ τοῦ Ποσειδῶνος ἐνόμιζον.

gl. 36. * *συνδένδροις τόποις.* — * * *γάρ.* — * † *ἐπιτηρήσας.* — 37. *τὸ ὑπὸ πρὸς τὸ λάχμαις ἀντιστρεπτέον.* — 38.

---

1 Lemma *ἀγῶνα δ' ἐξαίρετον* est in codd. mixtis (etiam in *ι''*) et edd. — *σύνταξις* margo *μ'*. — *τὸν — ἐξαίρ.* om. Vrat. — *τὸν ἀγῶνα δὲ* est etiam in *ι''*, qui om. cetera. — **3** *ἤτοι a q*, *ἤγουν* cett. — **4** *κατὰ τοὺς ν. q.* — **5** *ἐπεὶ q* Vrat. *μ'*, *ἐπειδὴ* cett. — *ἐνόμιζε* edd. Confer Beckii notam: «Pro *αὐτοῦ ἐνόμιζε* MSS. edd. Ox. habet *αὐτῶν ἐνόμιζον*, quod et ipsum ferri potest». — **6** *ἡρακλέος* ex *a* est pro *ἡρακλέους*. — **7** *ἀντὶ τοῦ* omm. edd. — *ἐκτίσσατο a q*, *ἐκτίσατο* cett. — **9** *ἄψυχον μ'* et Vrat. ante corr. — **11** *πράσσοι τὸ ἤγ. a.* — **12** *ἀντὶ τοῦ* omm. edd. — **14** *τοῦ κόπρου q.* — **15** *ἤγουν a q*, *ἤτοι* cett. — **19** *τοῦ* omm. edd. inde a Beckio. — **21** *συναπτέον* codd. mixti.

παρόδῳ· ἤρχοντο γὰρ πρὸς τὸν Ἰσθμιακὸν ἀγῶνα. — 39. *ὅτε ἐπολέμει Αὐγείᾳ.* — 40. *τὸν ἐκ Τίρυνθος πόλεως.* — *κατεπολέμησαν.* — 41. *κοίλοις τόποις.* — *διάγοντα.* — 42. *οἱ τῆς Μολιόνης υἱοί.* — *ὑπέρφρονες διὰ τὴν ἀνδρίαν.* — 43. *ὁ ἀπατήσας τὸν Ἡρακλῆν τῷ μισθῷ.* — * *Αὐγείας.* — * *τῶν Ἠλείων.* — *εἰς τὸ μέλλον.* — 44. *κατὰ πολύ· ἔστι δὲ τὸ ὄπισθεν καὶ τὸ οὐ πολλὸν ἀντὶ τοῦ μετ' ὀλίγον.* — * * *ἴδε] διὰ τὸ μέτρον.* — * * *πολυκτέανον] συνίζησις.* — 45. *μεγάλῳ.* — 46. *μέγαν ἤτοι εἰς μεγάλην ἄτην περιφραστικῶς.* — *καθημένην.* — *ἰδίαν.* — *τὴν Ἦλιν.*

36—46. M. *Λόχμαισι δὲ] ὁ δὲ ἀντὶ τοῦ γάρ· ἤγουν ἐν συνδένδροις γὰρ τόποις ὑποκάτω τῶν Κλεωνῶν· πόλις δὲ τοῦ Ἄργους αἱ Κλεωναί· ἐφόνευσε καὶ ἐκείνους ὁ Ἡρακλῆς, τουτέστι τὸν Κτέατον καὶ τὸν Εὔρυτον, ἐφ' ὁδῷ, ἤγουν ἐν ἐνέδρᾳ, δοκεύσας, τουτέστιν ἐπιτηρήσας, διότι* (39) *πρότερόν ποτε αὐτοὶ οἱ Μολίονες οἱ ὑπερφίαλοι, ἤγουν οἱ ὑπερβολικῶς ὑπερήφανοι, στρατὸν αὐτοῦ Τιρύνθιον, ἤτοι Ἀργεῖον, καθήμενον ἐν ταῖς κοιλάσι τῆς Ἤλιδος ἐπόρθησαν, ἀντὶ τοῦ ἔφθειραν. καὶ μὴν ὁ βασιλεὺς τῶν Ἐπειῶν, ἤτοι τῶν Ἠλείων, ἤγουν ὁ Αὐγείας, ὁ ξεναπάτας* (43), *τουτέστιν ὁ τοὺς φίλους ἀπατῶν· τοῦτο δέ φησι διὰ τὴν τοῦ μισθοῦ ἀγνωμοσύνην αὐτοῦ· ὄπισθεν, ἤγουν ὕστερον μετὰ ταῦτα, οὐκ ἐπὶ πολὺν χρόνον εἶδε τὴν πατρίδα,*

---

5 *ἡρακλέα ἐν τ.* codd. mixti. — 11 *σύνταξις* marg. *μ'*. — *λόχμ. δέ· ὁ δε ι''*, qui om. reliqua in spatio. — *λόχμαισιν* (om. *δέ*) *q*. — *ἐν* omm. Vrat. *μ'* et edd. ante Oxx. — 14 *ἐφ' ὅδῳ, ἐφοδῷ* [Vrat.] Bœckh, tacite. — *ἐν* ex *a* addidi. — *ἐνέδρᾳ*] *ἐν ἕδρᾳ* edd. ante Beckium. — 15 *τουτέστιν*] *καὶ* edd. — *ποτε* (*ποτὲ*) ex *a q* addidi. — 16 *οἱ ἐμολίονες μ'*. — 17 *αὐτου* omm. edd. — 17. 18 *κοιλάδεσι* Vrat. — 18 *ἤλιδος q*. — Cum *καὶ μὴν* novum scholium incipiunt codd. mixti et edd. — Lemma *καὶ μὰν* (*μὴν* Vrat. *ι''μ'*) *ξεναπάτας* (*ξεν.* om. *ι''*) est in codd. mixtis et edd.; — ipsum scholium om. *ι''* in spatio. — *σύνταξις* marg. *μ'*.

τὴν ἑαυτοῦ πόλιν τὴν πολυκτέανον, ἤτοι πολυκτήμονα, πολυθρέμμονα, ὑπὸ στερεοῦ πυρός, ἤγουν ἰσχυροῦ, δραστηρίου, καὶ ὑπὸ πληγῶν σιδήρου καθίζουσαν, καταδυομένην εἰς βαθὺ ῥεῦμα βλάβης.

47. Th. Διὸ καὶ Αὐγείαν οὐχ οἷόν τ' ἦν τὴν Ἡρακλέους μάχην ἀποφυγεῖν καὶ μὴ ὑπὸ τούτου τετιμωρῆσθαι.

gl. 47. * φιλονεικίαν. — ἀποβαλέσθαι. — * ἀμήχανον. — 48. * † ὁ Αὐγείας. — ταῖς αὐτοῦ ἀφροσύναις. — ὕστερος. — 49. τῆς τῆς πόλεως πορθήσεως. — ἀντὶ τοῦ παραταξάμενος τῷ Ἡρακλεῖ. — 50. μέγαν. — * * ἀλλὰ συνελήφθη δηλονότι τῷ θανάτῳ.

47—50. M. Νεῖκος δέ· ὁ δὲ ἀντὶ τοῦ γάρ· ἤγουν τὴν φιλονεικίαν, γὰρ τὴν πρὸς τοὺς ἐπικρατεστέρους κινηθεῖσαν ἀποθέσθαι ἀντὶ τοῦ ἐκφυγεῖν ἐπιτιθεμένην δηλονότι καὶ βλάπτουσαν (ἡ ἀπόθεσις γὰρ ἐπὶ βάρους λέγεται) ἄπορον, ἤγουν ἀμήχανον, ἀδύνατον. καὶ ἐκεῖνος, ἤγουν ὁ Αὐγείας, δι' ἀβουλίαν, τουτέστι μωρίαν, ὕστατος ἁλώσιος (ἐπιῤῥηματικῶς τὸ ὕστατος) ἤγουν τελευταῖον περὶ τὸ τέλος τῆς ἁλώσεως, τουτέστι τῆς πορθήσεως τῆς ἑαυτοῦ πόλεως συναντήσας, ἤγουν συγκρούσας τῷ Ἡρακλεῖ δηλονότι, θάνατον χαλεπὸν οὐκ ἐξέφυγεν.

gl. 51. * † συναγαγών. — 52. * * λεῖαν γράφε καὶ

---

1 ἤγουν q. — Post ἤτοι et πολυκτ. delevi τὴν a q secutus. — 1. 2 πολυθρέμονα q ed. Ro. — 2 ἤγουν ex a q addidi. — δικαστηρίου q. — 3 καθ. ἀντὶ τοῦ καταδ. codd. mixti et edd. — 5 ἀποθέσθ' ἄπορον] ἀμήχανον. διὸ etc. (conf. glossas Thomanas ad v. 47) codd. mixti et edd. In Γ hoc scholium inter glossas legitur. — τε ἦν Γ'. — 8 τῇ αὐτοῦ ἀφροσύνῃ codd. mixti. — 12 Hoc scholium om. ι'. — 13. 14 ὑποθέσθαι Vrat. — 17 τουτ. τιμωρίαν μ'. — ἔστατον q. — ἁλώσιος — ὕστατος excidit in edd.; confer Beckii notam: «ἤγουν τελευταῖον. Huc videtur pertinere observatio ab edd. Ox. p. 131 in margine posita: MSS. addunt ἐπιῤῥηματικῶς.» — 18 τελευταῖος q. — 21 λεῖαν Mosc. B, ex quo Boeckh hanc notulam edidit, λίαν mei codd.

*μὴ λαίαν, διὰ τὸ μέτρον. — λαφυραγωγίαν. — * ἰσχυρὸς Ἡρακλῆς.*

53. *Germ.* Τὸ *σταθμᾶτο* ἀντὶ τοῦ διεμέτρει καὶ ἐμέριζεν.

gl. 53. ἐσκόπει, κατεσκεύαζε. — λίαν θαυμαστόν. — * † ἱερόν.

54. *Germ.* Τὸ *πατρὶ μεγίστῳ πάξαις* ἀντὶ τοῦ πήξας καὶ περικυκλώσας τὸ ἄλσος καὶ περιορίσας.

gl. 54. τῷ Διί. — τοὺς περιβόλους ποιήσας.

55. *Pal.* Ἄλτιν] τὸ ἄδυτον τοῦ ναοῦ, ἀπὸ τοῦ ἅλλομαι τὸ πηδῶ, κατὰ ἀντίφρασιν· εἰς ὃν οὐδεὶς ἅλλεται ἤγουν εἰσέρχεται τῶν μὴ ἀξίων.

gl. 55. θυσιαστήριον. — * οὗτος. — ἐν ὑψηλῷ τόπῳ. — 56. * διεχώρησεν. — 57. * † ἐποίησε. — δείπνου τῶν πανηγυριζόντων. — 58. τοῖς δώδεκα γὰρ θεοῖς καὶ οὗτος συνηρίθμητο.

59. *Th.* Τινές φασιν, ὡς πρὸ τοῦ τὸ δωδεκάθεον τὸν Ἡρακλέα ποιῆσαι, Κρόνιος ἐκαλεῖτο λόφος διὰ τὸ Κρόνου ἱερὸν ἐνταυθοῖ εἶναι. ἄλλοι δὲ λέγουσι, μεθ' ὧν καὶ Πίνδαρος, ὡς ἔρημος ἦν ὁ χῶρος, Ἡρακλῆς δὲ τὸ δωδεκάθεον κτίσας Κρόνιον λόφον τὸν τόπον ὠνόμασεν ἀπὸ τοῦ ὑπερέχοντος. ὁ γὰρ Κρόνος πατὴρ τῶν θεῶν.

gl. 59. ὄρος. — 60. * † ὠνόμασεν. — 61. * ἀνώνυμον, ἀκλεές. — χώρας.

62. *Germ.* Βρέχετο] τουτέστι κατεσιωπᾶτο καὶ ἠφανίζετο, ἀντὶ τοῦ ἀφανὴς ἦν.

---

3 Post Τὸ delevi δέ. — 6 Post Τὸ delevi δέ. — 9 ἄλλομαι cod. — 10 ἄλλεται cod. — ἢ εἰσέρχ. Bœckh edidit. — 13 διεχώρησεν codd., ἤτοι διεχώρησεν est glossa Mosch. — 16 τινὲς φασὶν Δ. — τοῦ τὸ] τοῦτο Vrat. — τὸ omm. ΓΓ'. — 17 τὸ χρονίον Vrat. — 18 ἐνταῦθα Γ. — μεθ᾽ ὧν ἤ καὶ Δ. — 19 τὸ] τὸν Γ, om. Γ'. — 24 Ante βρέχ. delevi ἃς (ὃς ed. Mommsen) Οἰνόμαος ἄρχε. — ἐξεφανίζετο ed. Mommsen.

Germ. Βρέχετο] τὰ γὰρ ἐν ὑγρότητι καὶ ἀσθενέστερα. ὅσῳ δὲ μᾶλλον ἐξικμάζονται, τοσούτῳ καὶ στεῤῥότερα γίνονται.

gl. 62. τὸ μέρος. — † τουτέστιν ἐκαλύπτετο ὑπὸ πολλῆς χιόνος, ἀντὶ τοῦ σιωπῇ. — * ἐν.

60—62. *Th.* Δέον εἰπεῖν νωνύμως, νώνυμον εἶπε πρὸς τὸ μέρος, οὕτως· ἧς γὰρ χώρας Οἰνόμαος ἦρχε τοῦτο τὸ μέρος ἐν ᾧ νῦν ἡ Ὀλυμπία, ἐβρέχετο πρόσθεν ἐν πολλῇ νιφάδι νώνυμον, ἤτοι ἀνώνυμον. εἰκότως δὲ εἶπε τὸ νιφάδι· λόφος γὰρ ἦν. ἔστι δὲ ἡ τοιαύτη γενικὴ τὸ ἧς πρὸς τὸ νώνυμον, ἵν' ᾖ ἀκλεὲς καὶ ἄδοξον αὐτῆς.

51—62. *M.* Ὁ δὲ υἱὸς τοῦ Διὸς ὁ ἰσχυρός, ἤγουν ὁ Ἡρακλῆς, ἐν τῇ Πίσᾳ ἔλσας, τουτέστι συναγαγών, κατασχών, ὅλον τε τὸν στρατὸν καὶ πᾶσαν τὴν λεῖαν, ἤγουν τὴν λαφυραγωγίαν, ἐσταθμᾶτο, ἀντὶ τοῦ κατεμέτρει χάριν τοῦ πατρὸς αὐτοῦ τοῦ μεγίστου, ἤγουν τοῦ Διός, ναὸν ἄγαν θεῖον, ἀντὶ τοῦ τόπον εἰς κατασκευὴν ναοῦ κατὰ πολὺ θείου. περιπήξας δέ, ἤγουν περιορίσας, περικυκλώσας τὴν Ἄλτιν μέν, τουτέστι τὸ ἱερόν, οὗτος, ἤγουν ὁ Ἡρακλῆς ἐν καθαρῷ τόπῳ δηλονότι διέκρινεν, ἤτοι ἐχώρισε, τὸ δὲ κύκλῳ

---

1 Lemma ego addidi et Germani notam, quae in *U* post schol. ad v. 62—67 legitur, ad hunc versum rettuli. — 2 *μᾶλλον* Mommsen addidit. — *στεῤῥότερα U*, corr. Mommsen. — 4 *χιόνος* scripsi pro *χρόνος*. — 5 *νωνύμως ΓΔ*, *νωνύμνως* cett. — *νώνυμον ΓΔμ'*, *νωνύμνον* cett. — 6 *οὕτω ΓΔ*, qui tamen *σῆς* pro *ἧς* exhibet. — *ἦρχε* om. *Γ'*. — 8 *νώνυμον ΓΔ*, *νώνυμνον* cett. — *ἤτοι*] *καί Δ*. — *ἤτοι ἀνώνυμον* om. *Γ*; *νώνυμον — νιφάδι* om. *Γ'*. — Post *ἀνών.* codd. mixti et edd. e glossa Thomana addunt *ἀκλεές*. — 9 *τὸ ἧς Δ*. — *νώνυμον ΓΔ*, *νώνυμνον* cett. — 11 Lemma *Ὁ δ' ἄρ' ἐν Πίσᾳ* est in codd. mixtis et edd. (*Ὁδ'* ed. Ro.). — *σύνταξις* margo *μ'*. — *ὁ δὲ υἱός* est etiam in *Γ'*, qui om. reliquam scholii partem in spatio. — 12 *πίσῃ* Vrat. *μ'*. — 13 *λείαν q*. — 15 *κατὰ πολὺ* ed. Ro. pro *καταπολύ*. — 16 *θεῖον q*. — *ἄλτιν α q*, *ἄλτιν* cett. — 17 *ἤγουν* ex codd. addidi. — 18 *ἐχώρισε α q*, *διεχώρησε* edd. ante Beck., *διεχώρισε* cett.

(57) τῆς Ἄλτεως πέδον, ἤγουν χωρίον ἐποίησε δείπνου κατάλυσιν, ἤγουν καταγωγήν, ἀνάπαυσιν, τιμήσας τὸν πόρον τοῦ Ἀλφειοῦ, περιφραστικῶς ἀντὶ τοῦ τὸν Ἀλφειόν, μετὰ τῶν δώδεκα θεῶν τῶν βασιλέων, καὶ πάγον, ἤγουν ὄρος Κρόνου, τουτέστι Κρόνιον λόφον, προσεφθέγξατο, ἤτοι προσηγόρευσεν, ὠνόμασε πάντα τὸν τόπον δηλονότι. πρότερον γὰρ νώνυμνος, ἤγουν ἄδοξος, ἔξω ὕμνου, τουτέστι κλέους, προσηγορίας δηλονότι, ἡ χώρα, ἧς ἐβασίλευεν ὁ Οἰνόμαος, ἐβρέχετο πολλῇ νιφάδι, τουτέστιν ἐκαλύπτετο ὥσπερ ὑπὸ πολλῆς καταφερομένης χιόνος.

gl. 62. * ἐνταῦθα. — 63. τῇ πρώτῃ ἑορτῇ.

65. *Th.* Εὔρηται καὶ μένος καὶ μόνος. καὶ τὸ μὲν μένος οὕτω· καὶ ὁ χρόνος ὁ ἐλέγχων τὴν ἀλήθειαν τὸ μένος καὶ τὴν ἰσχὺν αὐτῆς, ποταπόν; ἐτήτυμον καὶ ἀληθές. τὸ δὲ μόνος οὕτω· καὶ ὁ χρόνος ὁ μόνος ἐλέγχων τὴν ἀλήθειαν, ποταπήν; ἐτήτυμον. εἶπε δὲ τὰς Μοίρας καὶ τὸν χρόνον παραστῆναι τότε τῇ πανηγύρει, ἵνα εὐδαίμων εἴη καὶ μηδέποτε παύσαιτο.

gl. 65. ἵνα εὐτυχήσῃ ἡ ἑορτή. — πλησίον. — * † ἀποδεικνύων. — 66. ποταπήν;

67. *Germ.* Χρόνος] διὰ τὸ ὡς πολὺ τοῦ χρόνου μῆκος ἐξαρκέσαι τὸν τῶν Ὀλυμπίων ἀγῶνα.

---

5 ἤγουν *q*. — **6** τὸν om. *μ'*. — τρόπον *a q*. — **7** ἤτοι codd. mixti et edd. — ὕμνου *a*. — τουτέστι *a q*, ἤτοι cett. — **9** Post ἐκαλ. edd. inde a Beckio τῇ σιωπῇ addunt, fort. recte. — **12—16** Εὔρηται — ἐτήτυμον ex *ΓΔ* edidi. — **13** οὕτως *ΓΔ*. — **16** τὰς μ. εἶπε codd. mixti et edd. — μοίρας *μ'*. — **20** Χρόνος διὰ scripsi pro Ἀρχε. ἰσχύος διὰ etc. Mommsen hoc scholium deceptus falso lemmato ἀρχε ad v. 59 rettulit, sed confer scholl. vett. ad v. 62: παρεγένοντο μὲν αἱ Μοῖραι . . . καὶ ὁ . . . Χρόνος. τοῦτο δὲ εἶπεν ἐνδεικνύμενος, ὅτι εὐμοίρως καὶ πολυχρονίως ἡ πανήγυρις τελεσθήσεται, et: παρείληφε δὲ τὰς Μοίρας καὶ τὸν Χρόνον, ὅτι εὔμοιρός τε ὁ ἀγὼν ἔσοιτο καὶ εἰς ἅπαντα τὸν αἰῶνα. — **21** ἐξαρκέσαι scripsi pro ἐξαρκέσαντα.

Th. Τοῦ *σαφανὲς* ἔστι μεθερμηνευτικὸν τὸ *ὅπῃ* καὶ ὅπως. τὸ δὲ *ἀκρόθινα* πρὸς τὸ *ἔθυε* συναπτέον, ἵν' ᾖ τὸ *διελὼν* πρὸς τὴν *τοῦ πολέμοιο δόσιν*.

gl. 67. * σαφές· — * γρ. τὸ δ' ἐς ἀφανές. — ἤγουν αὐξηθείς. — 68. κατεμήνυσεν.

62—68. *M.* Ἐν ταύτῃ δὲ τῇ ἑορτῇ τῇ πρωτογόνῳ, ἤγουν τῇ πρῶτον γενομένῃ, τουτέστι τῇ ἐν τῇ πρώτῃ καταβολῇ τῶν Ὀλυμπίων, παρέστησαν μέν, ἤγουν παραγενόμεναι ἔστησαν πλησίον αἱ Μοῖραι (65), παρέστη καὶ ὁ χρόνος, ὁ μόνος τὴν ἀλήθειαν ἀποδεικνύων φανερῶς. τὸ δὲ σαφὲς ἔμπροσθεν χωρῶν ἐφανέρωσεν, ἀντὶ τοῦ φανεροῖ, ἤγουν δηλοῖ. ταῦτα δέ φησι διὰ τὴν ἐπακολουθήσασαν τῷ ἀγῶνι εὐδαιμονίαν καὶ τοῦ κλέους βεβαίωσιν.

gl. 68. ἤτοι τὴν λαφυραγωγίαν. — 69. ἀκρόθινα] ἀπαρχάς· — ἀντὶ μιᾶς συλλαβῆς. — μερίσας. — τῷ Διί. — ποταπήν; κατὰ πέντε γινομένην χρόνους. — 70. * πῶς. — ὁ Ἡρακλῆς. — 71. ἤγουν τῇ καταρχὰς ἑορτῇ. — ταῖς τότε γινομέναις νίκαις.

---

1 Lemma *τὸ δὲ σαφανές* est in edd. — *σαφανές ἐστι* codd. mixti et edd. — *ὅπα* (om. *καὶ ὅπως*) codd. mixti et edd. — **2** *ἔθυε Γι'' μ'*, *ἔθυον* cett. (etiam *A* ?). — **3** *πολέμοιο A*, *πολέμου*, Moschopuli et Triclini(lectio, est in cett. (etiam in *Γ* ?). — **6** Lemma *ταύτῃ* (*ταῦτα* Vrat. *δ' ἐν πρωτογόνῳ* est in codd. mixtis et edd. — *σύνταξις* margo *μ'*. — **7** *πρῶτον a q*, *πρώτῃ* cett. — *τῇ* post *ἐν* ex *a q ι''* addidi. — **8** *ἤτοι ι''*. — **8—13** *πλησίον — βεβ.* om. *ι''*. — **9** *πάρεστι* edd. ante Beckium. — *ὁ* ante *χρ.* om. *a*. — **11** *ἤγουν* omm. edd. — Confer quæ glossator libri *b* in marg. adscripsit: *ταῦτα λέγει ὁ Πίνδαρος διὰ τὴν εὐδαιμονίαν τὴν ἐπακολουθοῦσαν τῷ ἀγῶνι τούτῳ καὶ διὰ τὴν βεβαίωσιν τῆς δόξης αὐτοῦ.* — **12** *ἐπακολ. a q*, *παρακολ.* cett. — *ἀγ. εὐδ.*] *ἀγωνίαν q*. — **14** Ad *ὅπα* (v. 68) *ὅπως* glossa legitur in *a*. — **15** Glossa *ἀντὶ μ. σ.* in omnibus codd. (etiam in Mommseni codd.) cruce signata est; est tamen Tricliniana.

72. *Germ.* *Πρωταίνιον]* ἐκ δύο λέξεων ταυτοσημάντων συνετέθη τὸ πρωταίνιον, ἐκ τοῦ πρῶτος καὶ τοῦ αἶνος· αἶνος γάρ ἐστι πρῶτον καὶ μέγιστον τῶν κατὰ κόσμον τερπνῶν.

gl. 72. τοῦτο πρὸς τὰς Μούσας λέγει. — * πρόσφατον. — ἐν τῇ πρώτῃ Ὀλυμπιάδι. — 74. * τιμήν· — * * τιμῇ. — διὰ τῆς νίκης. — * *ἑαυτόν· — † ποιήσας, ἑαυτὸν δηλονότι. — * * οἱ γράφοντες ἐν δόξαν οὐ καλῶς γράφουσιν. — 75. * † καύχημα· — ἤτοι τὸ τοῦ ἀνταγωνιστοῦ. — αὐτοῦ.

74. 75. *Th.* θέμενος ἐν τῷ ἔργῳ αὐτοῦ δόξαν καὶ τιμήν, καθελὼν καὶ καταβαλὼν εὖχος ἀγώνιον, ἤτοι τὸν ἀνταγωνιστὴν αὐτοῦ νικήσας καὶ οὐκ ἐάσας νικῆσαί τε καὶ καυχήσασθαι.

Tr. *Ἐν δόξᾳ θέμενος]* θέμενος ἑαυτὸν δηλονότι ἐν δόξῃ καὶ τιμῇ, καθελὼν καὶ καταβαλὼν τὸ εὖχος τοῦ ἀνταγωνιστοῦ, ἤτοι τὸν ἀνταγωνιστὴν αὐτοῦ, καὶ οὐκ ἐάσας νικῆσαί τε αὐτὸν καὶ καυχήσασθαι.

68—75. *M.* Ὁπηνίκα δὲ τὴν δωρεὰν τοῦ πολέμου ὁ Ἡρακλῆς δηλονότι, διαχωρίσας τὰ ἀκρόθινα, ἤγουν τὰ ἐξαίρετα ἔθυε, καὶ εὐθὺς ὡς τὴν ἑορτὴν τὴν πενταετηρίδα, ἤγουν τὴν διὰ πέντε ἐτῶν τελουμένην κατέστησεν, ἤτοι ἔταξε, τελεῖσθαι ἐποίησεν ἐν Ὀλυμπιάδι πρώτῃ, τουτέστιν ἐν τῇ πρώτῃ ἑορτῇ καὶ ἐν

---

1 Ante lemma delevi ἢ οὕτως (ἢ οὕτω Mommsen). — **5** Ad χείρεσσι (v. 73) glossa πυγμαῖς ἢ διασκεύεσιν ἢ τοιούτοις τισί, ad ποσὶν glossa δρόμοις est in *a*, unde iam Mommsen edidit (Schol. Germ. p. 54). — **9** Hoc scholium ex *ΓΑ* edidi. — **9. 10** θέμενος — ἀγώνιον Mommsen (Schol. Germ. p. 53) ex Aug. *B* attulit; idem totum scholium edidit in Annotationis Criticæ Supplemento p. 148. — **11** νικήσας omm. *A* et Mommsen. — νικῆσαι τὲ *ΓΑ*. — **14** νικῆσαι τὲ *ι''*. — **16** Lemma ὅπα τὴν πολέμου est in *ι''*, ὅπα τὰν πολέμου δὲ δόσιν in cett. codd. mixtis et edd. — Quæ post δωρεάν leguntur om. *ι''* in spatio. — **17** ἀκροθόνια Vrat. — **18** καὶ εὐθὺς τὴν πεντ. ἑορτήν, ἤγ. edd. — τὴν ante πεντ. ex *q* addidi.

ταῖς πρώταις δηλονότι νικηφορίαις, ἤγουν νίκαις· τίς δὴ (72) ἐκληρώσατο στέφανον ποταίνιον, ἤγουν πρόσφατον, ἐναγώνιον χερσίν, ἀντὶ τοῦ ἔργοις χειρῶν, τουτέστι διὰ πυγμῆς ἢ δισκεύσεως ἢ τοιούτου τινός, καὶ ποσίν, ἀντὶ τοῦ ἔργοις ποδῶν, ἤτοι διὰ δρόμων, καὶ ἅρμασιν, ἤγουν δι' ἁρμάτων, ἀντὶ τοῦ καὶ δι' ἱππηλασίας· ἐν δόξῃ θέμενος ἑαυτὸν δηλονότι, καθελών, ἀντὶ τοῦ ἑλών, ἤτοι λαβὼν καύχημα ἔργῳ, τουτέστι δι' οἰκείας νίκης, δι' οἰκείων ἀνδραγαθημάτων.

76. *Germ.* Εὐθύτονον εἶπε τὸ στάδιον διὰ τὸ ὀρθόν· τοιοῦτον καὶ γὰρ τὸ στάδιον εἶναι λέγεται, ἀκαμπές. ὁ δὲ δίαυλος νυσσώδης κατὰ μίαν νύσσαν.

gl. 76. τοῦτο ὡς ἀπὸ τῶν Μουσῶν· — ἐνίκησεν. — ὀρθὸν καὶ μηδεμίαν ἔχον καμπήν· — * ἤγουν δρόμον ἁπλοῦν.

78. *Germ.* Τὸ Μαδέαθεν ἀντὶ τοῦ εἰς τὴν Μηδέαν. Μηδέα δέ ἐστι πόλις Ἄργους.

gl. 78. οὕτως ἐκαλεῖτο. — * ἐν τῇ Ὀλυμπίᾳ· — * * εἰς τὴν Ὀλυμπίαν. — * † ἀπὸ Μιδέας πόλεως.

79. *Germ.* Στρατόν] τὸν ἁπλῶς δῆμον στρατὸν λέγει ὁ νῦν ποιητής.

gl. 79. * † ἄγων. — * παλαίστρᾳ. — * ἠρίστευσε. — 80. κοσμῶν. — * † τὴν αὑτοῦ πατρίδα. — 81. τὴν νίκην. — 83. * † ἤγουν ἐν τετρώρῳ ἔφερε νίκην. — 84. τῆς αὑτοῦ πατρίδος. — * σημεῖον, ἤτοι ὁ Ἀλιῤῥόθιος, περιφραστικῶς. — * * οὕτως ἄμεινον γράφεσθαι ἠείδετο. ὃς δ' ἄλλως γράφει, οὐ καλῶς γράφει. — 85. ἀκοντίῳ. — διεπέρασε. — τὸ τῆς βολῆς σημεῖον.

---

1 ἤγουν (ἢ edd.) νίκαις omn. Vrat. μ'. — 5 καὶ post τοῦ om. μ'. — 6 ἱππολασίας a. — δόξῃ] δόξο a. — αὐτὸν μ'. — 9 Post εὐθ. delevi δέ; εὐθ. δὲ στ. εἶπε ed. Mommsen. — 14 Post Τὸ delevi δέ. — Μαδέαθεν U etiam in textu. — ἐκ τῆς Μηδέας? — Μηδέα] μήδεα U. — 22 ἑαυτοῦ codd. mixti (Mosch.). — 23 Notulam Triclinianam Bœckh. ex Mosc. B edidit. — 25 Mommsen in Ann. Criticæ

86. *Th.* *Μὴ λάβῃς εἰς τὸ μῆκος ἔξωθεν* εἰς, *ἀλλ᾽ οὕτω λέγε· ὁ Ἐνικεὺς δὲ κυκλώσας τὴν χέρα, ἐν πέτρῳ ἔδικε καὶ ἔρριψε μῆκος, ἤγουν ἡ τοῦ πέτρου ῥίψις πολλοῦ μήκους ἐγένετο ὑπὲρ ἁπάντων καὶ ἐπέκεινα πάντων. ὥσπερ δὲ φαμεν· ὑβρίζω σε ὕβριν, οὕτω καὶ τὸ* ἔδικε μῆκος, *ἀντὶ τοῦ μακρὰν ἔρριψε ῥίψιν.*

gl. 86. *μακρὰν τοῦ λίθου βολήν.* — *ἔρριψεν.* — * *ἐν.* — 87. *περιαγαγὼν ὥσπερ ἔθος.* — *ἐπέκεινα πάντων τῶν συναγωνιζομένων.* — * * ὑπὲρ ἅπαντας *γράφε καὶ μὴ* ὑπὲρ ἁπάντων· *οὕτω γὰρ ἔχει πρὸς τὴν σύνταξιν ὀρθῶς.* — 88. *ἤγουν τοῖς παρεστῶσιν αὐτοῦ φίλοις.* — *μετὰ βοῆς ἔπαινον.* — 89. *παρώρμισε.*

76—89. *M.* *Τὸ στάδιον μὲν τὸ κατ᾽ εὐθεῖαν εἰς μῆκος τεταμένον διὰ τῶν ποδῶν τρέχων ὁ Οἰωνὸς ὁ υἱὸς τοῦ Λικυμνίου*

Supplemento (p. 149) monet «ex gl. Tricl. *ἀνεκηρύττετο τὸ τῆς βολῆς σημεῖον* non recte a quibusdam collectum fuisse, recentiores etiam *σᾶμα ἠείδετο* scribere voluisse. Nam in Triclinianis duæ glossæ sunt, quarum prior *(ἀνεκηρύττετο)* supra *ἠείδετο* posita est et ad hoc pertinet; altera vero *(τὸ τῆς βολῆς σημεῖον)* sub *ἠείδετο* et supra *σκόπον* exarata ad hoc pertinet.» Vox *ἀνεκηρύττετο*, quæ in meis codd. cruce signata est, glossa Moschopulea ex commentario perpetuo ducta est, *τὸ τῆς βολῆς σημεῖον* in codd. Thomanis et mixtis voci *σκοπὸν* adscripta est.

2 *χέρα ΓΔ*, *χεῖρα* cett. — «Male post *ἐν πέτρῳ* Call. Br. Ox. distinguunt, cum interpunctio potius post *χεῖρα* esse debeat.» *Beck.* — **3** *ἤτοι ι'.* — **3. 4** *ὑπερἁπάντων Γ*, *ὑπὲρ ἅπαντας* codd. mixti et edd. e Triclinii sententia. — **4** *δὲ φαμὲν ΓΔ* et edd. ante Bœckhium. — **5** *τὸ* ex *ΓΔ* addidi. — **7** Ad vocem *πέτρῳ* (v. 86) glossa *διὰ τῆς στρογγυλοειδοῦς πέτρας* est in *b.* — **9** Notulam Triclinianam, quam ego ex solo *μ'* novi, e Mosc. B edidit Bœckh. — *γράφη* (om. *καὶ*) *μ'.* — **10** *πάντων μ'.* — **12** *παρώρμησε* codd. mixti. — **13** Lemma *στάδιον μὲν* est in codd. mixtis et edd. — *σύνταξις* margo *μ'.* — Quæ post *τὸ στ. μὲν* leguntur om. *ι'* in spatio. — *κατευθ. q.*

ἠρίστευσεν, ἤγουν ἠνδραγάθησεν, ἄριστος ἐφάνη· ἦλθε δὲ Μιδέαθεν, ἤτοι ἀπὸ τῆς Μιδέας (πόλις δὲ αὕτη τοῦ Ἄργους) στρατὸν ἐλαύνων, τουτέστιν ἄγων, ἐπαγόμενον ἔχων. ὁ δὲ Ἔχεμος ἠρίστευσεν ἐν πάλῃ δοξάζων τὴν Τέγεαν τὴν ἑαυτοῦ πατρίδα· ἔστι δὲ ἡ Τέγεα πόλις Ἀρκαδική· ἐ Δόρυκλος δὲ ἔφερεν, ἀντὶ τοῦ ἤρατο, τὸ τέλος, ἤγουν τὸ κράτος τῆς πυγμῆς, τουτέστι τὴν ἐν τῇ πυγμῇ νίκην, οἰκῶν τὴν πόλιν τὴν Τίρυνθα· ἐν ἵπποις δὲ (83) τέτρασιν ὁ Σῆμος ὁ ἀπὸ Μαντινέας νικήσας δηλονότι ἠείδετο, ἤγουν ἀνεκηρύττετο. ὁ Φράστωρ δὲ ἄκοντος ἔλασεν, ἤγουν ἀφῆκεν, ἔπεμψεν ἐπὶ τὸν σκοπόν, τουτέστιν εὐστόχως ἠκόντισεν· ὁ Ἐνικεὺς δὲ τὴν χεῖρα κυκλώσας, ἤγουν κατὰ κύκλον στρέψας, ἔδικε, τουτέστιν ἔβαλε διὰ πέτρας, ἤτοι ἐδίσκευσεν εἰς μῆκος ὑπὲρ ἅπαντας τοὺς ἀνταγωνιστὰς δηλονότι, καὶ τῇ συμμαχίᾳ, ἀντὶ τοῦ τῷ πλήθει τῶν συναγωνιστῶν παραίθυξε, τουτέστιν ἐκίνησε, διεῤῥίπισε, θόρυβον μέγαν.

gl. 90. σὺν τούτοις. — ποταπόν; — ἔλαμψε. — τῆς εὐοφθάλμου. — τουτέστι τούτων γενομένων νὺξ ἤδη παρῆν. — 91. ἐπιθυμητὸν τοῖς ἐν νυκτὶ οὖσιν. — 92. ὑμνεῖτο. — εὐφρανταῖς εὐωχίαις. — 93. * περί. — ἤγουν εὐωχουμένων πρός τε αὐτοὺς καὶ πρὸς τὸν Δία ὕμνοι ᾔδοντο.

90—93. Μ. Ἐν τούτοις δέ, ἤγουν ἐν ᾧ χρόνῳ ταῦτα ἐγίνετο, ἔφλεξεν, ἤτοι ἀνέλαμψε τὸ ἐπέραστον φῶς τῆς σελήνης τῆς εὐο-

---

1. 2 μηδέθεν q. — 2 μηδέας ex μιδέας, ut vid., q. — 3 τουτ. ἄγων om. a. — 4 τὴν ἔγεαν μ΄. — 5 ἡ τεγέα Vrat. — 7 νίκη a. — 8 ἠείδετο om. a. — 9 δὲ post Φρ. addunt codd. mixti et edd. — ἤλασεν a. — 11 ὁ ἐν. δὲ ἐδίσκευσε τ. χ. q. — κυκλ. ἤγ. κατὰ om. a. — 12 ἔβαλε a q μ΄, ἔβαλλε cett. — 15 ἐνίκησε Vrat. — διεῤῥ. omm. Vrat. μ΄ et edd. ante Beckium, qui ex codd. Oxx. addidit. — 21 Lemma ἐν δ' ἕσπερον ἔφλεξεν est in codd. mixtis et edd. — σύνταξις margo μ΄. — Quæ post ἐν τούτοις δὲ leguntur om. ι΄ in spatio. — ἐγένετο Vrat.

φθάλμου. ἕσπερον, ἐπιῤῥηματικῶς ἀντὶ τοῦ κατὰ τὴν ἑσπέραν· τουτέστιν οὔσης δὲ πανσελήνου ταῦτα ἐτελεῖτο. ἀείδετο δέ, ἀντὶ τοῦ περιηχεῖτο τοῖς ὕμνοις πᾶς ὁ ναός, κατὰ τὸν τρόπον, ἀντὶ τοῦ τὸν νόμον τὸν ἐγκωμιαστικόν, ἐν θαλίαις, ἤγουν εὐωχίαις ἡδείαις, ἃς δηλονότι εὐωχοῦντο οἱ εὐφημοῦντες.

gl. 94. ἤγουν τῇ παλαιᾷ συνηθείᾳ. — * † ἀκολουθοῦντες. — 95. τῆς τοὺς ἔχοντας αὐτὴν ἀγερώχους ποιούσης. — 96. * † ὑμνήσομεν. — τὸ ἐν τῇ παλάμῃ τοῦ Διὸς φερόμενον πῦρ. — 97. τοῦ κτύπους ἐγείροντος ταῖς βρονταῖς. — ἐν παντὶ ἔργῳ καὶ δυνάμει. — 98. * τὸν καυστικόν. — ἡρμοσμένον.

94—98. *Th.* Ἑπόμενοι δὲ καὶ ἀκολουθοῦντες ταῖς προτέραις ἀρχαῖς, ἤγουν τῇ παλαιᾷ συνηθείᾳ· πρὸ γὰρ τῶν νικηφόρων τότε ὁ Ζεὺς ὑμνεῖτο· κελαδησόμεθα καὶ ὑμνήσομεν τὴν βροντὴν τοῦ ὀρσικτύπου Διὸς καὶ τὸ πυρπάλαμον βέλος, τὸν αἴθωνα καὶ τὸν καυστικὸν κεραυνόν, τὸν ἀρηρότα καὶ ἡρμοσμένον ἐν ἅπαντι κράτει, ἤγουν ᾧ Ζεὺς χρῆται εἰς ἅπασαν χρείαν· κελαδησόμεθα καὶ ὑμνήσομεν χάριν καὶ ὕμνον, ἐπωνυμίαν τῆς ἀγερώχου νίκης· ὁ γὰρ ἐπίνικος τῆς νίκης ἐπώνυμος. ὥσπερ δέ φαμεν· ὑμνῶ ὕμνον, οὕτω καὶ τὸ κελαδησόμεθα χάριν. τὸ γὰρ πρὸς τὸν Δία κελάδημα χάρις καὶ ὕμνος ἐστίν. οἱ δὲ εἰς πρὸς τὸ χάριν λαμβάνοντες ἔξωθεν, ἀγνοοῦντες λέγουσιν.

gl. 99. τρυφῶσα. — ἡ τῆς μουσικῆς ᾠδή. — 100. ἀντηχήσει. — δέον εἰπεῖν μέλη καλάμου, κάλαμον μελέων

---

3 τὸν ante τρ. om. *q*. — **4** ἡδέαιν *a*, ἠδέαιν *q*. — **11** Lemma ἀρχαῖς δὲ προτέραις omisi cum *ΓΔ*. — καὶ omm. edd. — **13** κελαδησόμεθα *Δ*, κελαδήσομεν cett. (etiam *Γ*?). — τὴν βροτὴν *Γ*. — **15** ἅπαντα *Γ*. — **16** ᾧ ὁ ζ. *Γ*. — εἰς] πρὸς *Γ*. — κελαδησόμεθα *ΓΔ*, κελαδήσομεν cett. — **17** καὶ ὑμνήσομεν omm. edd. — **18** ἐπίνικος *ΓΔ*, ἐπινίκιος cett. — δὲ φαμὲν *ΓΔ*. — **19** τὸ ante κελαδ. om. *Γ*. — **20** τὸ post οἱ δὲ add. codd. mixti et edd. — **23** Glossa δέον — ἀντιστρόφως in *Δ* (non in *Γ* et in codd. mixtis) inter scholia legitur.

εἶπεν ἀντιστρόφως. — 101. *τὰ μέλη.* — *ἐνδόξοις Θήβαις.* — *ἤγουν ὕστερον τοῦ τεταγμένου καιροῦ ὁ ἐπίνικος γέγραπται.*

94—101. M. *Ἀρχαῖς δὲ προτέραις] ἀντὶ τοῦ ταῖς τάξεσι δὲ τῆς ἀρχῆς τῆς παλαιᾶς ἀκολουθοῦντες καὶ νῦν ἡμεῖς εἰς χάριν ἐπωνυμίαν, ἀντὶ τοῦ περιώνυμον ἤγουν περίφημον, μεγάλην, τῆς νίκης τῆς ἀγερώχου, τουτέστι τῆς μετεώρου, τῆς ἐξόχου, ὑμνήσομεν τὴν βροντὴν τοῦ Διὸς τοῦ κινοῦντος τοὺς κτύπους τῶν βροντῶν καὶ τὸ βέλος τὸ πυρπάλαμον, ἤγουν τὸ πῦρ προτεῖνον, τουτέστι τὸ πυρῶδες, λέγω τὸν κεραυνὸν τὸν καυστικόν* (98), *τὸν ἀρηρότα, ἤγουν τὸν ἁρμόζοντα, τὸν ἐπαρκοῦντα ἐν ἅπαντι τῷ κράτει αὐτοῦ, ἀντὶ τοῦ ἐν πάσῃ χρείᾳ τοῦ κράτους αὐτοῦ. ἡ μολπὴ δὲ τῶν μελῶν, ἀντὶ τοῦ τῶν ποιημάτων, τῶν ἐγκωμίων, ἤγουν σὺν αὐλῷ ᾀδομένη, χλιδῶσα, ἤγουν τρυφῶσα, ἁβρά, ἀντιάσει, τουτέστιν ἀπαντήσει ταῖς ἀκοαῖς δηλονότι· ἅτινα, τουτέστι τὰ μέλη, τὰ ἐγκώμια, διὰ χρόνου μὲν ἐφάνησαν παρὰ τῇ Δίρκῃ τῇ εὐκλέϊ, ἀντὶ τοῦ τῇ εὐκλεεῖ κατὰ συγκοπήν, (ὡς ἐν ἄλλοις εὐκλέα λέγει μορφάν* (Ol. VI 128) *ἀντὶ τοῦ εὐκλεᾶ) τουτέστι παρὰ ταῖς Θήβαις· τὸν ποταμὸν γὰρ εἰπὼν τὸν παρὰ ταῖς Θήβαις τὰς Θήβας ἐδήλωσεν.*

102. Th. *Εἰκότως εἶπε τὸ ἀλόχου, ἵνα δείξῃ οἰκεῖον αὐτοῦ παῖδα. λέγει δὲ ὅτι, εἰ καὶ μὴ ἡνίκα ἐνίκησας τὸν ὕμνον σοι γέγραφα, ὅμως νῦν ἀποδιδοὺς μεγίστην εὐφροσύνην παράσχω σοι, καὶ τοιαύτην οἵαν παῖς παρέχει πατρὶ εἰς γῆρας αὐτῷ γεγονὼς*

---

3 *ἀντὶ τοῦ] ἤγουν q.* — *ταῖς* om. Vrat. — Quae post *ταῖς* leguntur om. *ι′* in spatio. — 5 *ἤγουν a q, ἤτοι* cett. — 6 *τουτ. καὶ τ. μ.* Vrat. — 7 *βροτὴν a.* — 8 *πυρπάλαμνον a.* — 9 *τὸ* om. Vrat. — 10 *ἀνηρότα a.* — 11 *ἀντὶ τοῦ] ἤγουν q.* — *ἐν ἁπάσῃ q.* — 13 *ἤγουν] ἢ a.* — *χλιδῶσαν* et *τρυφῶσαν* edd. ante Oxx. — 14 *τουτ.] ἤγουν q.* — 15 *διὰ χρόνω μ′.* — 16 *εὐκλεῖ ἀντὶ τοῦ τῇ* om. *a.* — 17 *φορφάν a.* — *εὐκλεᾶ a.* — 21 *εἰ* om. *Γ.* — 21. 22 *γέγραφα* codd., *ἔγραφα* edd. ante Beck., *ἔγραψα* cett. — 22 *παρέσχω* Vrat. — 23 *οἵαν μ′.*

ἐκ τῆς ἰδίας ἀλόχου. ἔστι δὲ ἡ ἀπόδοσις τῆς παραβολῆς εἰς τὸ καὶ ὅταν, εἰ καὶ δοκεῖ ἀναρμόστως ἀποδοθῆναι. δέον γὰρ οὕτως εἰπεῖν· ὥσπερ ὀψίγονος παῖς ποθεινὸς τῷ πατρί, οὕτω καὶ τὸ ὕστερον δοθέν τινι ἐγκώμιον οὕτω πρέπον ποιῆσαι· ὁ δὲ ἄλλως ἐξήνεγκεν. εὕροις δ' ἂν καὶ παρὰ λογοποιοῖς πολλὰ τοιαῦτα.

gl. 102. ὥσπερ. — γυναικός. — 103. ἀγαπητός ἐστι. — * ἐλθόντι. — 104. εἰς τὸ ἐναντίον, ἤγουν εἰς γῆρας· — * * τὸ πάλιν] οὕτως ἔχει πρὸς τὸ μέτρον ὀρθῶς. — ἀπὸ τοῦ νῦν. — λίαν. — θάλπει καὶ εὐφραίνει. — 105. τῇ πρὸς τὸν παῖδα στοργῇ. — ἑαυτοῦ. — 106. ὁ κτησάμενος. — 107. διάδοχον καὶ οἰκονόμον. — ξένον. — τῷ ἔχοντι αὐτόν. — 108. λυπηρότατος· βαρὺ γὰρ τὸ μὴ οἰκεῖον καταλιπεῖν κληρονόμον. — 109. * † πράξας. — ὕμνου. — * † χωρίς. — 110. ὦ. — τόπον. — 111. ἔλθῃ. — * † μάταια. — μοχθήσας. — ἐπεὶ οὐχ ὕμνου τετύχηκεν. — 112. παρέσχε. — τῷ ἐν τῇ ζωῇ πόνῳ. — ὀλίγον καὶ οὐδέν. — ἡδύ.

102—112. M. 'Ἀλλ' οὕτως ἐφάνη τέρψιν ἔχοντα, δηλονότι πρὸς τὸν νενικηκότα, καθὰ παῖς ποθεινὸς ἀπὸ γυναικὸς γνησίας τῷ πατρὶ φαίνεται γεννηθεὶς αὐτῷ ἤδη εἰς τὸ γῆρας ἀφιγμένῳ. κατὰ πολὺ δὲ θερμαίνει, ἤγουν ἐξάπτει, διεγείρει τὸν λογισμὸν αὐτοῦ πρὸς φιλοφροσύνην. ἐπεὶ ὥσπερ πλοῦτος ὁ λαχών, ἤγουν ὁ κληρωσάμενος, ὁ εἰς κλῆρον λαβὼν ποιμένα, ἀντὶ τοῦ δεσπό-

---

1 ἡ om. Vrat. — 2 καὶ ante ὅταν om. Α. — 3 ποθ.] γεγονὼς Γ. — 4 οὕτω omm. [Α ?] edd. — 7 Ad v. 102 ὥσπερ φαίνεται παῖς ἐκ νομίμου γυναικός τινι πατρί adscripsit glossator in b. — 8 τῇ νεότητι post ἐναντίον, τὸ post εἰς add. codd. mixti. — 12 Ad vocem θνάσκοντι (v. 108) καταλιμπάνοντι τὸν πλοῦτον adscripsit glossator in b. — 18 Lemma ἀλλ' ὥστε παῖς est in codd. mixtis et edd. — 19 Quæ post νενικηκότα leguntur om. Γ in spatio. — 20 γενηθεὶς a. — 21 κατὰ πολὺ ed. Ro., καταπολὺ cett.

τὴν ἐπείσακτον ἀλλότριον κατὰ πολὺ μεμισημένος (108) *ἐστὶ τῷ ἀποθνήσκοντι, ἀντὶ τοῦ ἐπεὶ ὥσπερ κατὰ πολὺ μεμισημένον ἐστὶ τῷ ἀποθνήσκοντι τὸ εἰς κλῆρον λαβεῖν τὸν πλοῦτον αὐτοῦ δεσπότην ἐπείσακτον, ἀλλότριον, οὕτως, ὦ Ἀγησίδαμε, καὶ ὅταν ἀνὴρ καλὰ ἔργα πράξας εἰς τὸν σταθμόν, ἤγουν εἰς τὸν τόπον τοῦ ᾅδου, τουτέστιν εἰς τὸν ᾅδην ἀφίκηται χωρὶς ᾠδῆς, ἤτοι ἐγκωμίων, μάταια κοπιάσας βραχεῖάν τινα τέρψιν παρέσχε τῷ ἀγῶνι, ἀντὶ τοῦ οὐδεμίαν.*

gl. 113. *σοί.* — *γλυκύφθογγος.* — 114. † *τερπνός.* — *ἀνακαινίσει.* — 115. *ἐπὶ τὴν πρόσθεν ὀφειλομένην·* — † *τουτέστιν ἐπὶ τὴν πρόσθεν ὀφειλομένην σοι.* — *ποταπόν; μέγα.* — 116. * † *αἱ θυγατέρες.* — * *Μοῦσαι.* — 117. *συνεπιλαμβανόμενος αὐταῖς.* — 118. *ἔνδοξον.* — *διὰ τοῦ ὕμνου.* — *περί.* — *ὕμνῳ.* — 119. * † *τὴν καλοὺς ἄνδρας ἔχουσαν.* — * † *τὴν σήν.* — * *τὸν Ἀγησίδαμον.* — 120. *ἐράσμιον.* — *ἐπῄνεσα.* — *ὅντινα Ἀγησίδαμον.* — 121. *νικῶντα πυγμήν.* — *δυνάμει.* — 122. *ὅτε ἐνίκησε.* — *τῷ εἴδει καὶ τῇ θέσει τοῦ σώματος.* — 123. *εὐμορφίᾳ, χάριτι.* — *ἡνωμένον.* — * * *ἥτις·* — *ἡ ὥρα.* — 124. *τὸν ἀναιδῶς προσερχόμενον πᾶσι.* — * *τῷ.* — * * *θάνατον.* — 125. *ἀπεσόβησε.* — * *τῇ Ἀφροδίτῃ· τουτέστιν ὡραῖος ὢν καὶ ὑπὸ Διὸς ἁρπασθεὶς συνουσίας χάριν ἀθάνατος γέγονε·* — *σὺν τῇ Ἀφροδίτῃ.*

---

1 *κατὰ πολὺ* ed. Ro., *καταπολὺ* cett. — *μεμισημένον* codd. et edd. ante Heynium. — 2 *κατὰ πολὺ* ed. Ro., *καταπολὺ* cett. — *μεμισημένος* *a q.* — 4 *ἀλλότρ.* add. m. 1. in marg. inf. libri *q.* — 5 *ἤτοι* *q.* — *εἰς* post *ἤγουν* om. *q.* — 7 *κενὰ καὶ* ante *μάταια* add. edd. inde ab Oxx. — 7. 8 *παρασχετῷ ἀγ.* *q.* — 8 *οὐδὲ μίαν* *q μ'.* — 15 *πυγμῇ* codd. mixti. — 19 Glossa Thomana præfixo lemmate *κυπρογενεῖ* inter scholia legitur in codd. mixtis; Bœckh ex Vrat. C, Mosc. B edidit. — 20 *ἁρπαγεὶς* codd. mixti et ed. — *γέγονε* *ΓΑ ι'*, *γέγονεν* cett., ut vid.

113—125. *M.* *Σοὶ δὲ ἁδυεπής τε λύρα*, ἀντὶ τοῦ ἡδύφωνος *ἀναπάσσει*, τουτέστιν ἐπιπάττει, ἐνστάζει *χάριν*, ἀντὶ τοῦ μέλος χάριεν, ἤγουν τὸ ἐπαγωγὸν ἔχον καὶ τερπνὸν *αὐλὸς ἀναπάσσει χάριν· ἔχουσι δέ σοι*, ἀντὶ τοῦ φέρουσι, παρέχουσιν *αἱ Πιερίδες*, ἤτοι αἱ Μοῦσαι *αἱ θυγατέρες τοῦ Διός, κλέος εὐρύ*, ἤγουν ἐπὶ πολὺν τόπον παραπεμπόμενον. *ἐγὼ δὲ* (117) *συνεφαπτόμενος*, ἤγουν συνεργῶν, συλλαμβανόμενος *αὐταῖς* ταῖς Μούσαις δηλονότι, *σὺν σπουδῇ ἀμφέπεσον* ἀντὶ τοῦ περιπτύσσομαι τὸ περιφαδόμενον *καὶ εὐκλεὲς ἔθνος τῶν Λοκρῶν· καταβρέχων μέλιτι*, ἀντὶ τοῦ κοσμῶν ὕμνῳ ἡδεῖ *τὴν πόλιν αὐτῶν τὴν* καλῶς ἔχουσαν ἕνεκα γενναιότητος ἀνδρῶν. *τὸν υἱὸν δὲ τοῦ Ἀρχεστράτου*, ἤγουν σὲ *αἴνησα*, ἀντὶ τοῦ ἐπαινῶ, *ὃν εἶδον*, ἀντὶ τοῦ ἔγνων *νικῶντα* (121) *ἔργῳ τῆς ἰσχύος τῶν χειρῶν*, τουτέστι πυγμῇ *ἐν Ὀλυμπίᾳ κατ' ἐκεῖνον τὸν χρόνον*, ὅτε ἠγωνίζετο δηλονότι, *κατὰ τὴν ἰδέαν τε*, ἤγουν τὸ εἶδος, τὴν μορφὴν *καλὸν ὄντα*, ἤτοι εὐειδῆ, *ὥρᾳ τε*, ἤγουν ἀκμῇ ἡλικίας *κεκραμένον*, τουτέστι συνόντα, *ἅτις ποτέ*, ἤγουν ἡ ὥρα, *ἅμα τῇ Ἀφροδίτῃ ἄλαλκε τῷ Γανυμήδει*, ἤγουν ἐβοήθησεν ἀποσοβήσασα *τὸν ἀναιδῆ θάνατον*, τουτέστι τὸν ἄκαμπτον, τὸν φθοροποιόν.

---

1 Hoc scholium om. *ι''* in spatio. — *τὶν δ' ἁδυεπής (τε λύρα* add. Vrat.) est lemma in codd. mixtis et edd. — 2 *ἐπιπάττει a*, *ἐπιττάττει q*, *ἐπιπάσσει* cett. — 6 *τόπον*] *τὸ q*. — 8 *περιπτύσομαι q* et edd. ante Beckium, qui e codd. Oxx. correxit. — 10 Ante *μέλιτι* in codd. mixtis et edd. *δὲ* additur. — *π. αὐτῷ* ed. Ox.. — 11 *δὲ* ex *a q*, ed. Ox. addidi. — *τοῦ* om. ed. Ox. — 12 *αἴνησα a q*, *ᾔνεσα* cett. — 15 *κατὰ* om. *a*. — 16 *ὥρα τε q*. — 17 *ποτὲ* om. *μ'*. — 18 *ἄλακε τῷ γαννυμ. q*. — *ἐβοήθησεν ἀποσοβήσασα* codd. (*ἀποβήσασα a*) et edd. Ox. Heyn. Bœckh, *ἐβοήθησαν ἀποσοβήσασαι* cett. — 19 Post *φθορ.* edd. inde a Beckio ex codd. Oxx. *ἀναιδὴς γὰρ οὗτος κυρίως — ἐπεὶ οὐδενὸς αἰδῶ φυλάττει* addiderunt. Eadem leguntur in cod. Cygneo, qui est generis Moschopulei (*s* apud Mommsenum).

Ἐπίνικοι Ὀλυμπιονίκαις.

Ἁγησιδάμῳ Λοκρῷ Ἐπιζεφυρίῳ παιδὶ πύκτῃ. Ὠιδὴ ια'.

[Δημητρίου Τρικλινίου]

περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ ια' εἴδους. ἔστι δὲ μιᾶς στροφῆς. Παλαιόν.

Τοῦ ια' εἴδους ἡ στροφὴ καὶ ἀντιστροφὴ ἑκάστη κώλων ς'. Τὸ α' προσοδιακόν, ὡς ἐμοὶ δοκεῖ, τρίμετρον ἀκατάληκτον, ἐξ ἐπιτρίτου β', χοριάμβου καὶ Ἰωνικοῦ ἀπ' ἐλάσσονος. Τὸ β' ὅμοιον, πλὴν τρίμετρον καταληκτικόν. οἱ δὲ λέγοντες ὡς ἰαμβέλεγοι καὶ ἀμφότερά ἐστι τὰ κῶλα μετατιθεμένης τῆς τελευταίας τούτων συλλαβῆς ἐν τῇ ἀρχῇ, οὔ μοι δοκοῦσι καλῶς λέγειν, ἐπεὶ μηδ' ἐν ἄλλοις κώλοις τοιοῦτό τι κεκαινοτόμηται. Τὸ γ' ὅμοιον, πλὴν δίμετρον ἀκατάληκτον. Τὸ δ' ἀσυνάρτητον ἐκ τροχαϊκοῦ διμέτρου ἀκαταλήκτου καὶ ἡμίσεος ἔπους· τρίμετρον γάρ ἐστι δακτυλικὸν τὸ ἥμισυ τοῦ ἔπους. Τὸ ε' τροχαϊκὸν τρίμετρον βραχυκατάληκτον εἰς ἴαμβον καταλῆγον Πινδαρικῷ ἔθει. τοῦτο γὰρ ἐν τοῖς τροχαϊκοῖς ἔθος αὐτῷ. Τὸ ς' ἰαμβέλεγος, ἤτοι ἐξ ἰαμβικοῦ καὶ δακτυλικοῦ πενθημιμερῶν· εἰ δὲ βούλει,

---

Scholium metricum, quod ego ex *ι'' μ'* novi, Bœckh primus edidit ex Vrat. *A.* Mosc. *B.* — In *q* hoc scholium legitur: *τοῦ ια' εἴδους ἡ στροφὴ καὶ ἀντιστροφὴ κώλων ἕξ, ἡ ἐπωδ δὲ κώλων ι'.* — 5 *παλαιόν* codex *ι''* in marg. habet. — 12 *μηδ'*] *μὴ μ'.* — 17 *ἰαμβέλελος μ'.* — 18 *ἤγουν ι''.*

ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον ἐξ ἰάμβων καὶ ἀναπαίστων. Ἐπὶ τῷ τέλει τῆς στροφῆς καὶ ἀντιστροφῆς παράγραφος.

Περὶ τῶν κώλων τῶν ἐπῳδῶν.

Ἡ ἐπῳδὸς κώλων ι΄. Τὸ α΄ ἐγκωμιολογικόν, ἤτοι ἐκ δακτυλικοῦ καὶ ἰαμβικοῦ πενθημιμερῶν. Τὸ β΄ δίμοιρον ἔπους· οἱ γὰρ δ΄ πόδες τῶν ς΄ δίμοιρον. Τὸ γ΄ ἰαμβέλεγος, ὅμοιον τῷ ς΄ τῆς στροφῆς. Τὸ δ΄ τροχαϊκὸν τρίμετρον καταληκτικόν. Τὸ ε΄ ὅμοιον τροχαϊκόν. Τὸ ς΄ τροχαϊκὸν δίμετρον καταληκτικόν, ἤτοι ἑφθημιμερές, ὃ καλεῖται Εὐριπίδειον ἢ ληκύθιον. Τὸ ζ΄ ἐγκωμιολογικὸν Πινδαρικῷ ἔθει· ἐπιλαμβάνονται δὲ αὐτοῦ διὰ τὸ ἀντὶ μιᾶς τῆς τελευταίας συλλαβῆς τοῦ ἰαμβικοῦ ἔχειν β΄. Τὸ η΄ χοριαμβικὸν δίμετρον ὑπερκατάληκτον. Τὸ θ΄ ὅμοιον τῷ ς΄. Τὸ ι΄ τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Ἐπὶ τῷ τέλει κορωνὶς καὶ παράγραφος.

---

1. *Τr.* *Ἐπειδὴ διπλοῦν ἔφη τὸν ὕμνον γίνεσθαι τοῖς νικηταῖς, τὸν μὲν ἐγγράφως ἀπὸ τῶν ποιητῶν, τὸν δὲ ἀπὸ φήμης τῶν ἄλλων ἀνθρώπων, διὰ τοῦτο τούτῳ τῷ προοιμίῳ ἐχρήσατο τῶν ἀνέμων καὶ τῶν ὄμβρων. παρεικάζει δὲ τὴν μὲν τῶν ἄλλων φήμην ἀνέμοις ὡς ἀστάτοις· τοιαύτη γὰρ ἡ φήμη ἀνυπόστατος· τὸν δὲ ἔγγραφον ὕμνον ὄμβρῳ, οὐ μόνον ὡς τὴν γῆν πιαίνοντι καὶ θάλλειν ποιοῦντι τὰ σπέρματα, ἀλλὰ καὶ ὡς στασίμῳ καὶ ἐπὶ πλεῖστον καιρὸν διαμένοντι. τοιοῦτος δὲ καὶ ὁ ὕμνος· θάλλειν γὰρ ποιεῖ τὸν ὑμνούμενον καὶ εἰς μακροὺς διαμένειν χρόνους.*

---

2 *τῶν στροφῶν κ. ἀντιστροφῶν* ι΄΄. — **5** *ἤγουν* ι΄΄. — **8** *δίμετρον* ι΄΄. — **13** *ς΄*] *ιε΄* Vrat. A (Boeckh non notavit). — **16** Titulus *σχόλια τῶν αὐτῶν* est in codd. mixtis. — **20** *γὰρ*] *γὰρ καὶ* ι΄΄. — **23** *καιρῷ* Vrat. — **24** *διαμένει* μ΄.

gl. 2. ὅτε αὐτοῖς χρῆσις. — 3. νεφέλης γὰρ πρῶτον συνισταμένης ἔπειθ' ὑετὸς ἀπ' αὐτῆς γίνεται. — 4. κόπῳ. — εὐτυχεῖ. — ἥδιστοι.

5. *Th.* Σημείωσαι ἐνταῦθα τὸ τέλλεται. οὐδεὶς γὰρ οὔτε τῶν προγενεστέρων οὔτε τῶν ἔπειτα ἐν τοῖς ἀρσενικοῖς καὶ θηλυκοῖς ὀνόμασι τῷ ἑνικῷ ἀντὶ πληθυντικοῦ ἐχρήσατο ὥσπερ οὗτος. ἡμεῖς δὲ εἰ μὴ καὶ ἐν ἄλλοις ταυτηνὶ τὴν παρανομίαν οὗτος ἐποίει, εἴποιμεν ἂν πρὸς τὸ πιστὸν ὅρκιον ἀποδεδόσθαι τὸ τέλλεται οὕτως· οἱ μελιγάρυες ὕμνοι ἀρχαὶ καὶ προφάσεις τῶν ὑστέρων ὑπὲρ αὐτοῦ λόγων καὶ πιστὸν ὅρκιον τέλλεται ταῖς μεγάλαις αὐτοῦ ἀρεταῖς.

gl. 5. τῶν μελλόντων. — ἀφορμαί. — τῶν ὑπὲρ αὐτοῦ· — † ἤτοι τῆς ὕστερον φήμης. — * ὑπάρχουσι. — 6. ἤγουν ὥσπερ ἐν ὅρκῳ πιστοῦνται τὰ μέγιστα αὐτοῦ κατορθώματα. — τέλλονται. — 7. ὃν οὐδεὶς δύναται φθονήσας ἐξαλεῖψαι. — 8. * ὁ διὰ τῶν ὕμνων· καὶ γὰρ οἱ τοῖς νικηφόροις παρὰ τῶν ἄλλων ἀνιστάμενοι ἀνδριάντες ἢ ὑπὸ χρόνου ἢ ὑπὸ βασκάνων τινῶν καθαιροῦνται· ὁ δὲ διὰ λόγων ὕμνος ἔστ' ἂν ἄνθρωποι ὦσιν, ἀθάνατος μένει· — * * ὁ διὰ ὕμνων. — * τῶν ὕμνων· — † ἤγουν τὰ τῶν ὕμνων. — 10. ὥσπερ ἐγὼ θεόσδοτον ἔχων τὸ τῶν λόγων κράτος. — * † θάλλει. — * † διανοίαις. — 11. * σῆς. — 12. ὦ.

---

4 τὸ ἐντέλλεται ι''. — **6** ἀντὶ τοῦ πλ. ι''. — **7** εἰ μὴ καὶ ΓΛι'', εἰ καὶ μὴ cett. — **8** εἴπωμεν ι'', εἴπομεν cett. codd. et edd. ante Beckium. — **9** οὕτω ΓΛ. — **10** τέλεται ι''. — **11** αὐτοῦ om. Vrat. — **14** πιστοῦται τ. μ. τὰ αὐτοῦ κ. codd. mixti. — στέλλονται Λ, τέλλεται codd. mixti, om. Γ. — **15** Ad τὰ μὲν (v. 8) in *a* glossa ἀντὶ τοῦ τὸ μὲν legitur. — Glossa Thomana in codd. mixtis et edd. præfixo lemmate οὗτος ἄγκειται inter scholia legitur. — **15. 16** ὁ διὰ τ. ὕμνων] ἤγουν ὁ διὰ ὕμνων αἶνος codd. mixti et edd. — **16** ἐνιστάμενοι Λ. — **17** ἢ ὑπὸ χρ. ἢ ὑπὸ] καὶ ἀπὸ Γ. — **17. 18** κατορθοῦνται Λ.

— 13. * † ὕμνον. — ὃν αὐτὸς ἔσχες. — τῆς ὥσπερ χρυσὸς κομιζομένης τοῖς αὐτὴν δεχομένοις· — * * συνίζησις. — 14. γλυκύν. — * † ὑμνήσω. — 15. ἐντεῦθεν γὰρ αὐτὸς ἔσχες τὸ γένος. — φροντίζων καὶ ὑμνῶν.

1—8. M. Ἔστιν ἀνθρώποις] ἔστι καιρὸς ὅτε ἐστὶ τοῖς ἀνθρώποις χρεία πλείστη ἀνέμων, ἔστι δὲ καιρὸς ὅτε ἐστὶ χρεία αὐτοῖς ὑδάτων οὐρανίων ὀμβρίων, τουτέστι τῶν ἐκ τῶν ὄμβρων, τῶν παίδων τῆς νεφέλης, ἤγουν οἵτινες ὄμβροι παῖδές εἰσι τῆς νεφέλης. εἰ δέ (4) τις εὖ πράσσοι, ἤτοι εὐτυχοίη, νικῴη μετὰ κόπου, οἱ ἡδύφωνοι ὕμνοι τέλλεται ἀντὶ τοῦ τέλλονται, ἤγουν γίνονται αὐτῷ ἀρχαί, τουτέστι ῥίζαι, αἰτίαι τῶν ὑστέρων λόγων, ἤτοι φημῶν, τουτέστι τοῦ ἐπικρατῆσαι ὕστερον τὴν φήμην τῆς νίκης, καὶ πιστὸν ὅρκιον, ἤγουν καὶ βεβαία ἀσφάλεια γίνονται οἱ ἡδύφωνοι ὕμνοι τοῖς μεγάλοις κατορθώμασιν αὐτοῦ. οὗτος δὲ ὁ ἔπαινος ὁ δι' ἐμμελῶν ποιημάτων δηλονότι, ἀφθόνητος, ἤγουν ἄπειρος τῶν κακῶν τοῦ φθόνου, τουτέστιν ἀκαταπόνητος ἢ ἀδιάβλητος ἀνάκειται, ἀντὶ τοῦ διαμένει τοῖς Ὀλυμπιονίκαις. τὰ μέν, ἀντὶ τοῦ τὸ μέν, ἤγουν τὸ τῶν ὕμνων, ἡ ἐμὴ γλῶσσα (9) ἐθέλει ποιμαίνειν, ἀντὶ τοῦ διοικεῖν, οἰκονομεῖν. ἐκ βοηθείας δὲ θεοῦ πᾶς ἀνὴρ ἀνθεῖ ἐσαεί, ἀντὶ τοῦ λαμπρός ἐστιν, εὐδοκιμεῖ ἐπὶ σοφαῖς διανοίαις. γίνωσκε νῦν, ὦ Ἀγησίδαμε

---

5 ἐστὶ κ. ὅτε ἔστι q. — 6 χρεία bis legitur in ι''. — πλείστων a. — ἔσται ι''. — δὲ om. Vrat. — 7 Quæ post οὐρ. leguntur, om. ι'' in spatio. — ἐκ τῶν om. a. — 9 πράσσει (ει ex corr.?) q. — ἤτοι a q, ἤγουν cett. — 10 κόπον q, κόπων edd. — Confer glossatorem libri b: τὸ τέλλεται ἀντὶ τοῦ τέλλονται σχῆμα ἐστὶ ποιητικόν, ὃ καλεῖται ἀλλοίωσις κατὰ ἀριθμόν. — Glossa ἀντὶ τοῦ τέλονται (sic) legitur in a. — 13 καὶ post ἤγ. omm. Vrat. μ'. — 16 κακῶν] καθαρῶν q. — 18 Ante τὰ μὲν lemma τὰ μὲν ἁμετέρα est in codd. mixtis (etiam in ι'') et edd. — Ipsum scholium om. ι'' in spatio. — σύνταξις margo μ'. — ἤτοι (om. τὸ) q. — 19 ἀντὶ τοῦ] αὐτὸ a. — 19. 20 ἐκ βοηθείαις (om. δέ) q. — 20 ἀνθ' εἰεσαεὶ q. — ἀσαεὶ μ'.

(12), *παῖ τοῦ Ἀρχεστράτου, ὅτι ἕνεκα τῆς σῆς πυγμαχίας, τουτέστι τοῦ ἀγῶνος τῆς πυγμῆς, ἣν σὺ ἠγωνίσω, ὑμνήσω κόσμον, ἀντὶ τοῦ ὕμνον ἡδυμελῆ, τουτέστιν ἐξ ἡδέων μελῶν συγκείμενον, ἐπὶ τῷ στεφάνῳ τῆς ἐλαίας τῆς χρυσῆς, ἀντὶ τοῦ τῆς τιμίας, τῆς καλλίστης, ἀλέγων, ἤγουν ἐν φροντίδι ποιούμενος, τουτέστιν ὑμνῶν τὴν γενεὰν τῶν Λοκρῶν τῶν Ἐπιζεφυρίων.*

gl. 16. * *εἰς τοὺς Λοκρούς. — συμπανηγυρίσατε. — ὑποσχεθῶ.* — 17. * * *οὐ. — αὐτὸν τὸν τῶν Λοκρῶν. — ἀλλ' ὑποδοχέα τῶν ξένων.* — 18. * * *οὐ.* — 19. *ἄκρον ἐν τῇ σοφίᾳ. — πολεμικώτατον. —* * *ἐλθεῖν ὑμᾶς.*

17—19. *Th.* *Ἀπορ οῦσιν ἐνταῦθα, πῶς πρὸς τὸ φυγόξενον καὶ τὸ ἀπείρατον στερήσεις ἔθηκεν, εἰς δὲ τὸ ἀκρόσοφον καὶ τὸ αἰχμητὰν οὔ. καί φαμεν, ὅτι ὃν τρόπον ἔχει τὸ οὔτε τόδε καὶ τόδε, οὕτω καὶ ἐνταῦθα· ἐγγυάσομαι καὶ ὑποσχεθῶ ἀφίξεσθαι καὶ ἐλθεῖν ὑμᾶς εἰς στρατόν μιν καὶ αὐτόν, τὸν τῶν Λοκρῶν, οὐκ εἰς φυγόξενον οὐδὲ καλῶν ἀπείρατον, καὶ ἀκρόσοφον καὶ αἰχμητήν.*

20. *Th.* *Τοῦτο λέγει διὰ τοὺς Λοκροὺς ὡς φύσει ἀγαθοὺς ὄντας πρὸς πᾶν ἔργον καὶ οὐδέποτε τοῦ εἶναι τοιούτους παυσομένους.*

gl. 20. *τὸ ἐν τῇ φύσει προσόν. — ἡ πρὸς πανουργίαν διάπειρος.* — 21. *οἱ μεγάλα βρυχώμενοι.*

---

1 *ἀρχιστρ.* q. — 2 *ἣν*] *ὃν* a. — 3 *τοῦ*] *τοῦ τὸν* q. — 9 Ad *ἀκρ.* (v. 19) glossa *ἀλλ'*, ad *δὲ καὶ* glossa *τὲ* est in a. — 11 *πῶς* om. *Λ*. — *φιλόξενον* i''. — 13 *αἰχμητὴν* Γ. — *καὶ φαμὲν* ΓΛi'' et edd. ante Heyn. — 15 *ἀφίξασθαι* edd. ante Heyn. — *μῖν* Λ, *μὲν* μ'. — 16 *τὸν* om. *Λ*. — *δηλονότι* post *Λοκρῶν* add. edd. — *φιλόξενον* Γ. — *ἀπ., εἰς ἀκρ. δὲ καὶ αἰχμ.* codd. mixti et edd. — 18 Hanc notulam, quæ in codd. mixtis inter glossas legitur Mommsen ex Aug. *B* edidit (Schol. Germ. p. 47), in quo lemma *τὸ γὰρ* præfigitur. — *διὰ*] *πρὸς* Aug. *B*. — 21. 22 *διάπειρος* Λ.

16—22. M. Ἔνθα, ἤγουν ἐν τοῖς Λοκροῖς, ὦ Μοῦσαι, συγκωμάσατε, τουτέστιν ὁμοῦ χορεύουσαι ὑμνήσατε, ἀπελθοῦσαι δηλονότι ἐκεῖσε. ἐγγυήσομαι, ἤτοι βεβαιώσομαι, μὴ εἰς στρατὸν φυγόξενον, ἤγουν διώκοντα τοὺς ξένους, τουτέστιν ἄξενον, αὐτὸν τὸν τῶν Λοκρῶν δηλονότι, ἀφίξεσθαι, ἤγουν παραγενήσεσθαι, ἀπελεύσεσθαι ὑμᾶς, μηδὲ ἀπείρατον, ἤγουν ἀδόκιμον, ἀμέτοχον καλῶν, ἔργων δηλονότι· εἰς ἀκρόσοφον δέ (19), τουτέστιν ἄκρως σοφὸν στρατὸν βεβαιῶ ἀπελθεῖν ὑμᾶς, καὶ αἰχμητήν, ἤγουν αἰχμὴν εἰδότα μεταχειρίζεσθαι, ἀντὶ τοῦ πολεμιστήν. τὸ γὰρ ἐμφυὲς ἦθος, τουτέστι τὸν γὰρ ἔμφυτον τρόπον, ἤτοι τὸν φυσικόν, οὔτε ἡ ἀλώπηξ ἡ αἴθων, ἤγουν ἡ διάπυρος, ἡ τοὺς τρόπους δραστηρία, οὔτε οἱ λέοντες οἱ μεγαλόηχοι διαλλάξαιντο, ἤγουν διαλλάξουσι, μεταβαλοῦσιν.

---

1 Lemma ἔνθα συγκωμάξατε est in codd. mixtis et edd. — σύνταξις margo μ′. — Quæ post ἤγουν leguntur, om. ι′ in spatio. — 2 συγκωμάσετε q. — 5 τὸν om. a. — 6 ἡμᾶς Vrat. μ′. — ἤγουν a q, ἤτοι cett. — 8 ἄκρας q. — σοφὸς Vrat. — ἡμᾶς μ′. — 9 αἰχμήτην a. — ἤγουν αἰχμὴν εἰδ. μεταχ. omm. Vrat. μ′. — ἀντὶ τοῦ a q, ἤγουν cett. — 10 τουτέστι et γὰρ ex a q addidi. — 11 ἤτοι] τουτέστι q. — οὔτε ἡ ἀλώπηξ om. a. — διάπειρος g. — 12. 13 διαλλ. ἤγουν om. a. — διαλάξαιντο μ′.

Ἐπίνικοι Ὀλυμπιονίκαις.

Ἐργοτέλει Ἱμεραίῳ δολιχοδρόμῳ. Ὠιδὴ ιβ΄.

[Δημητρίου Τρικλινίου]

περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ ιβ΄ εἴδους. ἔστι δὲ μιᾶς στροφῆς. Παλαιόν.

Τοῦ ιβ΄ εἴδους ἡ στροφὴ καὶ ἀντιστροφὴ ἑκάστη κώλων θ΄. Τὸ α΄ προσοδιακόν, ὡς ἐμοὶ δοκεῖ, τρίμετρον καταληκτικόν, ἐξ ἐπιτρίτου β΄, χοριάμβου καὶ Ἰωνικοῦ ἀπ᾿ ἐλάσσονος καταληκτικοῦ. οἱ δὲ λέγοντες τοῦτο ἰαμβέλεγον, καινοτομοῦντες ἃ οὐκ ἔξεστιν, οὐ καλῶς μοι δοκοῦσι λέγειν. Τὸ β΄ ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον, ἐκ τροχαϊκῆς συζυγίας καὶ χοριάμβου. Τὸ γ΄ προσοδιακὸν δίμετρον ἀκατάληκτον ἐξ Ἰωνικοῦ ἀπ᾿ ἐλάσσονος καὶ χοριάμβου. Τὸ δ΄ τροχαϊκὸν τρίμετρον καταληκτικόν, ὃ καλεῖται Ἀρχιλόχειον. Τὸ ε΄ τροχαϊκὸν τρίμετρον ἀκατάληκτον Στησιχόρειον τῷ Πινδαρικῷ ἔθει· ἴαμβον γὰρ ἔχει ἐν τῇ τελευταίᾳ χώρᾳ. Τὸ ς΄, ὡς ἐμοὶ

Scholium metricum Bœckh ex Vrat. *A* (quem librum ego quoque contuli) et Mosc. *B* edidit; ex meis libris in *ι΄ μ΄* legitur. — *Τοῦ ιβ΄ εἴδους ἡ στροφὴ καὶ ἀντιστροφὴ κώλων θ΄· ἡ δὲ ἐπῳδὴ κώλων δέκα* est scholium metr. in *q*. — **5** *δεκάτου* Vrat. *A*. — *Παλαιόν* ex marg. *ι΄ μ΄* addidi. — **6** *ἑκάστη* om. *ι΄*. — **8** *χοριαμβικοῦ κ. ι΄*. — **10** *καινοτομοῦντες ι΄* et Bœckh, *καὶ κενοτιμοῦντες* cett. — **13** *ἀπ᾿ ἐλ. ι΄ μ΄, ἀπὸ ἐλ.* cett.

δοκεῖ, προσοδιακόν ἐστιν ὅμοιον τῷ α΄. ἐκ τῶν αὐτῶν γὰρ ποδῶν σύγκειται, πλὴν τρίμετρόν ἐστιν ἀκατάληκτον. ἃ δὲ καὶ περὶ τούτου λέγουσιν, οὔ μοι δοκεῖ εὔλογα. Τὸ ζ΄ Εὐριπίδειον ἢ ληκύθιον· τροχαϊκὸν γάρ ἐστιν ἑφθημιμερές. Τὸ η΄ προσοδιακὸν δίμετρον ὑπερκατάληκτον, ἐξ Ἰωνικοῦ ἀπὸ μείζονος καὶ χοριάμβου καὶ συλλαβῆς. τοῦτο καὶ ἀναπαιστικόν ἐστιν ἑφθημιμερές. Τὸ θ΄ ὅμοιον τῷ ζ΄. Ἐπὶ τῷ τέλει τῆς στροφῆς καὶ ἀντιστροφῆς παράγραφος.

Περὶ τῶν κώλων τῆς ἐπῳδοῦ.

Ἡ ἐπῳδὸς κώλων ι΄. Τὸ α΄ ἐγκωμιολογικὸν διπενθημιμερὲς ἐκ δακτυλικοῦ καὶ ἰαμβικοῦ πενθημιμερῶν. Τὸ β΄ δακτυλικὸν τρίμετρον ἀκατάληκτον. Τὸ γ΄ Εὐριπίδειον ἢ ληκύθιον. Τὸ δ΄ ἀναπαιστικὸν τρίμετρον βραχυκατάληκτον. Τὸ ε΄ προσοδιακόν, ὅμοιον τῷ η΄ τῆς στροφῆς, καὶ ἀναπαιστικὸν ἐκ σπονδείου ἑφθημιμερές. Τὸ ς΄ τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ ζ΄ ὅμοιον τῷ α΄ τῆς στροφῆς, πλὴν ἐκ τροχαϊκῆς συζυγίας ἀρχόμενον. Τὸ η΄ τροχαϊκὸν Στησιχόρειον, ὅμοιον τῷ ε΄ τῆς στροφῆς σὺν τῷ Πινδαρικῷ ἔθει. Τὸ θ΄ Στησιχόρειον καθαρὸν τρίμετρον ἀκατάληκτον. Τὸ ι΄ ὅμοιον τῷ ς΄. Ἐπὶ τῷ τέλει κορωνὶς καὶ παράγραφος.

Th. *Ἐργοτέλης Κρὴς ὢν τὸ γένος καὶ τῆς πόλεως αὐτοῦ Κνωσσοῦ στασιαζομένης ἀπῆρεν εἰς Ἱμέραν πόλιν Σικελίας,*

---

1 *τῶν πρώτων ι΄΄*. — 3 *ἔλλογα* Vrat. *A*. — 7 *τὸ θ΄* om. *ι΄΄*. — *τέλει* om. *ι΄΄* in fine versus. — 7. 8 *στροφῶν κ. ἀντιστροφῶν ι΄΄*. — 9 *π. τ. κ. τ. ἐπ.* (*τῶν ἐπῳδῶν μ΄*) *ι΄΄ μ΄*, omm. cett. — 10 *ἡ* ex *ι΄΄μ΄* addidi. — 11 *πενθημιμεροῦς ι΄΄*. — 21 *Σχόλια τῶν αὐτῶν* est inscriptio in codd. mixtis. — Hoc scholium Bœckh ex Vrat. C. Mosc. B edidit. — 22 *κρωσσοῦ ΓΔ*, *Κνωσοῦ* Bœckh ed. — *ἡμέραν Γ*. — *τῆς σικ. ι΄΄*.

ἔνθα καὶ ἑτέραν στάσιν εὑρών, Γέλωνος καὶ Ἱέρωνος, ἐπεὶ πεπαυμένων τῆς μάχης εἰρήνη ἐγένετο, ἀπελθὼν οὗτος ἐν Ὀλυμπίᾳ δόλιχον δρόμον νικᾷ· ἔστι δὲ ὁ δόλιχος εἶδος δρόμου. ἀποτείνεται οὖν Πίνδαρος πρὸς τὴν Τύχην τὴν τὴν εἰρήνην ποιήσασαν, εἶτα πρὸς τὰς ἐλπίδας, δεικνύων ἐντεῦθεν, ὡς οὐδεὶς οἶδε τὸ μέλλον ἐπελθεῖν αὐτῷ· τοῦτο δὲ ἐποίησε διὰ τὸν Ἐργοτέλην ἐξελθόντα μὲν τῆς πατρίδος αὐτοῦ διὰ στάσιν, ἵνα πρὸς εἰρηναῖον χωρίον γένηται, εὑρόντα δὲ καὶ Σικελίαν στασιαζομένην.

gl. 1. * † ἱκετεύω. — * † θύγατερ. — ἐλευθερίαν καὶ εἰρήνην ποιοῦντος.

2. *Germ.* Ἀμφιπόλει] ἢ ἓν μέρος λόγου ῥῆμά ἐστιν ἀντὶ τοῦ σῶζε· ἢ δύο μέρη λόγου, ἵν' ᾖ· περὶ τῇ πόλει.

gl. 2. * μεγαλοδυνάμῳ· — * * τῇ μεγαλοδυνάμῳ Ἱμέρᾳ. — περί. — 3. ἤγουν ἕνεκα τῆς πόλεως· — † ἤγουν περὶ πόλει. — ὦ. — 4. * † ἐν θαλάσσῃ. — * βοηθοῦνται καὶ οὐκ εἰς κλύδωνα πίπτουσιν ἢ πεσοῦσαι ταχέως ἀπαλλάττονται· — * * βοηθοῦνται. — 6. ὑπὸ σοῦ κυβερνῶνται.

4—6. *Th.* Εἰ μὲν ἄρθρον πρὸς τὸ λαιψηροὶ λάβῃς ἔξω-

---

1 στάσιν om. Γ. — ἐπεὶ πεπ. ΓΛ ι' μ', ἐπιπεπ. cett. — 2 Post ἀπελθών delevi οὖν libros ΓΛ ι' μ' secutus. — οὗτος om. Vrat. — ἐν ὀλυμπίᾳ ΓΛ, εἰς ὀλυμπίαν cett. — 3 Post δρόμου in codd. mixtis et ed. κατὰ τὴν οζ' Ὀλυμπιάδα· εἶτα νικᾷ καὶ Πύθια καὶ Ἴσθμια additur. — 4 Τύχην] τέχνην Vrat. — 5 δεικνύων ΓΛ, δεικνύς cett. — 6 τὸν] τὸ Γ. — 7 διάστασιν Vrat. — 8 καὶ τὴν σικ. codd. mixti et ed. — 12 Post lemma delevi δέ. — ῥῆμα ἐστὶν U. — 13 σώζει U. — 14 In *a* voci ἱμέρα (sic) αν syllaba, tum voci ἀμφιπόλει glossa ἤγουν περιπόλει suprascripta est. — 16 Glossa Thomana præfixo lemmate κυβερνῶνται in codd. mixtis inter scholia legitur; ex Vrat. C. Mosc. B Bœckh primus edidit. — καὶ οὐκ] αἳ (?) Γ. — 17 ἀπαλλάττωνται Γ, ἀπαλλάττουσιν Mosc. *B.* — 19 Ad hoc scholium Bœckh hæc annotavit:

θεν, οὕτως ἐρεῖς· ὑπὸ σοῦ κυβερνῶνται ἐν τῇ χέρσῳ οἱ λαιψηροὶ πόλεμοι, ἤγουν ἢ οἱ λαιψηρῶς καὶ κούφως καὶ ἀνοήτως τοῖς ἀνθρώποις γενόμενοι, ἢ οἱ λαιψηρῶν καὶ ταχυτάτων καὶ σπουδαίων ἀνθρώπων δεόμενοι. εἰ δὲ χωρὶς τοῦ ἄρθρου, οὕτως· ὑπὸ σοῦ κυβερνῶνται ἐν τῇ χέρσῳ οἱ πόλεμοι· ποταποί; λαιψηροὶ καὶ ταχεῖς· ἤγουν ταχέως παύονται. οὕτω δὲ ἐρεῖς καὶ τὸ βουλαφόροι καὶ χωρὶς ἄρθρου καὶ μετὰ τοῦ ἄρθρου. τοῦτο δὲ λέγει, ἐπεὶ εἰρήνης ὑπὸ τῆς τύχης γενομένης βουλευτήρια καὶ δικαστήριά ἐστιν.

1—6. *M. Λίσσομαι, παῖ Ζηνός] ὦ Τύχη σώζουσα τοὺς ἀνθρώπους, ἤγουν φυλάττουσα, περιέπουσα, θύγατερ τοῦ Διὸς τοῦ Ἐλευθερίου, τουτέστι τοῦ ἐφόρου τῆς ἐλευθερίας (Διὸς δὲ Ἐλευθερίου θυγατέρα λέγει αὐτήν, ἐπεὶ ἐδόξαζον αὐτὴν ὑψοῦν τε καὶ ἀπαλλάττειν δουλείας καὶ φυλάττειν τῶν ἐλευθέρων τὴν ἐλευθερίαν) λίσσομαι, ἤγουν ἱκετεύω ἀμφὶ τῇ Ἱμέρᾳ τῇ πόλει, ἀντὶ τοῦ περὶ τῆς Ἱμέρας τῆς πόλεως τῆς εὐρυσθενοῦς, τουτέστι τῆς πολλὴν ἐχούσης δύναμιν. ἢ οὕτως· ἱκετεύω, ἀμφιπόλει, ἤγουν περιπόλει, περίεπε, ἐπισκοπῆς ἀξίου τὴν Ἱμέραν*

«In Mosc. B. nigro suppleta est prima littera. Leid. B. Ciz. Lips. et Cygn. non habent. Est Triclinii.»

1 *ὑπὸ σου Δ.* — 2 *ἢ* ex *ΓΔ* addidi. — 3 *γεν. ΓΔ, γιν.* cett. — 5. 6 *λαιψηρεῖς ι''.* — 6 *παύονται* om. *Γ.* — *οὕτως Δ.* — 7 *τοῦ* ex *ΓΔ ι''* addidi. — 8 *τῆς* ex *ΓΔ ι''* addidi. — *γινομ.* edd. — 10 *αἴσομαι* (*α* rubro scripta) *μ'.* — *παῖ Ζηνὸς* om. *ι''.* — *σύνταξις* margo *μ'.* — *σώτειρα* post *Τύχη* supra lineam add. *ι''.* — 11 *φυλάσσουσα ι''.* — 11. 12 *θύγ. διὸς ἐλ. ι''.* — 13 «Pro *θυγατέρα λέγει* in MSS. *β. γ.* est: *θ. καλεῖ τὴν τύχην ὁ Πίνδαρος*». *Beck.* — «Revocavi ex edd. antt. *ὑψοῦντες* ubi Ox. dederunt *ὑψοῦν τε.* Nam *ὑψοῦντες* dicuntur, qui fortunam extollunt, v. c. carminibus». *Beck*, quem nullus editorum secutus est. — 14. 15 *τῶν ἐλευθερίων μ'.* — 17 *πολὺν ἐχ.* Vrat. *μ'.* — 17. 18 *ἀμφὶ πόλει* Vrat. *μ'.* — 18 *περὶ πόλει μ'.*

τὴν πόλιν τὴν πολλὴν ἔχουσαν δύναμιν. ὑπὸ σοῦ γὰρ κυβερνῶνται ἐν τῇ θαλάσσῃ αἱ ταχεῖαι νῆες καὶ ἐν τῇ χέρσῳ, ἀντὶ τοῦ τῇ γῇ οἱ πόλεμοι οἱ λαιψηροί, ἤγουν οἱ σφοδροὶ τὴν ὁρμὴν καὶ δραστήριοι· ὑπὸ σοῦ κυβερνῶνται καὶ αἱ ἀγοραὶ αἱ βουληφόροι, τουτέστιν οἱ τόποι, ἔνθα αἱ βουλαὶ δίδονται, ἤτοι τὰ βουλευτήρια.

gl. 6. * δέ. — 7. * πάλιν. — 8. ποταπά; κοῦφα, μάταια. — ποιοῦσαι, παρασκευάζουσαι. — 9. συστρέφονται· — † ἤγουν τῇ συστροφῇ τοῦ χρόνου συστρέφονται.

6—9. *Th.* Αἱ δὲ ἐλπίδες κυλίνδονται καὶ δίκην τροχοῦ περιφέρονται, τάμνοισαι καὶ ποιοῦσαι πολλὰ τῶν ἀνδρῶν ἄνω, τὰ δέ, καὶ ἄλλα δέ, αὖ καὶ πάλιν, κάτω, ψευδῆ μεταμώνια καὶ μάταια· τουτέστιν ἕτερά τις ἐλπίζει καὶ ἑτεράττα ἀποβαίνουσιν. ἔστι δὲ τὸ ψευδῆ καὶ τὸ μεταμώνια ἑρμηνεία τοῦ ἄνω καὶ κάτω. καὶ γὰρ ἡ τοιαύτη ἀνατροπὴ ψευδεῖς τοὺς ἐλπίζοντας τίθησιν· ἢ τὸ ἐλπίδες πρὸς τὸ ἀνδρῶν συναπτέον.

gl. 10. σημεῖον. — * * τῶν ἀνθρώπων. — 11. βέβαιον. — 12. * ὑπαρξούσης· — * * μελλούσης. — ἀπὸ τῶν θεῶν· σύναπτε δὲ πρὸς τὸ ἐσομένης, οὐ πρὸς τὸ εὗρε. — 13. τῶν ἐσομένων πραγμάτων. — ἄδηλοί εἰσιν. — * αἱ γνῶμαι. — 14. παρὰ βούλησιν. — συμβεβήκει· — † ἀντὶ τοῦ ἐπέβη. — 15. εἰς τοὐναντίον. — ἄλλοι δέ. — 16. πρῶτον ἐπιτυχόντες. — 17. ἀγαθόν. — μέγα. — τῆς πρώτης βλάβης. — ὀλίγῳ. — 18. μετηλλάξαντο· ἐκ μεταφορᾶς τῶν μετοικιζομένων.

6—18. *M.* Αἵ γε μὴν ἐλπίδες τῶν ἀνθρώπων κυλίνδονται, ἤγουν τῇ στροφῇ τοῦ χρόνου συμφέρονται, τέμνουσαι, ἀντὶ τοῦ

---

1 Quæ post *δύναμιν* leguntur, om. *ι'* in spatio. — 3 *οἱ πολέμοι οἱ λαιψ. μ'*, — 10 *τάμν. ΓΑ*, *τέμν.* cett. — 11 *αὖ καὶ πάλιν* ex *ΓΑ* addidi. — 12 *ἑτερ' άττα Γ*, *ἑτεράττα Α* Vrat. et edd. ante Beck. — *ἀποβαίνουσιν ΓΑ*, *ἀποβαίνει* cett. — 24 Lemma *αἵ γε μὲν* (*μὴν* Vrat. et edd. ante Bœckh.) *ἀνδρῶν* est in codd. mixtis et edd. — *σύνταξις* margo *μ'*. — Lemma tantum exhibet *ι'*, cetera desunt in spatio. — 25 *ἐν* post *ἤγουν* add. edd. — *τῇ στοφῇ q*, *τῇ συστροφῇ* Vrat. et edd. ante Bœckh.

ἐλπίζουσαι, λογιζόμεναι πολλὰ ἄνω ἔσεσθαι, τὰ δὲ δὴ κάτω, ψευδῆ μεταμώνια (ἐπιῤῥηματικῶς ἀντὶ τοῦ ψευδῶς, ματαίως). σύμβολον δέ (10), *ἤγουν σημεῖον προγνωστικόν, ἀσφαλὲς οὔπω τις κατενόησεν ἀπὸ τοῦ θεοῦ περὶ τῆς ἐσομένης πράξεως, ἤγουν τύχης. τῶν δὲ μελλόντων (ὁ δὲ ἀντὶ τοῦ γάρ) ἤγουν αἱ φράδαι γάρ, τουτέστιν αἱ γνώσεις τῶν μελλόντων τετύφλωνται, ἀντὶ τοῦ ἀφανεῖς, ἄδηλοί εἰσιν. πολλὰ δὲ* (14) *ἔπεσεν, ἀντὶ τοῦ ἀπέβησαν τοῖς ἀνθρώποις παρὰ προσδοκίαν, ἔμπαλιν δὴ τέρψεως, ἤγουν κατὰ τὸ ἐναντίον τῆς παρούσης αὐτοῖς τέρψεως· οἱ δὲ ἀλγειναῖς ταραχαῖς ἀντικύρσαντες, ἀντὶ τοῦ ἐγκύρσαντες ἤτοι ἐντυχόντες, ἐν μικρῷ χρόνῳ, ἀντὶ τοῦ βραχεῖ, εἰς πολὺ ἀγαθὸν ἀπὸ πήματος, ἤγουν ἀπὸ κακοπαθείας, ἀπὸ βλάβης, πεδάμειψαν, ἀντὶ τοῦ μετήμειψαν, ἤτοι μετέπεσον.*

gl. 19. * † *Ἐργότελες. — ὄντως. — ἡ σή. — ἄν.* — 20. *ἔνδον τῆς οἰκίας μαχόμενος. — καθά.* — 21. * *συγγενικῇ. — οἰκίᾳ, ἤτοι τῇ πατρίδι.* — 22. *ποταπή; ἄδοξος. — μάτην ἀνήλωται· ἐκ μεταφορᾶς τῶν φυλλοῤῥοούντων δένδρων·* — ** *διὰ τὸ μέτρον. — ἡ διὰ τάχος.* — 23. *ἡ ἐναντίους τοὺς ἄνδρας ἀλλήλοις ποιοῦσα.* — 24. *ἐξήλασε.* — * *πατρίδος.*

19—24. *Germ.* *Ἐνδομάχας ἀλέκτωρ] ὁ νοῦς· ὦ υἱὲ τοῦ Φιλάνορος· τὸ σχῆμα ἀποστροφή· ἡ τεὰ καὶ ἡ σὴ καὶ ἡ*

---

1 *λογιζόμενα* edd. ante Heynium; iam Beck corr. in notis. — 2 *ἐπιῤῥ.* est in [q] codd. Bodl. β. γ., deest in cett. codd. et in edd. ante Beck. — *ψεύδως* a. — 3 *γνωστικόν* Vrat. μ' et edd. ante Oxx. — 5 *ἤγ. τῆς τύχης* q. — 6 *φραδαί* Bœckh contra codd. vulg. in textu. — 7 Ante *πολλὰ* lemma *πολλὰ δ' ἀνθρώποις* est in codd. mixtis et edd. — *σύνταξις* margo μ'. — Quæ post π. *δὲ ἔπεσεν* leguntur, om. ι'' in spatio. — 8 *ἀπέβησαν*] *ἐπέβη* Vrat. μ', glossa Mosch. in codd. mixtis, edd. ante Bœckh. — 9 *ἤγουν—τέρψεως* om. Vrat. — 11 *τοῦ ἐν βρ.* codd. mixti et edd. — *βραχύ* a. — 12 *πήματος*] *ματος* a. — *ἤγουν* a q, *ἤτοι* cett.

ἰδίᾳ τιμὴ τῶν ποδῶν ἀκλεὴς ἂν καὶ ἄδοξος κατεφυλλοῤῥόησε καὶ ἐφθάρη, ἅτε ὁ ἀλέκτωρ ὁ ἐνδομάχας καὶ ὁ ἔνδον τὰς κατοικιδίους ποιῶν μάχας (ὑπάρχει, ἐλλειπτικῶς) παρὰ τῇ παρεστίᾳ καὶ τῇ οἰκίᾳ τῇ συγγόνῳ, ἐν ᾗ ἐγεννήθη· εἰ μὴ ἡ στάσις ἡ ἀντιάνειρα ἄμερσε καὶ ἐστέρησε καὶ ἐκίνησεν ἀπὸ τῆς Κνωσίας πάτρας καὶ πατρίδος.

M. Ὦ υἱὲ τοῦ Φιλάνορος Ἐργότελες, ὄντως δὴ καὶ ἡ σὴ τιμὴ τῶν ποδῶν, ἀντὶ τοῦ καὶ ἡ τιμὴ τῆς ταχυτῆτος τῶν σῶν ποδῶν ἄδοξος ἂν κατεφυλλοῤῥόησεν, ἤγουν κατεμαράνθη παρὰ τῇ οἰκίᾳ τῇ συγγόνῳ, ἀντὶ τοῦ τῇ συγγενικῇ, τῇ πατρικῇ, καθὰ ἀλέκτωρ ἔνδον, ἐν τῷ οἴκῳ τὰς μάχας ποιούμενος, ἀφανὴς ἐστι δηλονότι, εἰ μὴ ἡ μάχη ἡ ἀντιάνειρα, τουτέστιν ἡ ἐξ ἐναντιώσεως τῶν ἀνδρῶν γινομένη, ἐστέρησέ σε τῆς πατρίδος τῆς σῆς τῆς Κνωσίας, ἀντὶ τοῦ τῆς Κνωσοῦ· τὸ κτητικὸν ἀντὶ τοῦ ἁπλοῦ.

gl. 26. ἐν τῇ. — ὡ.

27. Th. Ὅτε Ἡρακλῆς λαβὼν τὰς Γηρυόνου βοῦς ἐπανῄει ἐν Σικελίᾳ, αὐτῷ θερμὰ ὕδατα ἐκ τῆς γῆς ἀναδεδόσθαι Ἀθηνᾶ παρεσκεύασεν, ἵνα λουτροῖς αὐτοῖς χρήσαιτο πλεῖστα καμὼν περὶ τὴν ὁδόν. λέγει οὖν τὸ θερμὰ λουτρὰ Νυμφᾶν, ἤτοι τὴν Ἱμέραν ὑπὸ μέρους.

gl. 27. τοῦ Ἡρακλέους. — ὑψοῖς διὰ τῶν στεφάνων. — ἐνδιαιτώμενος. — 28. ἤτοι τῇ Ἱμέρᾳ, ἐν ᾗ οἰκεῖς.

---

1 κατεφυλλορόησε Mommsen edidit. — 2 ἦτε U. — τοὺς U. — 3 Ante μάχας delevi τάς. — 7 Lemma υἱὲ Φιλάνορος est in codd. mixtis et edd. — 8 τῶν — τιμὴ omm. edd. ante Bœckh. — καὶ om. ι'. — 9 κατεφυλλορόησεν μ'. — 10 οἰκείᾳ ι'. — τῇ post τοῦ omm. Vrat. μ' et edd. ante Bœckh. — τῇ ante πατρ. Bœckh primus (e codd.?) addidit. — 11 πατρικῇ Beck e codd. Bodll. inseruit. — 12 εἰ om. q. — 13 ἐστέρησε (om. σε) ι'. — 14 τοῦ om. ι', add. miniator in marg. μ'. — 20 ἤγουν ι'. — 21 πόλιν συνεκδοχικῶς post Ἱμέραν addunt edd. inde ab Oxx.

25—28. M. *Νῦν δέ, ὦ Ἐργότελες, τούτου γενομένου, ἐν τῇ Ὀλυμπίᾳ στεφανωσάμενος, ἤγουν νικήσας, καὶ δὶς ἐν Πυθῶνι νικήσας καὶ ἐν τῷ Ἰσθμῷ νικήσας, τὰ θερμὰ λουτρὰ τῶν Νυμφῶν τὰ ἐν τῇ Ἱμέρᾳ τῇ πόλει βαστάζεις, ἤγουν ὑψοῖς, μεγαλύνεις, ὁμιλῶν, τουτέστιν οἰκῶν, ἀναστρεφόμενος παρ' αὐτῇ, τῇ Ἱμέρᾳ δηλονότι, ὥσπερ εἰ ἀνεστρέφου παρὰ τῇ οἰκείᾳ γῇ, ἤγουν τῇ πατρίδι σου τῇ Κνωσῷ.*

---

1 Lemma *νῦν δ' Ὀλυμπίᾳ* omisi cum *a q ι'*. — *σύνταξις* margo *μ'*. — *ὦ*] *ὁ ι'*. — 2 *δίς*] *διός μ'*. — 3 *νικήσας* post *Ἰσθ.* omm. edd. ante Bœckh. — 5 *παρά ι'*. — 6 *ἀναστρέφου μ'*. — *π. τῆς οἰκεία γῆ a*.

Ἐπίνικοι Ὀλυμπιονίκαις.
Ξενοφῶντι Κορινθίῳ σταδιοδρόμῳ καὶ πεντάθλῳ.
Ὠιδὴ ιγ΄.

[Δημητρίου Τρικλινίου]

περὶ τῶν κώλων τῶν στροφῶν καὶ ἀντιστροφῶν τοῦ ιγ' εἴδους. ἔστι δὲ στροφῶν ε΄. Παλαιόν.

Τοῦ ιγ΄ εἴδους αἱ στροφαὶ καὶ ἀντιστροφαὶ ἑκάστη κώλων α΄. Τὸ α΄ ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν ἐκ παίωνος γ΄. ἀδιάφορος γάρ ἐστιν ἡ α΄ συζυγία. ἃ δὲ περὶ τούτου λέγουσιν, οὔ μοι δοκεῖ εὔλογα. Τὸ β΄ ἀντισπαστικὸν δίμετρον καταληκτικόν, ἤτοι ἐφθημιμερές, ὃ καλεῖται Φερεκράτειον ἐκ διτροχαίου. Τὸ γ΄ ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον, τοῦ β΄ ποδὸς χορείου τριβράχεος, τοῦ δὲ δ΄ σπονδείου, ὃν καὶ ἀτάκτως παρὰ τοῖς μελοποιοῖς φασι κεῖσθαι. ἐμοὶ δ' ἐπιωνικὸν δοκεῖ εἶναι ἀπ' ἐλάσσονος τρίμετρον καταληκτικόν, ἐκ παίωνος β΄, Ἰωνικοῦ καὶ τροχαϊκῆς συζυγίας καταληκτικῆς. Τὸ δ΄ ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον καθαρόν. Τὸ ε΄ περιοδικὸν ἰάμβοις καὶ τρο-

---

Iterum incipiunt scholia mixta in ξ'. — Scholium metricum Bœckh ex Vrat. *A* (quem ego quoque contuli) et Mosc. *B* edidit; e meis libris in μ΄ ξ΄ legitur. — **6** *ἔστι—πέντε* om. ξ΄. — Ante *στροφῶν* delevi *τὸ ᾆσμα* cum ι''. — *παλαιόν* ex marg. ι'' μ΄ addidi. — **7** *ἑκάστη* om. ι''. — **10** *ἔλλογα* (?) Vrat. *A*. — **13** *τριβραχέος* ed. Bœckh. — **14** *δ'* ι'' μ΄ ξ, *δέ* cett.

χαίοις, ἀλλὰ τὸ μὲν ἰαμβικὸν ἐστι μονόμετρον ἐξ ἀναπαίστου ἀρχόμενον, τὸ δὲ τροχαϊκὸν δίμετρον βραχυκατάληκτον, τοῦ β' ποδὸς δακτύλου. ἐμοὶ δὲ δοκεῖ ἐκ β' ἰαμβικῶν συγκεῖσθαι κώλων πενθημιμερῶν, καὶ ἔστιν ὥσπερ ἀσυνάρτητον, εἰ καὶ μὴ ἐκ διαφόρων κώλων σύγκειται. εἰ δὲ μὴ παραδίδωσι τοῦτο ὁ μετρικός, οὐδὲν θαυμαστόν· τὰ καιριώτερα γὰρ παραδίδωσιν, ὡς ἐγχειρίδιον γράφων. Τὸ ς' ἐπιωνικὸν τρίμετρον ἀκατάληκτον, τῆς α' συζυγίας ἰαμβικῆς, τῆς β' Ἰωνικῆς ἀπ' ἐλάσσονος καὶ τῆς γ' τροχαϊκῆς. Τὸ ζ' δακτυλικὸν πενθημιμερές. Τὸ η' χοριαμβικὸν δίμετρον ἀκατάληκτον, ἔχει δὲ ἔν τισι μὲν τοὺς χοριάμβους καθαρούς, ἔν τισι δὲ ἰαμβικὴν ἢ τροχαϊκὴν συζυγίαν καὶ τὴν κατάληξιν ὡσαύτως ἀδιάφορον. Τὸ θ' προσοδιακὸν ἐξ Ἰωνικοῦ καὶ χοριάμβου· εἰ δὲ βούλει, ἀναπαιστικόν. Τὸ ι' τροχαϊκὸν ἑφθημιμερὲς Εὐριπίδειον ἐκ δακτύλου ἀρχόμενον. ἐμοὶ δὲ δοκεῖ προσοδιακὸν εἶναι ἐκ χοριάμβου καὶ Ἰωνικοῦ ἢ ἐπιτρίτου διὰ τὴν ἀδιάφορον. Τὸ ια' ἐπιχοριαμβικὸν ἐκ τροχαϊκῆς συζυγίας ἢ ἐπιτρίτου καὶ χοριάμβου. Ἐφ' ἑκάστῃ στροφῇ καὶ ἀντιστροφῇ παράγραφος.

Περὶ τῶν κώλων τῶν ἐπῳδῶν.

Αἱ ἐπῳδοὶ κώλων ια'. Τὸ α' προσοδιακὸν δίμετρον ἀκατάληκτον ἐξ Ἰωνικοῦ ἀπὸ μείζονος καὶ χοριάμβου. Τὸ β' ἐγκωμιολογικὸν ἐκ δακτυλικοῦ καὶ ἰαμβικοῦ πενθημιμερῶν. Τὸ γ' τροχαϊκὸν δίμετρον ὑπερκατάληκτον δακτύλοις μεμιγμένον. Τὸ δ' προσοδιακὸν ἢ ἐπιχοριαμβικὸν ὅμοιον τῷ ια' τῆς στροφῆς. Τὸ ε' Ἰωνικὸν ἀπ' ἐλάσσονος δίμετρον ἀκατάληκτον. Τὸ ς'

2 δέ om. ξ'. — 5. 6 ὁ τεχνικός ξ'. — 6 κυριώτερα coni. Boeckh. — 15 ἢ] καί ι'. — 17 ἢ] ἤτο (sic) ι'. — 17. 18 στροφῶν κ. ἀντιστροφῶν ι'. — 20 αἱ ἐπωδοὶ ι', ἑκάστη ἐπῳδός cett. — 22 ἐκ δακτύλου καὶ ἰάμβου ι'.

Εὐριπίδειον. Τὸ ζ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ η' δακτυλικὸν πενθημιμερές. Τὸ θ' Ἰωνικὸν τρίμετρον βραχυκατάληκτον. ἔστι δέ, ὥς φασιν, ἀταξία ἐν αὐτῷ· ἡ γὰρ β' συζυγία ἰαμβικὴ οὖσα ἐν τῇ β' χώρᾳ σπονδεῖον ἔχει ἀτάκτως· διὸ καὶ ἐπιλαμβάνονται αὐτοῦ. ὡς καὶ τὸ παρ' Εὐπόλιδι ἐπιωνικὸν ἐν τῷ Χρυσῷ γένει τό·

Ὦ καλλίστη πόλι πασῶν, ὅσας Κλέων ἐφορᾷ.

Τὸ ι' Εὐριπίδειον. Τὸ ια' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Ἐφ' ἑκάστῃ ἐπῳδῷ τὰ συνήθη σημεῖα.

---

1. *Th. Τρισολυμπιονίκην λέγει τὸν τοῦ Ξενοφῶντος οἶκον, ἐπειδὴ αὐτῷ μὲν τῷ Ξενοφῶντι δύο Ὀλυμπιακαὶ νῖκαι κατὰ τὴν αὐτὴν ἡμέραν ἐγένοντο πεντάθλου καὶ σταδίου, τῷ πατρὶ δὲ Θεσσαλῷ μία πρόσθεν.*

gl. 1. * * *Τὸ προοίμιον ἀπὸ τῆς πατρίδος τοῦ νικητοῦ.* — 2. *πρᾶον καὶ προσφιλῆ.* — *τοῖς Κορινθίοις.* — 3. *ὑπουργὸν πρὸς ἃ βούλονται.* — *γνωρίσω καὶ ἐπαινέσω.*

4. *Th. Ἡ Κόρινθος ἐν τέλει μὲν τοῦ Ἰσθμοῦ, ἐν ἀρχῇ δὲ τῆς Πελοποννήσου κειμένη, εἰκότως προπύλαιον τοῦ ἐν τῷ Ἰσθμῷ τιμωμένου Ποσειδῶνος τῷ Πινδάρῳ καλεῖται.*

gl. 4. *εὐδαίμονα.* — * *τὴν πόλιν τοῦ Ξενοφῶντος.* — *τοῦ ἐν Ἰσθμῷ τιμωμένου.* — 5. *προπύλαιον.* — *καλοὺς κούρους ἔχου.* — 6. *ἀδελφαὶ αὐτῆς.* — 7. *στήριγμα.* — 8. *ὁμοδίαιτος*

---

3 *ἀταξίαν ἐν μ' ξ'.* — 4 *ἰαμβικοῦ ξ'.* — *διὸ* om. *ι''.* — 9 *ἐπωδοῦ ι''.* — 10 Titulus *σχόλια τῶν αὐτῶν* est in codd. mixtis (»scholia eorundem« in *ι''*). — *τρισολυμπιονίκαν* [*μ' ξ*] edd. inde a Beckio. — 11 *τῷ* omm. *Γ* Vrat. *ι'' μ' ξ'.* — *νίκαι ΓΑ.* — 12 Inter *σταδίου* et *τῷ* in codd. mixtis et edd. *κατὰ τὴν οθ'* (*οζ'* est in *ξ*) *Ὀλυμπιάδα νικήσαντι* insertum est. — 18 *πελοπονήσου ΓΑ μ'.* — *τῷ* omm. edd.

τῇ δικαιοσύνῃ, ἧς παρούσης καὶ εἰρήνη ἐστί· πλεονεξία γὰρ καὶ ἀδικία πολέμους ποιεῖ. — 9. φύλακες. — 10. *πολυτίμητοι· — * * αἱ πολυτίμητοι, λέγω. — 11. τῆς καλῶς βουλευομένους τοὺς αὐτὴν ἔχοντας ποιούσης.

12. Th. Ὕβριν λέγει τὴν ἀδικίαν καὶ πλεονεξίαν, αἳ πλῆθος πολέμων καὶ σφαγῶν καὶ φόνων καὶ παντοίων κακῶν παρασκευάζουσι γίνεσθαι, καὶ πάντων τούτων τοῖς ἀνθρώποις εἰσὶν αἴτιαι. Ὅμηρος δὲ τὸν κόρον πατέρα τῆς ὕβρεως λέγει λέγων· τίκτει τοι κόρος ὕβριν.

1—11. M. Τρισολυμπιονίκαν] τὸν οἶκον ἐπαινῶν τοῦ Ξενοφῶντος τὸν τρὶς ἐν Ὀλυμπίᾳ νενικηκότα, τὸν πρᾶον τοῖς πολίταις, τοῖς ξένοις δὲ θεράποντα, ἀντὶ τοῦ θεραπευτήν, γνώσομαι, ἀντὶ τοῦ εἰς ἀνάμνησιν ἄξω τὴν Κόρινθον τὴν πατρίδα τοῦ Ξενοφῶντος τὴν μακαρίαν, τὸ πρόθυρον (5) τῆς Πελοποννήσου δηλονότι, τὸ λαμπροὺς ἔχον νέους, τὸ τοῦ Ἰσθμίου Ποσειδῶνος, τουτέστιν ὃ ὁ Ποσειδῶν ὁ ἐν τῷ Ἰσθμῷ τιμώμενος ἔχει κατοικητήριον δηλονότι. ἐν τᾷ γάρ, ἤγουν ἐν ταύτῃ, ἤτοι τῇ Κορίνθῳ οἰκεῖ ἡ Εὐνομία, ἤγουν ἡ κατὰ νόμους καλῶς ἐνεργουμένη διοίκησις, καὶ αἱ κασίγνηται, ἤτοι αἱ ἀδελφαὶ αὐτῆς τῆς Εὐνομίας δηλονότι, ἡ Δίκη (8) ἡ ἀσφαλής, ἀντὶ τοῦ ἡ ἀσφαλείας

---

5 Lemma ὕβριν κόρον (χρόνον ξ') est in codd. mixtis et edd. — 7 γίγνεσθαι Γ. — 8 κόρος ι'. — π. λέγει (καλεῖ ed. Boeckh.) τ. ὕβρ. λέγων codd. mixti et edd. — Locus laudatus Theognidis est, non Homeri, cui etiam in schol. vet. adscribitur. — 9 τοι om. Γ. — 10 σύνταξις μ' ξ' in marg., Boeckh in textu. — τρισολ. om. ξ'. — τρ. τὸν τρισολυμπιονίκαν οἶκον (cett. om. in spatio) ι'. — 11 λέγει post Ξεν. add. edd. ante Boeckh. — τρὶς om. ξ'. — νενικότα q. — 12 θεράποντα q. — 13 ἀνάξω edd. — 14 καμαρίαν q. — 14. 15 πελοπονήσου q v μ' ξ'. — 17 τᾷ a v et Boeckh ex Cygn., τᾷδε Vrat. μ' et cett. edd., τῇ ξ'. — ἤτοι ex a q v addidi. — 18 ἐνεργουμένη a q v, ἐνδιγουμένη Vrat. μ', ἐνδιαιτωμένη cett. — 19 αἱ κασίγνητοι a q ξ'.

ποιητική, τὸ βάθρον, ἤγουν ἡ ἀσφάλεια τῶν πόλεων, καὶ ἡ Εἰρήνη ἡ ὁμότροπος, τουτέστιν ἡ τὴν αὐτὴν αὐτῇ γνώμην ἔχουσα, ταμίαι οὖσαι, ἤγουν πάροχοι πλούτου τοῖς ἀνθρώποις, αἱ χρυσαῖ λέγω, ἀντὶ τοῦ αἱ κάλλισται θυγατέρες τῆς Θέμιδος τῆς εὐβούλου, τουτέστι τῆς δίκαια βουλευομένης.

gl. 12. ἀποσοβεῖν ἔνθα ἂν ὦσιν. — ἀδικίαν καὶ πλεονεξίαν. — τοῦ πλήθους παντοίων κακῶν. — 14. εἰπεῖν περὶ τῆς Κορίνθου. — προθυμία. — 15. ἀληθής. — διεγείρει.

12—15. *Germ.* Ἡ σύνταξις αὕτη. ἐθέλοντι δὲ καὶ ἐθέλουσιν ἀλέξειν καὶ ἀποκωλύειν καὶ ἐκφεύγειν τὴν ὕβριν τὴν θυγατέρα τοῦ κόρου, τὴν μητέρα τὴν θρασύμυθον. ἔχω καλά τε φράσαι περὶ τῶν Κορινθίων, ἡ τόλμα τε καὶ ἡ εὐτολμία ὀρνύει καὶ διεγείρει καὶ παρορμᾷ τὴν γλῶσσαν ἐμοῦ λέγειν εὐθεῖα καὶ εὐθέως. ἢ οὕτως· ἔχω καλά τε φράσαι, ἡ τόλμα τε ἡ εὐθεῖα ὀρνύει τὴν γλῶσσαν ἐμοῦ λέγειν περὶ τῶν Κορινθίων.

gl. 16. ἀμήχανον καὶ ἀδύνατον. — ἀφανίσαι. — * τὸ ἔμφυτον, ὥστε καὶ Κορίνθιοι ἀγαθοὶ ἐκ φύσεως ὄντες οὐκ ἄν ποτε μεταβληθεῖεν.

17. *Th.* Ἀλάτης ἀνήρ τις ἡγήσατο Ἡρακλείδαις τῆς πρὸς Πελοπόννησον ἐπανόδου. κατοικήσαντος οὖν ἐν Κορίνθῳ Ἀλᾶται ἀπ' αὐτοῦ οἱ Κορίνθιοι καλοῦνται.

---

1 ἡ ante ἀσφ. om. *a*. — 1. 2 καὶ (om. ἡ) εἰρήνης (om. ἡ) Vrat. μ' ξ' et edd. ante Boeckh. — 2 αὐτῇ] αὐτὴ ξ, αὐτῇ edd. ante Heyn. — ἔχουσαν *q*. — 3 ταμιεῖαι μ', ταμεῖαι ξ'. — 4 αἱ om. Vrat. — κάλλισται θυγατέραι *a*. — τῆς εὐβ. om. ξ'. — 5 τουτ.] ἤγουν *q*. — δίκῃ *q*. — 9 Post Ἡ delevi δέ. — δὲ om. Mommsen. — 10 ἀλέξειν ed. Mommsen. — 12 τ. τὲ *U*. — 13 ὀρνύει scripsi pro ὀρύνει. — 15 τὲ ἡ *U*. — 17 Glossa Thomana præfixo lemmate τὸ συγγενὲς ἦθος in codd. mixtis et edd. inter scholia legitur. — 18 ἄμποτε ξ'. — 20 ἀλλάτης *Γ*, ἀλήτης codd. mixti et edd. — τῆς] τὴν τῆς ι'. — 21 πελοπόνησον *ΓΔ* μ' ξ', πελοπονήσου Vrat. — ἐπάνοδον Vrat. — ἐν omm. edd. ante

gl. 17. τοῖς Κορινθίοις. — κατὰ πολύ. — 18. ἐκ νικῶν καὶ ἀνδραγαθιῶν. — λαμπρότητα. — 19. * παρέσχον. — ἃς ἔχετε.

20. *Th.* Αἰτιῶνταί τινες ἀσυνέτως τὸν Πίνδαρον, διότι ὑπερελθόντων εἶπε δέον ὑπερελθοῦσιν εἰπεῖν πρὸς τὸ ὑμῖν. ους αὐτὸς χαίρειν ἐάσας τὸ μὲν ὑμῖν νόει, διότι τὸ ὤπασαν δοτικῇ συντάσσεται, τὸ δὲ ὑπερελθόντων οὐ πρὸς τὴν σύνταξιν τοῦ ὤπασάν ἐστιν, ἀλλ' ἐπειδὴ αἰτία ἐστὶ τοῦ νικαφόρου ἀγλαΐαν. σχηματίζομεν δὲ τὰς αἰτίας καὶ πρὸς τὴν ὄπισθεν σύνταξιν, εἰ δοτικὴ καὶ αἰτιατική ἐστι, καὶ πρὸς γενικήν· διὰ τοῦτο καὶ νῦν οὐ πρὸς τὸ ὑμῖν, ἀλλ' ὡς αἰτία πρὸς γενικὴν ἀπεδόθη· ὥσπερ ἐστὶ τοῦτο· πολλῶν κακῶν πειραθῆναι συνέβη μοι ἁμαρτωλοῦ ὄντος.

gl. 20. ὑπερβαλλομένων τοὺς ἄλλους· — * * ὑπερελθόντων χρὴ γράφειν, οὐχ ὑπερελθοῦσιν· οὕτω γὰρ ἔχει πρὸς τὸ μέτρον ὀρθῶς. — ταῖς τῶν θεῶν πανηγύρεσιν.

12—21. *M.* Ἐθέλουσι δὲ ἀλέξειν, ἤγουν ἀποσοβεῖν, διώκειν τὴν ὕβριν, τὴν τοῦ κόρου θυγατέρα δηλονότι, τὴν μητέρα τῶν θρασέων, ἤτοι τῶν ἐπηρμένων λόγων. κόρος λέγεται κυρίως ἐπὶ τοῦ στομάχου, ὅταν ἐμπλησθῇ βρωμάτων· ἀπὸ τούτου δὲ

Heynium. — *Κόρινθον* coni. Beck. — **21. 22** *ἀλλάται Γ*, *ἀλῆται* codd. mixti, *Ἀλήτης* Bœckh, omm. cett. edd.

4 Lemma *ὤπασάν γ' ἄκραις* est in edd. Heyn., Bœckh. — **5** *ὑπελθοῦσιν* edd. ante Oxx. — **6** *ἡμῖν Γ.* — *οὓς — διότι*] *νόει δ' ὅτι* edd. ante Bœckh. — *χαίρειν* ego ex *ΓΑ* addidi. — *ἡμῖν Γ.* — **7** *ὤπασα ι'*, *ὤπασεν ξ'*. — **8** *ὤπασεν ξ*, *ἔπασαν* Vrat. — **8. 9** *ἐστὶ τὸ νικηφόρον* codd. mixti et edd. — **9** *σχηματίζωμεν Γ*, *ἐσχηματίζομεν Α.* — **10** *εἰ*] *ἢ ι'*. — *δ. καὶ αἰτ. ΓΑ*, *δ. ἢ αἰτ.* cett. — **11** *ἡμῖν Γ.* — **12** *ἐστὶ καὶ τοῦτο Γ.* — *κακῶν* ex *ΓΑ ι'* addidi. — **13** *ὄντως Γ.* — **14** Glossam Triclinianam Bœckh primus ex Mosc. B. et marg. Vrat. edidit. — **17—19** *ι9.* — *λόγων* om. *ι'* in spatio. — **17** *ἐθέλοντι* edd. ante Bœckh., *λαμβάνουσι* Vrat. — **20** *ἀπὸ τούτων* edd. ante Bœckh. — *δὲ* om. *q*.

καὶ ἐπὶ τῶν μεγάλης περιουσίας ἀπολαυόντων ἢ τιμῆς ἢ ἑτέρου τοιούτου, καθὸ λέγεται ἐνταῦθα. ὕβρις δὲ ἡ ἀδικία καὶ ἀλαζονεία καὶ ἔπαρσις κατὰ τῶν ὑποδεεστέρων, ἣν ἡ Εὐνομία καὶ ἡ Δίκη καὶ ἡ Εἰρήνη ἀποστρέφεται καὶ διώκει. ἔχω καλά τε εἰπεῖν ἐπὶ τῇ Κορίνθῳ, τόλμα δέ, τουτέστι προθυμία εὐθεῖα, ἀντὶ τοῦ δικαία, τὴν γλῶσσάν μου παρορμᾷ εἰς τὸ λέγειν. ἄμαχον δέ, ἤγουν ἀμήχανον, ἀδύνατον, κρύψαι, ἤτοι σβέσαι, ἐᾶσαι, τὸ συγγεγενημένον ἐμοὶ φυσικὸν ἦθος. ὑμῖν δέ (17), *ὦ παῖδες, ἀντὶ τοῦ ἀπόγονοι τοῦ Ἀλήτου, τουτέστιν ὦ Κορίνθιοι, πολλάκις μὲν παρέσχον αἱ Ὧραι αἱ πολυειδῆ ἄνθη προτείνουσαι λαμπρότητα νικηφόρον, ἀντὶ τοῦ νικητικήν, δι' ἐξόχων ἀνδραγαθιῶν ὑπερελθοῦσιν, ἤγουν νικήσασιν ἐν ἱεροῖς, ἤτοι θείοις ἀγῶσιν.*

gl. 21. *πολλάκις δέ.* — 22. *τῶν ἐν ὑμῖν.* — 23. *αἱ πολλὰ ἄνθη τοῖς ἀνθρώποις φέρουσαι.* — 24. *ποταπά; παλαιά.* — * *ἐστί·* — * *εἰ γὰρ καί τινες τοῖς εὑρεθεῖσι παρὰ Κορινθίων*

---

1 *τῶν*] *τῆς* q, om. *μ'*. — *οὐσίας ι'*. — 4 *ἔχω καλά τι φράσαι* (*φρᾶσαι ξ'*) ante *ἔχω* est lemma in codd. mixtis et edd. — *σύνταξις* præcedit in textu ed. Bœckh., legitur in marg. *μ'*. — *τι* om. *ι'*. — 5 *δέ* a q v, *τέ* cett. — Post *δέ* in edd. *μοι εὐθεῖα* legitur. — Post *τουτ.* libros a q v secutus delevi *καί*. — 6 *τ. γλῶτταν μου ὀρνύει ἤγουν παρορμᾷ ι'*. — 7 *ἀμ. καὶ ἀδ. ι'*. — *κρῦψαι ι'*. — *ἤγουν ι'*, *εἴ τι* q. — *σβ. καὶ ἐᾶσαι ι'*. — 8 *συγγενομένον* a ex *σύγγενόμεν* v. — Post *ἦθος* in a e paraphr. Mosch. vv. 21—33 *οὔπω πρότερον εὑρημένας* insertum legitur. — 9 *ἀντὶ τοῦ*] *αὐτοῦ* Vrat., *αὐτοῦ ξ'*. — 10 *μέν*] *δὲ* q. — 10. 11 *λαμπρότατα* q. — 11 *νικητήν ι' ξ'*. — 12 *ὑπερελθόντων* (*ἐπελθόντων* edd. ante Beck.) *ἤγουν νικησάντων* codd. mixti et edd. — *ἤγουν*] *ἀντὶ τοῦ* q. — *ἤγουν ι'*. — 13 *ἀγῶσι* a. — 16 Glossæ Thomanæ in codd. mixtis et edd. inter scholia leguntur hoc modo: *ἅπαν δ' εὑρόντος ἔργον· τοῦ εὑρόντος ἐστὶ δηλονότι. εἰ γάρ — εὑρεῖν.*

ἐπιδεδωκότες ἐξέλαμψαν. ἀλλ' οἱ καταρχὰς εὑρόντες αὐτὰ Κορίνθιοι κρείττους εἰσὶν αὐτῶν τῷ εὑρεῖν.

17—24. *Germ.* *Ὕμμι δὲ παῖδες] ὁ νοῦς· ὑμῖν δέ, ὦ παῖδες τοῦ Ἀλήτου, ἤγουν ὦ Κορίνθιοι, ὑπερελθόντων καὶ ὑπερελθοῦσι καὶ ὑπερνικήσασιν ἐν τοῖς ἱεροῖς ἀέθλοις, τουτέστι νικηταῖς γενομένοις ἐν τοῖς ἱεροῖς ἀγῶσιν, αἱ ὧραι αἱ πολυάνθεμοι, ἤτοι τὸ ἔαρ (κατὰ γὰρ τὸν καιρὸν τοῦ ἔαρος ἠγωνίζοντο — πάντα γὰρ ὁ χρόνος οἶδε χαρίζειν) πολλὰ καὶ κατὰ πολὺ ἢ πολλαχοῦ ὤπασαν καὶ παρέσχον ταῖς ἄκραις ἀρεταῖς, λέγω τὰ κατὰ τὴν νικηφόρον μὲν ἀγλαΐαν, πολλὰ δὲ ἀρχαῖα σοφίσματα ἔβαλλον ἐν ταῖς καρδίαις τῶν ἀνδρῶν· τουτέστιν, ὅτι οὐ μόνον ἐνδόξους ἐποίησαν διὰ τῆς νίκης, ἀλλὰ καὶ σοφοὺς ἐκείνους ἐποίησαν.*

23. 24. *Th.* *Τὸ Ὧραι πολυάνθεμοι καὶ πρὸς τὸ ἅπασαν ἐκληπτέον. παρέχουσι δὲ αἱ Ὧραι τὰς νίκας διὰ τὸ τὰς πανηγύρεις κατὰ περίοδον φέρειν, ἐν αἷς ἀγῶνες καὶ νῖκαι γίνονται. πῶς δὲ ἀρχαῖα σοφίσματα ἐν τοῖς Κορινθίοις ἔβαλον; ἐπειδὴ ἔν τε τῷ ἔαρι καὶ τῷ θέρει καὶ τοῖς ἄλλοις καιροῖς ἐμηχανήσαντο τὰ πρόσφορα. δέον δὲ εἰπεῖν· σοφίσματα ἔβαλον καταρχάς, ἀρχαῖα εἶπε πρὸς τὸ σοφίσματα.*

gl. 25. * *αὗται. — ἐξεφάνησαν.*

---

1 *ἐπιδεδοκότες* Vrat. ξ'. — *ἀλλ'* omm. edd. inde a Beckio. — *κατ' ἀρχάς* ι''. — 2 *ἦσαν* ι''. — 3 Ante lemma delevi *ἢ οὕτως*. — Ante *νοῦς* delevi *δέ*. — 7 *τόν*] *τοῦτον τόν* ed. Mommsen. — *οἶδεν ὁ χρόνος* ed. Mommsen. — 10. 11 *ἔβαλον* ed. Mommsen. — 14 Hoc scholium in *ΓΑ* superiori scholio Thomano subnexum est. — *τὸ δὲ ὧραι π.* *Γ*. — 15 *παρέχουσαι* ι''. — 16 *περίοδον* om. ι'' in fine versus. — *ἀγῶναι* μ'. — *νίκαι Α*. — 17 *ἔβαλλον* ξ. — 18 *ἐν* (om. *τε*) ξ. — *καὶ τῷ θέρει Γι''*, *κ. θέρει* cett. — 19 *ἔβαλλον* [ξ] edd. — 19. 20 *κατ' ἀρχάς* ι'' μ'. — 20 *ἀρχαὶ* ξ. — *τὰ σοφ.* ι'' ξ.

26. *Th.* *Βοηλάτην καλεῖ τὸν διθύραμβον, ἢ διότι τῷ κατορθώσαντι αὐτὸν βοῦς ἐδίδοτο ἆθλον, ἢ διότι διὰ βοῆς ἠλαύνετό τε καὶ ἐτελεῖτο. ὁ δὲ διθύραμβος χορὸς ἦν κυκλικὸς πρὸς τὸν Διόνυσον, ἐλέγετο δὲ ὁ διθύραμβος ἀπὸ Διονύσου τοῦ ἐκ δύο θυρῶν ἐξελθόντος, ἔκ τε τῆς μητρῴας αὐτοῦ γαστρὸς καὶ τοῦ μηροῦ τοῦ Διός. εὗρον δὲ Κορίνθιοι πρῶτον τοῦτον ἐν τοῖς Διονυσιακοῖς ὥσπερ καὶ τὸ μέτρον τοῦ κεραμεικοῦ τροχοῦ πόσον δεῖ γίνεσθαι, ὃν ἵππεια ἔντεα καλεῖ, καὶ τὰ ἐπάνω τῶν νεῶν ἀετώματα διπλᾶ.*

gl. 27. *χορῷ.* — *ἱππικοῖς.*

26. 27. *Germ.* *Αἱ χάριτες δὲ αἱ τοῦ Διονύσου πόθεν ἐξέφανεν σὺν τῷ διθυράμβῳ τῷ βοηλάτᾳ; οὐκ ἐξ ὑμῶν, ὦ Κορίνθιοι;*

gl. 28. * * *τοῖς ἅρμασι.* — 29. * *ὀρνέων.* — 30. *τὸν ἀετόν.* — *διπλοῦν.* — 31. *ἐπέθηκε] λάμβανε τοῦτο κατὰ συνεκδοχὴν καὶ πρὸς τὸ ἔντεσιν.* — *ἐν αὐτοῖς τοῖς Κορινθίοις.* — *ἡδυτάτη.* — 32. * *αὐτοῖς.* — *ἀκμάζει.* — 33. *ὀλεθρίαις τοῖς δεχομένοις.*

32. 33. *Germ.* *Ἐν δ' Ἄρης ἀνθεῖ] ἐν τίσι δὲ ἀνθεῖ ὁ*

---

1 *διότι*] *ὅτι Γ.* — Ad v. 27 *διθύραμβος λέγεται ὁ κύκλιος χορός* scholium extat in *b.* — **2** *ἐδίδετο ξ*, *ἐδίδου Γ* ante corr. — *ἄθλους ἢ ὅτι Γ.* — *διὰ βοῆς* ex *Γ* addidi. — **3** *ἠλ. ΓΔ ι'*, *ἐλ.* cett. — *ἐλ. τότε καὶ μ'.* — *ὁ δὲ θύραμβος ξ'.* — **4** *διόν. γινόμενος. ἐλ. Γ.* — *ὁ* ex *ΓΔ* addidi. — *ἀπὸ τοῦ διον.* codd. mixti et edd. — **4. 5** *τοῦ ἐκ τοῦ δύο Δ.* — **5** *ἐξελθόντας ι''.* — **6** *δὲ οἱ κορ.* codd. mixti et edd. — *τοῦτον πρῶτον Γ.* — **7. 8** *μ. τοῦ ἱππικοῦ τροχοῦ (χόρου ι''), τουτέστι (-στιν ι'') τοῦ ἅρματος, ὁπόσον δ.* codd. mixti et edd. — **8** *ἱππεῖα ι'.* — **9** *ναῶν* edd. inde a Beckio. — *διπλὰ ἐτώματα ξ*, *διπλᾶ ἀετώματα* cett. codd. mixti et edd. — **11** Ante *αἱ Χαρ.* delevi *ἢ οὕτως.* — *διονύσσου U.* — **11. 12** *ἐξέφανε U.* — **14** Ad v. 30 scholium *ἤγουν τὸ διπλοῦν ἀέτωμα τὸ ἔμπροσθεν καὶ ὄπισθεν τοῦ ναοῦ τιθέμενον* legitur in *b.*

Ἄρης ὁ ἐν ταῖς οὐλίαις αἰχμαῖς τῶν νέων ἀνδρῶν; ἐν ὑμῖν δηλονότι.

31—33. *Th.* Μοῖσ' ἁδύπνοος λέγει, ἢ ὅτι μουσικώτατοι ἦσαν Κορίνθιοι, ἢ ὅτι ἐν Κορινθίοις κάλλιστοι ποιηταὶ ἐγένοντο, ὧν εἷς ἦν Ἔσων. ἀνθεῖ δὲ ἐν αὐτοῖς ὁ Ἄρης, διότι πολεμικώτατοί εἰσι καὶ ἐν τῷ Περσικῷ πολέμῳ κάλλιστα ἐξέλαμψαν.

21—33. *M.* Πολλάκις δὲ ἔβαλον ὑμῖν αἱ Ὧραι ἐν καρδίαις ἀνδρῶν, τουτέστι πολλάκις δὲ ἔβαλον αἱ Ὧραι ἐν καρδίαις ἀνδρῶν ὑμετέρων σοφίσματα ἀρχαῖα, ἤγουν ἐπινοίας τεχνῶν πρῶτον εὑρημένας, οὔπω πρότερον εὑρημένας. ἅπαν δ' εὑρόντος ἔργον, τουτέστιν ἅπασα δὲ ἐργασία τεχνικὴ τοῦ εὑρόντος αὐτὴν τὴν ἀρχήν, ἤτοι τοῦ ἐφευρόντος ἐστίν. αἱ Χάριτες (25) τοῦ Διονύσου, ἤγουν αἱ ἑορταὶ αἱ τὸ ἐπαγωγὸν ἔχουσαι, αἱ παρὰ τοῖς Κορινθίοις ὑμῖν τελούμεναι δηλονότι, σὺν ὕμνῳ διθυράμβῳ βοηλάτῃ, τουτέστι χάριν βοὸς ᾀδομένῳ, πόθεν ἄλλοθεν, ἢ παρ' ὑμῶν δηλονότι, ἐξέφανεν, ἤγουν ἐλαμπρύνθησαν; τίς δὲ ἄλλος ἔθηκεν, ἀντὶ τοῦ ἐπενόησε συμμετρίας ἐν κατασκευάσμασιν ἱππείοις, ἀντὶ τοῦ πολεμικοῖς· ἤγουν τίς δὲ ἄλλος ἐπενόησε τὴν ἐν τοῖς ὅπλοις συμμετρίαν; ἢ (29) τίς ἄλλος ἐπενόησεν ἐν τοῖς ναοῖς τῶν θεῶν τὸν βασιλέα τῶν ὀρνέων τὸν διπλοῦν, ἤγουν τὸν διπλοῦν ἀετόν, τουτέστι τὸ λεγόμενον ἀέτωμα; ἐν τούτοις δέ,

---

2 δῆλον *U.* — 3 Lemma omm. *ΓΔ*, μοῖσα ἡδύπν. *ι''*. — τοῦτο λέγει codd. mixti et edd. — 4 οἱ κορ. *ι''*. — ἤγουν ὅτι edd. — ἐν Κορίνθῳ edd. inde a Beck. — ποιηταί om. *Δ*. — 5 Αἴσων edd., recte. — 7 Lemma Πολλὰ δ' ἐν καρδίαις est in codd. mixtis et edd. — σύνταξις margo *μ' ξ'*. — 8 Quæ post ἀνδρῶν leguntur, om. *ι''* in spatio. — ἔβαλλον edd. ante Boeckh. — 9 ἡμετ. *μ'*. — 10 οὔπω πρ. εὑρ. om. *q* (habet *v*), in *α*, cum probabiliter in marg. codicis archetypi legerentur, casu post ἦθος (p. 389, 8) delata sunt. — 11 δ' ἐργ. [*μ'*] edd. — 13 ἤγ. αἱορταί *q*. — 15 βουλάτῃ *α*. — χάρις Vrat. — 16 ἐξέφαναν *q v* Vrat. *ξ'* et edd. ante Boeckh. — 18 ἱππείαις *ξ'*. — δ' ἄλλος *ξ'*. — 19 τίς ἄλλως *α*. — 20 ν. τὸν θεὸν *αq*. — 20. 21 ἤγ. τ. διπλοῦν om. *q*. — 21 τὸν λεγ. *q*.

τουτέστι τοῖς Κορινθίοις ἀνθεῖ, ἀντὶ τοῦ ἀκμάζει, περιφανής ἐστι, δύναμις ποιητικὴ ἡδύπνους, ἤγουν ἡδυμελής, τερπνὰ προτείνουσα μέλη· ἐν τούτοις δὲ ἀνθεῖ Ἄρης, τουτέστι πολεμικὴ ἐμπειρία νέων ἀνδρῶν, ἐν αἰχμαῖς, ἀντὶ τοῦ ἐν μάχαις ὀλεθρίαις.

gl. 34. *θεῶν ὑπέρτατε. — μέγα.*

35. *Germ. Φθόνος καὶ νέμεσις οὐ διαφέρουσιν. φθόνος ἡ νέμεσις, νέμεσις ὁ μερισμός. ἀφθόνητος οὖν ὁ μὴ φθόνον καὶ μερισμὸν καὶ διχασμὸν ἐμποιῶν ταῖς φήμαις αὐτῶν.*

gl. 35. *ἤγουν μὴ νεμεσήσῃς τοῖς αὐτῶν ἐπαίνοις, ἀλλὰ νίκης αἴτιος γενοῦ, ἵνα καὶ τούτων τυγχάνοιεν ἀεί. — 36. * κατά. — * * ὦ. — 37. τὸν τῶν Κορινθίων. — ἀδυστύχητον. — διεξάγων. — 38. ἐξόρθου, κατευόδου τῆς τύχης τὴν εὐθυδρομίαν.*

37. 38. *Germ. Ὁ νοῦς· καὶ ὁ νέμων καὶ διοικῶν τόνδε καὶ τοῦτον τὸν λαὸν τὸν ἀβλαβῆ, εὔθυνε τὸν οὖρον καὶ τὴν εὐτυχίαν καὶ τὴν εὐδαιμονίαν ἢ τὴν εὐθυτάτην κίνησιν τοῦ Ξενοφῶντος δαίμονος, τὸν ὑπάρχοντα ἀπὸ τοῦ δαίμονος καὶ τῆς τυχῆς, ἤγουν ἀπὸ τῶν Μοιρῶν. ἢ οὕτω. καὶ νέμων καὶ φυλάττων τόνδε τὸν λαὸν ἀβλαβῆ, εὔθυνε τὴν εὐτυχίαν τοῦ Ξενοφῶντος τὴν ἀπὸ τοῦ δαίμονος οὖσαν οὔριον καὶ εὐδιεινήν.*

gl. 39. ** ἐγκωμιαστικὸν νόμον. — 40. τὸν ὕμνον· εἰ γὰρ ἡ Ὀλυμπία αἰτία τῆς νίκης, καὶ τῶν ὕμνων ἄρα αἰτία. —*

---

1 *τουτέστι*] *ἤγουν* q ξ'. — *ἐν τοῖς κορ.* q. — 2 *ἤγουν* omm. q et edd. ante Boeckh. — 4 *ἐμπειριμνέων* Vrat. — 5 *ἀλοτρίαις* ξ. — 7 Ad totum scholium hæc annotavit Mommsen: «Hæc aut subabsurda aut mutila sunt». — *οὐ* ego addidi. — 8 *οὖν* ego addidi et post *μερισμός* punctum posui. — 14 Post Ὁ delevi *δέ*. — *καὶ ὁ δ.* Mommseni ed. — 17 *δαίμονος* Mommsen addidit. — 18 *Μοιρ* periit in *U*, addidit Mommsen cum dubitationis signo. — *οὕτως* *U*. — 20 *ο. σαν* *U* perforata charta. — *οὖρον* *U*, *οὐρίαν* coni. Mommsen. — *εὐδιαινήν* Mommseni ed.

41. *ὁμοῦ, ἤγουν ἐν μιᾷ ἡμέρᾳ.* — **43.** *ἐπέτυχεν ἐν ταὐτῷ.* — *πεντάθλου καὶ δρόμου.*

34—44. M. *Ὦ Ζεῦ πάτερ ἔξοχε, εὐρύ, ἀντὶ τοῦ μεγάλως, κραταιῶς ἀνάσσων τῆς Ὀλυμπίας, γενοῦ κατὰ πάντα τὸν χρόνον ἀφθόνητος, ἀντὶ τοῦ οὐκ ἐῶν ἐπιτίθεσθαι φθόνον τοῖς ἔπεσι τούτοις τοῖς ἐπ' αὐτοῖς, τουτέστι τοῖς ὕμνοις. ἐπίφθονον τὸ ἔχον φθόνον, ἤγουν τὸ φθονούμενον· ἄφθονον τὸ χωρὶς φθόνου γινόμενον ἢ διδόμενον, οἷον ἄφθονος χάρις ἡ χωρὶς φθόνου διδομένη, καὶ ἄφθονος πρᾶξις ἡ χωρὶς φθόνου πραττομένη· ἀφ' οὗ ἄφθονος πλοῦτος ὁ πολύς, καὶ ἄφθονον πλῆθος ὁμοίως ἀντὶ τοῦ πολύ. ἀφθόνητος δὲ ὁ μὴ φθονούμενος· ἐνταῦθα δὲ τὸ ἀφθόνητος ἐπὶ ἐνεργείας κεῖται. καὶ τόνδε (37) τὸν λαὸν τοῦ Ξενοφῶντος νέμων, ἤγουν διοικῶν, ἀβλαβῆ, ἐπιῤῥηματικῶς ἀντὶ τοῦ ἐν ἀσφαλείᾳ, ἐν εὐτυχίᾳ, εὔθυνε, ἤγουν εὐόδου, τοῦ δαίμονος αὐτοῦ δηλονότι, ἤγουν τοῦ θεοῦ τοῦ διοικοῦντος αὐτῷ τὸν βίον, τὸν οὖρον, τουτέστι τὸν οὔριον ἄνεμον, μεταφορικῶς ἀπὸ τῶν νεῶν, ἀντὶ τοῦ τὴν εὐτυχίαν. οὖρος γὰρ ποιητικῶς ὁ ἀπὸ τῆς οὐρᾶς ἤτοι τῆς πρύμνης τῆς νεὼς ἐπιτήδειος ἄνεμος, ὃν οὔριον οἱ πεζογράφοι φασίν, ἀφ' οὗ καὶ τὸ Ἐξ οὐρίας πλεῖν. ἀπόδεξαι δὲ τὸν νόμον τὸν ἐγκώμιον, ἀντὶ τοῦ τὸν*

---

3 *ὕπατ' εὐρύ* est lemma in *ι''*, *ὕπατ' εὐρὺ ἀνάσσων* in cett. codd. mixtis et edd. — *σύνταξις* margo *μ' ξ'*. — **6** *ἔπισι* a, *ἔπεσαι* *ξ'*. — **6. 7** *ἐπίφθον δὲ ἔχον ι''*. — **7** *ἤγουν a q ι'' ξ'* et Mosch. Syll. s. l. *φ*, *ἤτοι* cett. — *ἤγ. τὸ φθ.* om. *v*. — **8** *ἤγουν a q*, *ἢ* cett. (etiam *v*) et Syll. — *διδόμενον ἢ γενόμενον ι''* et *διδ. ἢ γιν.* est in Syll. — *χάρις ἡ* om. *a*. — **9** *διδομένη a q v ι''* et Syll., *γινομένη* Vrat. *μ' ξ'*. *γενομένη* edd. — **11** *τοῦ κατα πολύ ι''*. — *ἀφόνητος μ'*. — **12** Quae post *καὶ τόνδε* leguntur, desiderantur in *ι''*. — **14** *εὐτ. δὲ εὐθ. ξ'*. — **15** *δηλονότι* ex *a q v* addidi. — **17** *τὴν a v ξ'*, *τουτέστιν q*, omm. cett. — De voce *οὖρος* cf. Mosch. Syll. s. v. *οὐρά*. — *οἶρος μ'*. — **19** *οἱ* ex *a q ξ'* addidi. — **19. 20** *ἐξουρίας μ' ξ'*. — **20** *πλειν* (sic) Vrat. — Ante *ἀπόδεξαι* lemma *δέξαι δέ οἱ στεφάνων* est in codd. mixtis et edd. — *σύνταξις* margo *μ' ξ'*. — *τὸν* post *τοῦ* om. *ξ'*.

ἐγκωμιαστικὸν τῶν στεφάνων αὐτοῦ, ὃν ἐπάγεται ἀπὸ τῶν χωρίων τῆς Πίσης (41) νικῶν, ἀντὶ τοῦ νικήσας, τὸν δρόμον τοῦ σταδίου, ἤγουν τὸ στάδιον, ἅμα τῷ πεντάθλῳ. ἐλέγετο δὲ στάδιον μὲν ὁ τόπος, ἐν ᾧ ἔτρεχον· ἦν δέ, φασί, διαστήματος πήχεων τριακοσίων· πένταθλον δέ, ὃ εἶχεν ἐν ἑνὶ χρόνῳ τὰ πέντε ταῦτα, πυγμήν, πάλην, δίαλμα, δίσκον καὶ δρόμον. οὐκ ἐπέτυχεν οὐδαμῶς πρότερόν τις ἀνὴρ θνητὸς τούτων, ἀντὶ τοῦ τούτου τοῦ πράγματος, τουτέστι τοῦ νικῆσαι ἐν μιᾷ ἡμέρᾳ ταύτας τὰς δύο νίκας.

gl. 45. * † ἐστεφάνωσαν. — πλόκαμοι· ἐνταῦθα γὰρ σέλινα ἐδίδοτο ἆθλα. — 46. * † ἐν τῷ Ἰσθμιακῷ ἀγῶνι. — 47. ἐκλάμψαντα. — * τά. — ἤγουν ὁ τῶν Νεμέων ἀγὼν οὐκ ἐναντιοῦται αὐτῷ· ἐνίκησε γὰρ καὶ τοῦτον. — 48. * αὐτοῦ. — * * οὕτως ἐκαλεῖτο. — * † ἤγουν ἐν τῇ Ὀλυμπίᾳ. — 49. λαμπρότης. — ἐκ δρόμου νίκης. — 50. * ἐν τῇ. — 51. * * καί. — * ἤγουν ἐν μιᾷ ἡμέρᾳ. — 52. * * καί. — * * ταῖς λεπτογυίοις· τοιαύτη γὰρ ἡ Ἀττική. — 53. ἤγουν ἐν Παναθηναίοις. — δίαυλον, ὁπλιτικὸν δρόμον καὶ στάδιον. — 54. ἡ ταχεῖα· ἤγουν τρία ἔργα κατορθώσας ἐστεφανώθη.

51—55. *Germ.* Μηνός τέ οἱ] μετὰ τοῦ μηνός τε τοῦ αὐτοῦ τρία ἔργα κάλλιστα ἡ ποδαρκὴς ἡμέρα ἐν ταῖς κρανααῖς

---

2 *δύο* post *νικήσας* addunt codd. mixti et edd. — *τὸν* (sic) *δρόμον* (ρ supra τὸν) add. m. 1. in marg. Vrat. — 3 *πεντάθλῳ μ'*. — 3. 4 Verba *ἐλέγετο δὲ στάδιον μὲν ὁ τόπος* in Vrat. ante *τοῦ σταδίου* leguntur; in eodem *γ.* (sic) ante *ἐν ᾧ* scriptum extat. — 4 *ὁ τρόπος ξ'*. — *φασὶν q*. — *φ. πήχεων τριακοσίων (διακοσίων* cod. Gott.) *διάστημα* codd. mixti, Syll. s. v. *στάδιον* et edd. — 5 *τριακ.*] *τ̄ a*. — *ἐν* omm. *a* et Syll. s. v. *πένταθλον*. — *ἑνὶ a*. — *δρόμῳ a q v μ'* Syll. et edd. ante Beckium. — *π. ἆθλα ταῦτα* Syll. — *στι* (χ supra) post *ταῦτα* est in Vrat., supra *ταῦτα* in *μ'*, *στίχος* margo *ξ'*. — 6 *πάλιν* Vrat. *ξ'*. — *ἀπέτυχεν q*. — 8 *τοῦ* post *τουτ.* om. *μ'*. — 20 *μηνός τέ οἱ μ. τ. μηνός τέ U* et Mommseni ed.

Ἀθάναις (λέγει δὲ ἔργα κάλλιστα τοὺς στεφάνους) θῆκε καὶ ἔθηκεν ἀμφὶ ταῖς κόμαις αὐτοῦ.

gl. 56. * † ἑορτὴ Ἀθηνᾶς ἐν Κορίνθῳ. — ἔργα ἀνέθηκεν αὐτῷ κάλλιστα.

56. Th. Ἑλλώτια ἑορτὴ Ἀθηνᾶς ἐν Κορίνθῳ. Δωριεῖς μετὰ Ἡρακλειδῶν ἐπιθέμενοι Κορινθίοις καὶ Κόρινθον χειρωσάμενοι ταύτην φλογὶ ἔκαιον. φυγοῦσαι οὖν αἱ Κορίνθιαι παρθένοι εἰς τὸν τῆς Ἀθηνᾶς βωμόν, ὅπως σωθεῖεν, αἰσθομένων Δωριέων καὶ πῦρ ἐμβαλόντων εἰς τὸν ναόν, αἱ μὲν ἄλλαι τῶν παρθένων ἔφυγον, Ἑλλωτιώνη δὲ μετὰ τῆς ἀδελφῆς Εὐρυτιώνης κατεφλέχθη. λοιμοῦ δὲ ὕστερον γενομένου ἔχρησεν Ἀθηνᾶ, μὴ πρότερον παύσασθαι τὸν λοιμόν, πρὶν τὰς τῶν κατακαεισῶν παρθένων ψυχὰς ἐξιλεώσασθαι καὶ ἱερὸν Ἀθηνᾶς Ἑλλωτίας ἱδρύσασθαι· ὃ δὴ καὶ γεγένηται. ἕτεροι δέ φασι διὰ τὸ ἑλεῖν τὸν Πήγασον ἐν χαλινῷ ὑπ᾽ Ἀθηνᾶς δοθέντι Βελλεροφόντῃ πανήγυριν καὶ ἱερὸν Ἑλλωτίας Ἀθηνᾶς ὑπ᾽ αὐτοῦ γεγενῆσθαι, ἢ τοῦτο τὸ ὄνομα ἐσχηκέναι τὴν πανήγυριν καὶ τὸν ναὸν ἀπὸ τοῦ ἐν Μαραθῶνι ἕλους. ἔστι γὰρ ἐκεῖ ἄγαλμα Ἀθηνᾶς Ἑλλωτίας.

1 κάλλιστα ἔργα Mommseni ed. — 5 Ἑλλώτια ἑορτή tantum legitur in Γ, cetera desunt in spatio; in marg. «ἐλλώτια vocabular...» adscriptum est. — Lemma ἱστορία, ὅπως ἑλλώτια (ἐλλώτια ξ) ἡ ἀθηνᾶ (ἀθηνά ξ) est in μ' ξ, ἱστορία in edd. — ἐλλώτια ξ. — ἀθηνά μ'. — 7 κορίνθιοι Vrat. μ' et edd. ante Beck. — 8 βωμόν] ναόν Heyne (tacite), Boeckh. — ἵνα σ. Δ. — 9 δωρίων Γ. — 9. 10 τ. παρθ.] παρθένοι Γ. — 10 ἑλλωτιώνη Δ cum schol. vet., ἑλλωτιὸ Γ, ἑλλωτία ξ, ἑλλωτία cett. — 10. 11 εὐρυτιώνης Γ, Εὐρυτιανῆς edd. ante Heyn. — 12 τὸν λ. παύσ. ξ. — παύσεσθαι edd. inde a Beckio, non necessario. — πρὶν ἂν τ. τ. Δ. — κατακειαῶν Δ, κατακλεισῶν ξ. — 13 ἐξιλεώσονται codd. mixti, ἐξιλεάσωνται edd. ante Heynium, ἐξιλάσωνται Heyne, Boeckh. — ἑλωτίας Γ. — 14 ἱδρύσωνται codd. mixti et edd. — 15 πήγασσον Δ. — τῷ ante Βελλ. add. edd. inde a Beckio. — βελλεροφόντι ξ et ed. Ro. — 16 ἑλλωτίας ξ. — 18 ἑλλωτίας Γξ.

45—56. *M.* *Δύο δὲ στέφανοι ἀπὸ σελίνων πεπλεγμένοι ἐστεφάνωσαν αὐτὸν φανέντα, ἤγουν παῤῥησιασάμενον, ἀγωνισάμενον ἐν Ἰσθμιάσιν, ἀντὶ τοῦ ἐν τῷ ἀγῶνι τῷ ἐν Ἰσθμῷ. σημείωσαι, ὅτι οὐ μόνον πίτυς ἐδίδοτο ἐν τῷ Ἰσθμῷ, ἀλλὰ καὶ σελίνου στέφανος, ὥσπερ ἐν τῇ Νεμέᾳ· πλὴν ἐν μὲν τῷ Ἰσθμῷ ἀπὸ ξηρῶν σελίνων, φασίν, ἐπλέκετο ὁ στέφανος, ἐν δὲ τῇ Νεμέᾳ ἀπὸ χλωρῶν. καὶ τὰ Νέμεα οὐκ ἀντιξοεῖ, ἤγουν οὐκ ἀντίκειται τούτῳ τῷ Ξενοφῶντι· νενίκηκε γὰρ καὶ ἐν αὐτοῖς. τοῦ πατρὸς δὲ* (48) *αὐτοῦ τοῦ Ξενοφῶντος, τοῦ Θεσσαλοῦ, φήμη λαμπρὰ τῆς ἀρετῆς τῶν ποδῶν ἀνάκειται, ἀντὶ τοῦ ἐπικρατεῖ, παραμένει ἐπὶ τοῖς ῥεύμασι τοῦ Ἀλφειοῦ, ἤγουν ἐν τῇ Ὀλυμπίᾳ (Θεσσαλὸς ὁ ἀπὸ Θεσσαλίας· ἐνταῦθα δὲ ὄνομα κύριον ὁ Θεσσαλός)· ἐν τῇ Πυθοῖ τε ἔσχεν, ὁ Θεσσαλὸς δηλονότι, κλέος νίκης σταδίου καὶ διαύλου ἡλίῳ ἀμφ' ἑνί, ἀντὶ τοῦ ἐπὶ μιᾷ ἡμέρᾳ, καὶ ἐν τῇ Ἀττικῇ* (53) *τῇ τραχείᾳ ἐπὶ τοῦ αὐτοῦ μηνὸς ἡ ἡμέρα ἡ τοῖς δρόμοις διαρκοῦσα, ἤγουν ἡ ἱκανῶς τοῖς δρόμοις ἀνατεθειμένη, τρία ἔργα κάλλιστα, ἀντὶ τοῦ τριῶν ἔργων καλλίστων στεφάνους ἔθηκεν ἐπὶ τῇ*

1—7 *Νέμεα* om. *ι'* in spatio. — **1** Lemma *δύο δ' αὐτὸν ἔρεψαν* est in codd. mixtis et edd. — *σύνταξις* margo *μ' ξ'*. — *δέ* om. *q*. — **2** *ἐστεφάνησαν a*. — **2. 3** *ἀγωνισάμενον ἀγωνισάμον* (sic) *ἐν a*. — **3** *Ἰσθμιάδεσσιν* edd. — *τῷ* ante *ἀγ.* omm. *v ξ'*. — *ἐν ἰσθμῷ a v* Vrat. *μ'*, *ἰσθμῷ q ξ'*, *ἐν Ἰσθμοῖ* ed. Ox., *Ἰσθμοῖ* cett. edd. — **3. 4** *σημ.* — *Ἰσθμῷ* om. *ξ'* in spatio. — *σημείωσαι περὶ τῶν ἐκ σελίνου στεφάνων* margo *μ' ξ'*. — **5** *τῷ Ἰσθμῷ*] *τῇ νεμέᾳ q*. — **6** *ὁ* om. *v*. — **8** *καὶ* excidit apud Heynium (in fine versus) et Bœckhium. — **9** *τοῦ* ante *Ξεν.* om. *q*. — *φημὶ ι'*, om. *μ'*. — **11. 12** *ὁ ἀπὸ Θεσσ.* om. *ι'*. — **12** *δέ* om. *q*. — **13** *τε*] *δέ v*. — *κλέος* om. *μ'*. — **14** *ἡλίου v*. — *ἀμφ' ἐνί q v*, *ἀμφενί a ἀμφὶ ἑνὶ* cett. — *ἐν μ, a q, ἐπὶ μ* cett. (etiam *v w*). — **14. 15** *τῇ τραχ.*] *τετραχείᾳ ξ'*. — **15** et **16** «Post *ἐπὶ τοῦ αὐτοῦ μηνὸς* male Call. (non Br.) plene interpungit. sed æque male Ox. habet *ἡμέρᾳ*. Mox pro *ἀνατεθειμένη*, quod Ox. nescio unde habet, ex Call. Br. reposui *ἀνατιθεμένη*.» *Beck*, sed recte Heyne et Bœckh *ἀνατεθειμ.*, quæ codicum scriptura est, reduxerunt. — *ἡ* ante *ἡμ.* ex *a q v ι'* addidi. — *ἡ*] *ἐν μ'*. — **16** *ἡ* ante *ἱκ.* om. Vrat. — **17. 1** *ἐπὶ τῆς κεφαλῆς ι'*.

κεφαλῇ αὐτοῦ· τὰ Ἑλλώτια δέ (ἑορτὴ δὲ ἦν αὕτη τῆς Ἀθηνᾶς ἐν τῇ Κορίνθῳ) ἑπτάκις ἔθηκαν δηλονότι στέφανον ἐπὶ ταῖς κόμαις αὐτοῦ.

gl. 57. *ἤτοι τῷ Ἰσθμῷ, παρ' ᾧ τελεῖται Ποσειδῶνος πανήγυρις ἐξ ἀρχῆς νενομοθετημένη.* — + *Ποσειδῶνος.* — 58. *οὗτος πατὴρ Θεσσαλοῦ.* — * * *αὐτοῦ.* — *πλείονες ὧν ἔφην.* — 59. * *ἠκολούθησαν αὐτῷ, τῷ Θεσσαλῷ. ἔστι δὲ τὸ ἕψονται ἀντιχρονισμός, ἢ τὸ μέλλον μαντευόμενος λέγει. τούτου δὲ ὄντος ζῶντα νοήσεις τὸν Πτοιόδωρον.* — *ἄγαν τίμιαι.* — 60. *εὐφημίαι.*

56—60. *Germ.* *Ὁ νοῦς. ἐν δὲ τοῖς τεθμοῖσι τοῖς ἀμφιάλοις· οὗτοι γὰρ τοῦ Ποσειδῶνος νόμιμοι ἀγῶνες· σὺν τῷ Πτοιοδώρῳ πατρὶ αἱ τέρψιες αἱ ἀοιδαί τε αἱ ἐρίτιμοι μακρότεραι ἕψονται καὶ γενήσονται. ἢ οὕτως· ἐν δὲ τοῖς ἀμφιάλοις τεθμοῖς τοῦ Ποσειδῶνος αἱ ἀοιδαὶ αἱ τέρψεις καὶ αἱ τοῦ Τέρψιος, αἱ ἐρίτιμοι καὶ αἱ τοῦ Ἐριτίμου σὺν τῷ πατρὶ τῷ Πτοιοδώρῳ μακρότεραι ἕψονται.*

gl. 60. *πολλά.* — 61. *ἐν τοῖς Πυθίοις.* — *Ξενοφῶν, Θεσσαλέ, Πτοιόδωρε.* — 62. *ἤτοι τῇ Νεμέᾳ, ἔνθα Ἡρακλῆς ἀνεῖλε τὸν λέοντα.*

56—62. M. *Ἐν δὲ τοῖς ἀγῶσι τοῖς κατὰ νόμους τελουμένοις τοῖς ἀμφιάλοις, ἤγουν τοῖς ἐν τῷ τόπῳ τῷ ἀμφοτέρωθεν*

---

1 *τὰ* om. *ι'*. — *ἑλλώτια* *α*. — 1. 2 *ἑορτὴ* — *Κορίνθῳ* om. *ι'*. — *ἑορτὴ δὲ ἦν αὕτη* bis legitur in *μ'*. — 7 Glossa Thomana *ἕψονται* (*ἕψωνται* *ξ'*) ἤγουν *ἠκολ.* — *Πτ.* in codd. mixtis et edd. inter scholia legitur. — Quæ post lemma leguntur, om. *ι'* in spatio. — *ἕψοντι* *Λ*, quid in *Γ* exstet, discerni vix potest, *ἕψωνται* *ξ'*. — 8 *τούτω* *Λ*. — 9 *νοήσειε* Vrat. — *πτοιόδορον* *μ'*, *πτοιάδορον* *ξ'*. — 11 Ante *νοῦς* delevi *δέ*. — 11. 12 Post *ἀμφ.* fort. *ἐν τοῖς Ἰσθμικοῖς ἀγῶσιν* e schol. vet. addendum est. — 13 *ἀοιδαὶ τέ* *U*. — 21 Lemma *ἐν δ' ἀμφιάλοισιν* est in codd. mixtis et edd. — Totum schol. om. *ι'* in spatio. — 22 *τοῖς τὸ ἀμφ.* *ξ'*.

θάλατταν ἔχοντι, τουτέστι τοῖς ἐν τῷ Ἰσθμῷ, ὧν ἔφορος ὁ Ποσειδῶν, μακρότεραι, ἀντὶ τοῦ μείζονες τέρψεις (59) καὶ κατὰ πολὺ τίμιοι ὕμνοι ἕψονται, ἀντὶ τοῦ ἕπονται, ἤγουν ἀκολουθοῦσιν αὐτῷ δηλονότι σὺν τῷ πατρὶ αὐτοῦ τῷ Πτοιοδώρῳ. εἶτα ἀποτείνων τὸν λόγον πρὸς αὐτούς φησι· καὶ ἐν τοῖς Δελφοῖς βαβαὶ τῶν ἀνδραγαθημάτων ὅσα ἠνδραγαθήσατε· καὶ ἐν τοῖς χόρτοις τοῦ λέοντος, ἤγουν καὶ ἐν τῷ περιορίσματι, τῷ τόπῳ ἔνθα ὁ λέων ἐτράφη ὁ ὑπὸ τοῦ Ἡρακλέος ἀναιρεθείς, τουτέστι καὶ ἐν τῇ Νεμέᾳ (ἐν αὐτῇ γὰρ ἐτράφη οὗτος ὁ λέων) βαβαὶ δηλονότι τῶν ἀνδραγαθημάτων ὅσα ἠνδραγαθήσατε.

gl. 63. φιλονεικήσω. — πλείστοις ἀνθρώποις. — 64. * ἕνεκα πλήθους. — * ὅσον μέν. — * κατὰ τό. — 65. † ἤγουν οὐκ ἂν εἰδείην ὥστε λέγειν τὸν ἀριθμὸν τῶν ὑμετέρων ἀδραγαθημάτων. — 66. θαλασσίων. — * ψάμμων· — * * τῶν τῆς ἄμμου λιθιδίων. — * πληθύν. — 67. * ὀφείλεται. — * † ἀκολουθεῖ. — πράγματι. — συμμετρία. — * ἐνθυμηθῆναι· — * * ταύτην τὴν συμμετρίαν. — 68. * πρεπωδέστατος.

63—68. Th. Δηρίομαι πολλέσι] τοῦτο λέγει ἀντὶ τοῦ ἐρίσω πρὸς τοὺς πολλοὺς περὶ τοῦ πλήθους τῶν ὑμετέρων ἀνδραγαθημάτων, καὶ οὐδένα τῶν πάντων τοσαῦτα κατωρθωκότα εὑρήσω· ἐπεὶ δὲ πλήθει ἀορίστως εἶπε, διὰ τοῦτό φησιν· Ὡς μὲν σαφές,

---

1 θάλασσαν v et edd. — ὁ omm. Vrat. μ' ξ' et edd. ante Oxx. — 2. 3 κατὰ πολύ ξ', καταπολύ cett. — 3 ὕμνοις v. — 5 ἕψονται q. — 7 ἀποτείνω Vrat. — 5—9 καὶ ἐν — Νεμέᾳ add. m. 1 (?) in marg. inf. libri qv. — 6 ἠνδραγαθήσατο Vrat. — 8 ὁ ante ὑπό om. q. — ἡρακλέος a q v, ἡρακλέους cett. — 9. 10 ἐν αὐτῇ — ἠνδραγ. om. q. — Ad v. 60 ὑμεῖς οἱ τρεῖς δηλονότι, σὺ ὁ Ξενοφῶν, καὶ ὁ πατήρ σου ὁ Θεσσαλός, καὶ ὁ πάππος σου Πτοιόδωρος adscripsit glossator in b. — 18 Hoc scholium om. A. — Τὸ δηρ. codd. mixti et edd. — πολλέσι Γ Vrat. μ' ξ' et edd. ante Beck., πολέσι cett. — ἐρέσω Vrat. — 20 κατορθ. Γ' μ' ξ'. — 21 φασιν ξ'. — ὡσμὴν Vrat., ὡς μὴν cett. codd. mixti et edd.

ἤγουν πόσα εἰσὶ ταῦτα τῇ ἀληθείᾳ, οὐ δύναμαι λέγειν τὸν ἀριθμὸν τῆς ψάμμου· ὥστε ὥσπερ τοῦτο ἀδύνατον, οὕτω καὶ τὸ ταῦτα ἀπαριθμήσασθαι. διὸ δὲ τὸ ἄμετρον πλῆθος παραιτούμενος ὡς ἀδύνατον, τὴν συμμετρίαν αἱρεῖται καί φησιν· ἕπεται δ' ἐν ἑκάστῳ μέτρον, τουτέστι πᾶν πρᾶγμα συμμετρίαν ἔχει, ὃ δὴ καὶ ποιήσω σύμμετρα ἐκλεξάμενος.

M. Δηρίομαι, ἤγουν μάχομαι, φορτικὸς γίνομαι πολλοῖς ἀνθρώποις δηλονότι περὶ τοῦ πλήθους τῶν ἀνδραγαθημάτων τῶν ὑμετέρων· κατὰ πολὺ μέντοι ἀκριβῶς οὐκ ἂν εἰδείην ὥστε λέγειν τὸν ἀριθμὸν τῶν ψηφίδων τῶν παραθαλασσίων, ἤγουν τῆς ψάμμου, ἀντὶ τοῦ κατὰ πολὺ μέντοι ἀκριβῶς οὐκ ἂν εἰδείην τὸν ἀριθμὸν αὐτῶν λέγειν, ἤγουν τῶν ὑμετέρων ἀνδραγαθημάτων, ὥσπερ οὐδὲ τὸν ἀριθμὸν τῶν ψηφίδων τῶν παραθαλασσίων. ἕπεται δέ, ἀντὶ τοῦ προσήκει ἐπάγεσθαι ἑκάστῳ πράγματι μέτρον, ἤγουν συμμετρίαν. τὸ νοῆσαι δὲ αὐτό, ἤγουν τὸ μέτρον, καιρός ἐστιν ἄριστος, τουτέστιν εὐκαιρία, εὐστοχία ἐστὶν ἀρίστη.

gl. 69. μόνος. — * οἴκοθεν καὶ ἀφ' ἑαυτοῦ· — * * οἴκοθεν. — τῶν Κορινθίων. — * ὁρμηθείς· — * * κινηθείς. — 70. * σύνεσιν. — * λέξων· — βοῶν, ὑμνῶν. — * ἀρχαίων· — τῶν πάλαι Κορινθίων προγόνων. — 71. * τὸ κατὰ πόλεμον κράτος. — * * καί. — ἡρωϊκαῖς, μεγάλαις. — * ἀνδραγαθίαις. — 72. * ψευδηγορήσω. — * λέγων. — περί. — ὃς ἐκ Κορίνθου ἦν. — 73. συνετώτατον γαμβρῶν. — μηχαναῖς· — * βουλαῖς. — 74. θεῶν γὰρ τὸ μηχανᾶσθαι ἐν ἀμηχάνοις ὥσπερ ἐκεῖνος. — * * τοῦ Αἰήτου.

---

1 ἤγουν Γ, τουτέστι cett. — εἰσὶ Γ, ἐστί cett. — 2 ψάμμον Γ, ἄμμου cett. — 2. 3 καὶ τοιαῦτα Vrat. — 3 ἐπαριθμ. ξ. — δὲ ex Γ addidi. — 4 καί φησιν om. Γ. — 5 δ' Γ, δὲ cett. — μέτρῳ Γ. — 9 κατὰ πολύ ξ, καταπολύ cett. — 11 ἀντὶ] αὐτὸ Vrat. — κατὰ πολὺ ξ, καταπολύ cett. — 10—13 ἤγουν — παραθ. om. q. — 11—13 ἀντὶ τοῦ — παραθ. bis scripta sunt in α, qui omm. cetera scholia omnia. — 15 συμμετρία υ Vrat. μ' ξ.

75. *Th.* Διατί ἐμνημόνευσε τῆς Μηδείας Κολχίδος οὔσης; καί φαμεν, ὅτι ἡ Κόρινθος πρῶτον αὐτῆς ἦν κτῆμα οὕτως· Ἀλωεὺς καὶ Αἰήτης ὁ Μηδείας πατὴρ ἐγένοντο παῖδες Ἡλίου καὶ Ἀντιόπης. τούτοις ὁ Ἥλιος διένειμε τὴν χώραν, καὶ ἔλαβεν Ἀλωεὺς μὲν τὴν Ἀρκαδίαν, τὴν δὲ Κόρινθον Αἰήτης. Αἰήτης δὲ μὴ ἀρεσθεὶς τῇ ἀρχῇ Βουνόμῳ μέν τινι Ἑρμοῦ υἱῷ παρέδωκε τὴν πόλιν, εἰπὼν φυλάσσειν τοῖς ἐσομένοις ἐξ αὐτοῦ· αὐτὸς δὲ εἰς Κολχίδα τῆς Σκυθίας ἀφικόμενος καὶ κατασχὼν ἐκεῖσε χώραν τινὰ ἐβασίλευεν. Ἰάσων οὖν ἐλθὼν εἰς αὐτὸν διὰ τὸ χρυσόμαλλον δέρας ἠράσθη παρὰ Μηδείας, ἣ παρασκευάσασα αὐτὸν λαβεῖν τὸ χρυσόμαλλον δέρας συναπῆρεν αὐτῷ πρὸς τὴν Ἑλλάδα ἄκοντος Αἰήτου. εἰρήκαμεν δὲ τὴν ἱστορίαν πλατύτερον ἐν τῇ τοῦ Λυκόφρονος παραφράσει.

gl. 75. * ἀπεναντίας· — * * ἐξεναντίας. — γαμῶν. — * κατασκευάσασαν. — πρὸς Ἰάσονα. — 76. σωστικήν. — * διά

---

1 *ἱστορία ὅπως ἐκ Κορίνθου μετῴκησεν αἰήτης* est in marg. Γ' μ' ξ'. — 2 *καί* om. Γ'. — *πρῶτον (l. πατρῷον)* e schol. vet. ductum est. — Post *οὕτως* in edd. ante Bœckhium *ἱστορία* est, quod uncinis incluserunt Beck, Heyne. — 3 *ἀλωεὺς* Γ' et ed. Ro. — 5 *ἀλωεύς* ed. Ro. — *μέν* om. Γ. — *δέ* om. ξ'. — *Κόρ. αἰήτην* Γ. — 6 *Βούνῳ* edd. inde a Beckio. — 6. 7. *παρέδωκεν* Γ'. — 9 *ἐκεῖσε* Γ, *ἐκεῖ* cett. — 10 *χρυσόμαλον* Γ' Vrat. μ' et edd. ante Beck. — *ἐράσθη* Vrat. — 10. 11 *ἠράσθη — δέρας* om. Γ'. — 11 *αὐτῷ λ.* Γ. — *χρυσόμαλον* Γ' Vrat. et edd. ante Beck. — 12 *ἀκόντος* Γ. — 14 Ad v. 75 hoc scholium legitur in MSS. β. γ.: *ἰστέον δέ, ὅτι τὸ χρυσόμαλλον δέρας ἦν τοῦ κριοῦ, ὃς τὸν Φρίξον εἰς Κολχίδα διεπέρασεν, ἐκεῖ δὲ τοῦτο, ὥς φασιν, Φυξίῳ Διὶ ἔθυσαν καὶ ἀπεκρέμασαν ἐν Ἄρεος ἄλσει, καὶ ἐφύλασσε τοῦτο δράκων ὅσον πεντηκόντορος ναῦς μήκει τε πάχει τε, ὥς φησι Πίνδαρος* (Pyth. IV. 436 sq.). — In iisdem codd. hoc scholium extat ad v. *προπόλοις: Ἰστέον ὅτι τέκτων ὁ κατασκευάσας τὴν τοῦ Ἰάσονος ναῦν ὠνομάζετο Ἀργός, ὅθεν καὶ ἡ ναῦς ἐκαλεῖτο Ἀργώ, καὶ κλίνεται τῆς Ἀργόος καὶ Ἀργοῦς, τῇ Ἀργόϊ καὶ Ἀργοῖ. ἀπὸ τούτου καὶ Ἀργοναυτικὰ Ἀπολλωνίου.*

συνέσεως. — 77. * *ναύταις·* — *ἤτοι τῆς ἐν τῇ Ἀργοῖ, οὓς ἀνελεῖν Αἰήτης ἐβούλετο.*

69—77. M. *Ἐγὼ δὲ ὡς ἴδιος καὶ οὐκ ἀλλότριος ὢν ἐν τῇ κοινότητι ὑμῶν παραγενόμενος τὴν φρόνησίν τε ὑμνήσων τῶν πάλαι γεγενημένων ὑμετέρων ἀνδρῶν καὶ τὸν πόλεμον τὸν ἐν ταῖς ἀρεταῖς, τουτέστι ταῖς ἀνδρείαις ταῖς ἥρωσι προσηκούσαις, οὐ ψεύσομαι περὶ τῆς Κορίνθου, τὸν Σίσυφον μὲν ὑμνῶν δηλονότι πυκνότατον* (73) *παλάμαις, ἀντὶ τοῦ βουλαῖς, πράξεσι, τουτέστι συνετώτατον ὡς θεόν, καὶ τὴν Μήδειαν ὑμνῶν ὁμοίως ὡς συνετωτάτην τὴν ποιήσασαν ἑαυτῇ τὸν γάμον κατ' ἐναντιότητα τῆς γνώμης τοῦ πατρὸς αὐτῆς, τὴν γενομένην σώτειραν τῆς νηὸς τῆς Ἀργοῦς καὶ τῶν προπόλων, ἀντὶ τοῦ τῶν ἐπιμελουμένων αὐτῆς, ἤγουν τῶν ἐπιβατῶν αὐτῆς. κυρίως δὲ πρόπολος ὁ νεωκόρος.*

78. Tr. *Τὸ ποτὲ πρὸς τὸ ἐδόκησαν συναπτέον, τὸ δὲ τὰ δὲ πρὸς τὸ ἀλκάν, οὕτω· τὰ δὲ ἐν ἀλκῇ ἐδόκησάν ποτε.*

gl. 78. * *τὰ δὲ ἐν ἰσχύϊ πολέμου.* — *δυνάμει.* — * *ἔμπροσθεν.* — 79. *τῆς Τροίας.* — * † *ἔδοξαν.*

80. Th. *Οἱ Κορίνθιοι ἐπ' ἀμφότερα ἠρίστευσαν ἐν Ἰλίῳ· καὶ γὰρ τοῖς Τρωσὶ συνεμάχησαν καὶ τοῖς Ἕλλησι· Τρωσὶ μὲν Γλαῦκος τὸ γένος εἰς Βελλεροφόντην ἀνάγων τὸν Γλαύκου τοῦ*

---

3 *σύνταξις* margo *μ' ξ'.* — Lemma *ἐγὼ δὲ ἴδιος* omisi cum *q v.* — 4 *ὑμνήσω* Vrat. *μ' ξ'.* — 6 *ταῖς* om. *q.* — *τουτέστι* ex *q v ι''* addidi. — *ἀνδρείαις q v* et codd. Oxx., *ἀνδραγαθίαις* cett. — 7. 8 *δηλονότι* om. *q.* — 8 Quæ post *πράξ.* leguntur, om. *ι''.* — 9. 10 *ὁμ. ὡς q, ὁμοίως v w ξ* et codd. Oxx., *ὡς* cett. — 12 *νηὸς τοῦ ἀργ. v* Vrat. — *προσπόλων* edd. ante Bœckhium. — *τῶν*] *σῶν ξ*, omm. *q v* (habet *w*). — 13 *ἤγουν* — *αὐτῆς* ex *qv* et glossa Mosch. addidi. — *πρόσπολος μ' ξ'* et edd. ante Bœckhium; cf. Mosch. Syll.: *πρόσπολος ὁ δοῦλος. πρόπολος δὲ χωρὶς τοῦ σ, ὁ νεωκόρος.* — 15. 16 *τὸ δὲ τάδε* codd. et edd. ante Bœckhium. — 16 *τάδε ἐν* Beck, Heyne. — 20 *ἐν τῇ ἰλ. Γ.* — 21. 22 *τρ. μὲν γὰρ γλ. ξ.* — 22 *τὸν γλαῦκον* Vrat. *ι' μ'.*

Σισύφου, τοῖς δὲ Ἀχαιοῖς Εὐχήνωρ ὁ Πολυείδου τοῦ μάντεως. ὅτι δὲ Εὐχήνωρ Κορίνθιος ἦν, καὶ Ὅμηρος μαρτυρεῖ λέγων (Il. N 683)·

ἦν δέ τις Εὐχήνωρ Πολυείδου μάντιος υἱός
ἀφνειός τ' ἀγαθός τε, Κορινθόθι οἰκία ναίων,

gl. 80. *ἤγουν ἐπ' ἀμφοτέροις τοῖς πολεμίοις Ἕλλησί τε καὶ Τρωσίν. — * τὰ μέρη. — * κατασκευάζειν. — * τάγμα ἢ νίκην· — * * κατορθοῦν νίκην.* — 81. *ὁ Εὐχήνωρ καὶ οἱ μετ' αὐτοῦ Κορίνθιοι. — * ἤτοι σὺν τοῖς Ἀτρείδαις.* — 82. * *ἀπολαμβάνοντες· — * * ἄγοντες, λαμβάνοντες. — * οἱ περὶ τὸν Γλαῦκον· — * * ὁ Γλαῦκος καὶ οἱ περὶ αὐτόν. — * παντελῶς.* — 83. * † *ἀπείργοντες· — τοὺς Ἕλληνας.* — 84. * † *ἔτρεμον. — * † Ἕλληνες.*

85. *Tr. Ἄστυ Πειρήνης λέγει τὴν Κόρινθον ἀπό τινος γυναικὸς οὕτω καλουμένης.*

gl. 85. * *ἐν τοῖς Δαναοῖς. — καυχώμενος διηγεῖτο.*

86. *Th. Ἡ τοῦ Προίτου γυνὴ ἐρασθεῖσα Βελλεροφόντου ὡς οὐκ ἔσχεν αὐτὸν πειθόμενον, κατεψεύσατο αὐτοῦ πρὸς τὸν ἴδιον ἄνδρα Προῖτον. καὶ ὃς πρὸς τὸν τῆς Λυκίας βασιλέα κηδεστὴν ὄντα αὐτοῦ Ἰόβατον ἀποστέλλει ὑπ' αὐτοῦ τεθνηξόμενον. Ἰόβατος οὖν ἐκπέμπει αὐτὸν κατὰ τῆς Χιμαίρας, ὑπ' αὐτῆς*

---

1 *πολυειδοῦ μ'.* — **1. 2** *Εὐχήνωρ — ὅτι δέ* om. *ι'.* — **2** corinthius illum (?) homerum iliados XIII (om. *μαρτ. λ.) ι'.* — **5** *τ'* om. *ι'.* — *Κορινθόδε* Vrat. *μ' ξ'* et edd. ante Beckium, apud quem errore *Κορίνθοδι* excusum est; etiam in Vrat. D. distincte *Κορινθόθι* legi testatur Bœckh. — **9** Ad v. 82 scholiasta in marg. interiore libri *b* hæc annotavit: *σύναπτε τὴν ἀπὸ μετὰ τοῦ εἴργοντες.* — **14** Hoc scholium om. etiam *ι'.* — *πειράνας* Vrat. — **17** *ἱστορία ὅπως (ὁ* add. *ξ') Βελλεροφόντης κατεπολέμησε χίμαιραν (χείμ. μ' ξ') ι' μ' ξ'* in marg. — **18** *κατ. αὐτὸν* Vrat. *μ' ξ'.* — *εἰς ξ'.* — *τὸν* om. *ι'.* — **19** *Προῖτον* om. *ι'.* — **20** *αὐτοῦ* om. *ι'.* — **21** *πέμπει ξ'.* — *χιμέρας Γ.*

νομίζων αὐτὸν διαφθαρήσεσθαι. Βελλεροφόντης δὲ θέλων μετὰ τοῦ Πηγάσου ἵππου τὸν πρὸς τὴν Χίμαιραν ἐργάσασθαι πόλεμον, ἐπεὶ πολλὰ παθὼν οὐχ οἷός τ' ἦν αὐτὸν ὑποτάξαι, καθ' ὕπνους εἶδε τὴν Ἀθηνᾶν ἐγχειρίζουσαν αὐτῷ χαλινόν, καὶ ἀναστὰς ὕπαρ εὗρε τὸ ὄναρ. ὅθεν χαλινώσας τὸν ἵππον καὶ καταπολεμήσας Χίμαιραν ἔλαβεν ἆθλον τὴν θυγατέρα Ἰοβάτου Ἀντίκλειαν, ἀφ' ἧς ἔσχεν Ἱππόλοχον τὸν τοῦ Γλαύκου πατέρα.

gl. 86. τῇ Κορίνθῳ. — * ἰδίου. — 87. * τοῦ Βελλεροφόντου· — * * τοῦ πάππου αὐτοῦ Βελλεροφόντου. — * βασιλείαν· — † τὴν ἀσφάλειαν. — * μέγαν· — * * πολύν. — 88. εἶναι. — * οἶκον.

78—88. *M.* Τὰ δὲ ἀντὶ τοῦ κατὰ τὸ δέ, τουτέστι καὶ κατὰ τὸ ἕτερον δὲ μέρος, ἤγουν καὶ κατὰ τὸν πόλεμον δὲ πρὸ τῶν τειχῶν τοῦ Ἰλίου ποτέ, ἤτοι πάλαι ἔδοξαν οἱ Κορίνθιοι ἐπ' ἀμφότερα τὰ μέρη τῶν πολεμίων ἐν ἰσχύϊ τέμνειν τέλος, ἀντὶ τοῦ ἔχειν τὸ ἔξοχον· οἱ μέν (81), οἱ περὶ τὸν Εὐχήνορα δηλονότι, σὺν τῷ γένει τοῦ Ἀτρέως τῷ προσφιλεῖ αὐτῷ, δηλονότι τῷ Ἀτρεῖ, τουτέστι σὺν τοῖς παισὶ τοῦ Ἀτρέως τῷ Ἀγαμέμνονι καὶ τῷ Μενελάῳ, τὴν Ἑλένην κομίζοντες, ἀντὶ τοῦ ζητοῦντες κομίσασθαι· οἱ δέ, ἤγουν οἱ περὶ τὸν Γλαῦκον, ἀπείργοντες, τουτέστι κωλύοντες πάμπαν. ἐκ τῆς Λυκίας γὰρ τὸν Γλαῦκον ἐλθόντα σύμμαχον τοῖς Τρωσὶν ἔτρεμον οἱ Ἕλληνες. τούτοις μέν (85),

---

1. 2 κατὰ τοῦ ξ'. — 2 τὸν om. Γ. — 5 ἵππον Γ. πήγασαν ι'' (ο supra), πήγασον cett. — 6 τοῦ ante Ἰοβ. omisi cum Γ ξ'. — 7 Ἀντίκλ. ex Γ addidi. — 12 Lemma τὰ δὲ καί ποτε delevi cum q v. — σύνταξις margo μ' ξ'. — τὰ δὲ om. Vrat. — ἀντὶ τοῦ bis est in ι'', qui omm. cetera in spatio. — κατὰ τόδε q. — καὶ om. q. — 13 δὲ ex q v μ' ξ' Ox. addidi. — και om. v. — μετὰ τὸν edd. ante Oxx. — τὸν om. Vrat. — 14 ἡλίου Vrat. — 15 τῶν πολέμων q v w. — ἰσχύι ξ'. — 16 τὸ] τί (?) q. — 17 αὐτοῦ Vrat. μ' et edd. ante Beck. — 18 σὺν ταῖς περὶ q. — 19 τῷ] τοῖ Vrat.

ἤγουν τοῖς Λυκίοις, ηὔχετο, τουτέστι διηγεῖτο φιλοτιμούμενος ἐν τῇ πόλει τῆς Πειρήνης τῆς πηγῆς, ἤτοι ἐν τῇ Κορίνθῳ εἶναι τὴν βασιλείαν τοῦ σφετέρου πατρός, ἀντὶ τοῦ τοῦ ἑοῦ, ἤγουν τοῦ ἑαυτοῦ πάππου, τουτέστι τοῦ Βελλεροφόντου, καὶ μεγάλην κληρονομίαν καὶ μέγαρον, ἤτοι οἰκίαν, καθέδραν.

gl. 89. *τῆς ὄφεις περὶ τὰ νῶτα ἐχούσης Μεδούσης.* — 90. *ὄντως.* — *τῆς Κορίνθου.* — 91. * * *τὸν ἵππον.* — * *ἐπιθυμῶν.* — 92. * *ἕως οὗ.* — * *αὐτῷ.* — * *χρυσῆν περικεφαλαίαν ἔχοντα.* — 93. *'Αθηνᾶ.* — *ἐκόμισεν.*

91—94. *Germ.* *'Ο νοῦς· ὃς καὶ ἔστις ὁ Βελλεροφόντης ποτὲ ἦ καὶ ὄντως ποθέων καὶ ζητῶν ζεῦξαι καὶ ὑποτάξαι καὶ χαλινῶσαι τὸν Πήγασον τὸν υἱὸν τῆς ὀφιώδους Γοργόνης ἀμφὶ τοῖς κρουνοῖς πολλὰ ἔπαθε καὶ ὑπέστη, πρίν γε καὶ πρότερον ἡ κούρη Παλλὰς ἤνεγκε καὶ ἔδωκέν οἱ καὶ αὐτῷ τῷ Βελλεροφόντῃ τὸν χρυσάμπυκα χαλινόν.*

gl. 94. * *ἐκ φαντάσματος.* — * *παραχρῆμα.* — 95. * *ἔργον φανερῶς·* — * * *ἤγουν φανερὸν τὸ ὄναρ ἐγένετο.* — *ἡ 'Αθηνᾶ.* — 96. *Βελλεροφόντα, τοῦ Αἰόλου ἀπόγονε.* — * * *ἐν ἤθει τοῦτο ἀναγνωστέον, οὐ κατ' ἐρώτησιν· οὐ γὰρ ἠγνόει, εἰ καθεύδει.*

97. *Th.* *Φίλτρον ἵππειον λέγει τὸν χαλινὸν τὸν διὰ μακρὸν ἔθος ὡσανεὶ προσφιλῆ τοῖς ἵπποις ὄντα, ἢ τὸν ποθούμενον ὑπὸ σοῦ καὶ φιλούμενον· ζητεῖς γὰρ εὑρεῖν ἱππικὸν δεσμὸν κατὰ τοῦ Πηγάσου.*

gl. 97. * *εἶα.* — * *ποθεινόν, ἐπιθυμητόν.* — * *χαλινόν.* — * *δέχου.*

98. *Germ.* *'Αργάντα πατρί]* *ἀργάντα νῦν οὐχὶ τὸν λευ-*

---

1 *τῆς Λυκίας q.* — 3 *τοῦ* ante *ἑοῦ* omm. *q ξ'* et edd. ante Boeckh. — 5 *οἰκεῖαν ξ.* — 10 Delevi *καὶ* ante *ὁ νοῦς.* — 12 *Γοργόνος?* — 22. 23 *ὑπό σου ι'.* — 23 *ζητεῖς γάρ* om. *Γ.* — 23. 24 *δ. τὸν κ. Π.* [Vrat.] edd. inde a Beckio.

κόν, ἀλλὰ τὸν διάδηλον τῷ μήκει καὶ ἔκδηλον τῷ μεγέθει καὶ περιφανῆ· Ὅμηρος γὰρ μέλαν κελεύεται θύειν διὰ τὸ φοβερόν.

gl. 98. τῷ τῶν ἵππων δαμαστικῷ Ποσειδῶνι. — τὸν χαλινόν. — 99. * λευκόν. — * πατρί] σοῦ· τῇ ἀληθείᾳ Βελλεροφόντης Ποσειδῶνος ἦν υἱός, δοκῶν εἶναι Γλαύκου.

89—99. Μ. Ὅς, ἤγουν ὁ Βελλεροφόντης, πάλαι τὸν Πήγασον τὸν ἵππον τὸν υἱὸν τῆς Γοργόνος τῆς ὀφιώδους, τουτέστι τῆς ὁμοίωσίν τινα ὄφεως ἐχούσης, ποθῶν ζεῦξαι, ἀντὶ τοῦ ὑπαγαγεῖν, τῷ χαλινῷ ὑποτάξαι, ὄντως πολλὰ ἔπαθεν ἐπὶ τοῖς ῥεύμασι τῆς Πειρήνης, δηλονότι τῆς ἐν Κορίνθῳ πηγῆς, ἕως ἐνεγκοῦσα ἔδωκεν αὐτῷ ἡ παρθένος ἡ Ἀθηνᾶ χαλινὸν χρυσάμπυκα, ἀντὶ τοῦ χρυσᾶ φάλαρα ἔχοντα, ἐν ὕπνῳ δηλονότι. ἐπάγεται γάρ· ἐξ ὀνείρου (94) δ' αὐτίκα ἦν ὕπαρ, τουτέστιν ἦν δὲ ἡ δόσις αὐτίκα ἐκ τοῦ ὀνείρου ἐν τῷ φανερῷ. ἐφώνησε δὲ ἡ Ἀθηνᾶ τῷ Βελλεροφόντῃ ἐν τῷ ὕπνῳ δηλονότι· καθεύδεις, ἤγουν ὑπνώττεις, ὦ βασιλεῦ Αἰολίδη, τουτέστιν ἀπόγονε τοῦ Αἰόλου; ἄγε δέχου τόδε τὸ φίλτρον τὸ τῶν ἵππων, ἤγουν τὸ φάρμακον τὸ πραϋντικὸν τῶν ἵππων, καὶ τῷ πατρὶ τῷ σῷ τῷ Ποσειδῶνι, τῷ δαμαστικῷ τῶν ἵππων, ἤγουν τῷ ἱππικῷ, δεῖξον αὐτό, θύων αὐτῷ ταῦρον περιφανῆ, εὐτραφῆ.

---

2 μέλανα coni. Mommsen, fort. recte. — 5 Glossa Thomana πατρὶ δεῖξον (lemma omm. ι'μ') ὅτι τῇ — Γλαύκου in codd. mixtis et edd. inter scholia legitur. — 6 Verba ἦν — Γλαύκου in Γ evanuerunt. — 7 Lemma ὃς τᾶς ὀφιώδεος delevi cum q v. — σύνταξις margo μ' ξ'. — ἤτοι ι'. — 7—15 πάλαι — φανερῷ om. ι' in spatio. — 8 τὸν ante ἵππον omm. edd. — γοργόνης μ'. — ὀφειώδους Vrat. μ'. — 10 οὕτως q Vrat., ὄντως v ξ', οὕτω cett. — 13 χρυσὰ ξ', χρυσ (sic) q. — χρυσαφάλαρα Vrat. — 14 δ' αὐτίκα erasum est in μ'. — 17 ὦ βασ. αἰολίδη q v ξ', ὁ rex αἰολίδη ι', ὦ αἰολ. βασ. cett. — 19 τῷ ante πατρί om. Vrat. — τῷ σῷ om. q. — 20 θύων] θεῖον ξ'. — 21 εὐτρ. om. v.

gl. 100. * ἡ μελανείμων Ἀθηνᾶ διὰ τὸ ἐν βάθει κεῖσθαι τὴν γνῶσιν· — ἡ μέλαιναν αἰγίδα φοροῦσα. — κοιμωμένῳ. — 101. * ἡ Ἀθηνᾶ. — * τοσαῦτα.

102. *Germ.* Ἔπαλτο] ἀντὶ τοῦ ἀνηγέρθη καὶ ἀνεπήδησεν ὁ Βελλεροφόντης.

gl. 102. * ἐνομίσθη· — ἐφάνη. — * ἀνωρμήθη· — ἀνεπήδησε τοῦ ὕπνου. — * ὁρμητικῷ· — συντόμῳ. — 103. * πλησίον κείμενον. — * κρατήσας. — τὸν θαυμασίως ἀναφανέντα αὐτῷ χαλινόν.

104. *Th.* Σύναπτε τὸ Κοιρανίδᾳ πρὸς τὸ μάντιν. ὁ γὰρ Πολύειδος οὗτος μάντις Κοιράνου υἱὸς ἦν, ὃς καὶ προϋπέθετο Βελλεροφόντῃ καταδαρθεῖν παρὰ τῷ τῆς Ἀθηνᾶς βωμῷ, ὡς ἐκεῖθεν ἐσομένης αὐτῷ τῆς τοῦ ζητουμένου λύσεως.

gl. 104. * ἐντόπιον. — * Πολύειδον. — * χαίρων. — 105. ἀπόβασιν. — 106. * * τοῦ συμβάντος. — πῶς. — * ἐν. — 107. * Ἀθηνᾶς. — * ἐκοιμήθη. — * κατά. — 108. μαντείας. — * πῶς. — 109. αὐτῷ. — * Ἀθηνᾶ. — 110. θυγάτηρ, ἡ Ἀθηνᾶ. — ἔδωκεν.

111. *Th.* Δαμασίφρονα χρυσὸν λέγει, ὃν ἔμπροσθεν εἶπε χρυσάμπυκα χαλινὸν ὡς τὰς φρένας τῶν ἵππων δαμάζοντα καὶ εὐπειθεῖς ἐργαζόμενον· ἢ διότι ὁ χαλινὸς χρυσοῦς ἦν, ὁ δὲ χρυσὸς πάντων ἀνθρώπων δαμάζει καὶ πείθει τὰς φρένας.

gl. 111. * δαμάζοντα τὴν ἔπαρσιν, ἤγουν χρυσοῦν χαλινόν· — τὸν δαμάσαντα τὰς τοῦ Πηγάσου φρένας χαλινόν. —

---

10 τῷ κοιρ. ξ΄. — κοιρανίδα (η supra) μ΄. — 12 ὡς] καὶ Γ. — 19 Notula Thomana in Γ in margine quidem, sed non inter scholia legitur, neque in numero glossarum haberi potest. In cett. codd. (Vrat. ι΄ μ΄ ξ΄) inter scholia legitur. — χρυσὸν omm. edd. ante Bœckh. — λέγει om. Γ. — ἔμπροσθεν Γ, πρόσθεν cett. — 20 χρυσ.] χαλκοῦν (??) ex Γ enotavi. — ὡς] τὸν Γ. — 21. 22 ἢ — φρένας in Γ solo exstant. — 22 In Γ inter πάντων et ἀνθρ. aliquot litteræ evanuerunt, quarum prima ἡ fuisse videtur.

* * *τὸν χρυσοῦν χάλινον.* — * * *τῷ ὀνείρῳ.* — 113. * *παρεκελεύσατο.* — *ὁ μάντις.* — * *αὐτόν·* — *τὸν Βελλεροφόντην.*

100—112. M. *Τοσαῦτα ἔδοξεν εἰπεῖν αὐτῷ ἐν νυκτὶ ὑπνώττοντι ἡ παρθένος, τουτέστιν ἡ Ἀθηνᾶ, ἡ κυαναιγίς, ἤγουν ἡ μέλαιναν ἔχουσα αἰγίδα. ἀνεπήδησε δὲ ὁ Βελλεροφόντης γενόμενος δηλονότι ἐν ὀρθῷ ποδί· παρ' ἑαυτῷ δὲ κείμενον εὑρὼν τέρας, ἤτοι θαῦμα, τουτέστι τὸν χαλινὸν οὕτω θαυμασίως φανέντα, τὸν ἐπιχώριον* (104) *μάντιν τὸν Πολύιδον τὸν υἱὸν τοῦ Κοιράνου ζητήσας εὗρεν ἀσμένως, ἤγουν μετὰ περιχαρείας, καὶ ἔδειξεν, ἀντὶ τοῦ ἐδήλωσεν αὐτῷ πᾶσαν τὴν τελευτήν, ἤγουν τὴν ἀπόβασιν τοῦ πράγματος, ὅπως τε ἐν τῷ ναῷ τῆς θεᾶς, ἤτοι τῆς Ἀθηνᾶς, ὕπνωσε κατὰ τὴν νύκτα μετὰ τὴν* (108) *μαντείαν ἐκείνου· ἐκεῖνος γάρ, ὡς ἔοικεν, ἔχρησεν αὐτῷ ἀμηχανοῦντι περὶ τῆς κατασχέσεως τοῦ Πηγάσου ἀπελθεῖν καὶ καθευδῆσαι ἐκεῖ· ὅπως τε παρέσχεν αὐτῷ τὸν χρυσοῦν χαλινὸν τὸν δαμάζοντα τὰ φρονήματα τῶν ἵππων αὐτὴ ἡ παῖς τοῦ Διὸς τοῦ τῷ κεραυνῷ ὡς ἔγχει χρωμένου, ἤγουν ἡ Ἀθηνᾶ. ἐκέλευσε δὲ αὐτὸν ὁ μάντις πείθεσθαι τῷ ἐνυπνίῳ ὅτι τάχιστα.*

gl. 113. * *μεγαλοδυνάμῳ.* — 114. * *τὸν ἰσχυρόπουν Πήγασον·* — * * *τὸν ἰσχυρὸν ταῦρον.* — * *κωλύσῃ διὰ χαλινοῦ·* — * * *θύῃ.* — * *τῷ τὴν γῆν περιέχοντι Ποσειδῶνι.* — 115. * *θεῖναι·* — *ἐκέλευσεν ἀπὸ κοινοῦ.* — * *πλησίον.* — 116. * *πληρῆ ποιεῖ·* — * * *διὰ τὸ μέτρον* π λ η ρ ο ῖ *γράφε, οὐ* τ ε λ ε ῖ.

3 Lemma *κυαναιγὶς ἐν δορφνᾷ* delevi cum *q v*. — *σύνταξις* margo *μ' ξ'*. — Quæ post *ἔδοξεν* leguntur, om. *ι''* in spatio. — **4** *ὑπνώσσοντι* Vrat. — *τουτέστιν* om. *q*. — **5** *ἐνεπόδισε* *q*. — **7. 8** *θαυμασίου φανέντος* *ξ'*. — **8** *πολύιδον* *q v* et codd. Oxx., *πολύειδον* cett. — **10** *ἀντὶ τοῦ*] *αὐτοῦ* Vrat. — **11** *ἐν*] *ἤγουν ἐν* *q*. — **13** *ἐκείνου*] *ἐκεῖνο* Vrat. — **15** *χρυσοῦν* ex *q ξ'* addidi. — **16** *αὕτη* *v*, qui om. *τοῦ Διός*. — **17** *ὡς ἔχει* *q*. — *ἡ* omm. *q* Vrat. — **18** *δέ* *q v*, *γάρ* cett. — *πείθεσθαι* *q v*, *πεισθῆναι* cett.

— * πρὸς ἣν ὀμνύει τις οὐκ ἰσχύων. — τὴν δὲ ὅρκου ἀπαγορευθεῖσαν. — 117. * τὴν ἔξω ἐλπίδος. — 118. * ῥᾳδίαν· — * * ῥᾴστην.

116—118. *Germ.* Ὁ νοῦς· τελεῖ δὲ καὶ πληροῖ ἡ δύναμις τῶν θεῶν, ἀντὶ τοῦ ὁ θεός, καὶ τὰ παρ᾽ ἀνθρώποις ἀπαγορευθέντα πράγματα.

Th. Οἱ θεοὶ καὶ τὰ νομιζόμενα ἀδύνατα ῥᾷστα ποιοῦσι, περὶ ὧν ἄν τις καὶ δι᾽ ὅρκου ἀπαγορεύσειεν ὡς οὐχ οἷά τε γενέσθαι. ἔστι δὲ τὸ π α ρ᾽ ἐ λ π ί δ α καὶ τὸ π α ρ᾽ ὅ ρ κ ο ν ταυτόν· τὰ γὰρ ἀδύνατα καὶ ἀνέλπιστα.

113—118. *M.* Ὅταν δὲ ἀνερύῃ, ἤγουν ἀνατρέπῃ, ἀντὶ τοῦ σφάζῃ, θύῃ, ἀπὸ τοῦ παρακολουθοῦντος, τὸν κραταιὸν τοὺς πόδας ταῦρον τῷ Ποσειδῶνι τῷ συνέχοντι τὴν γῆν, τῷ κατὰ πολὺ ἰσχυρῷ, ἐκέλευσεν αὐτίκα ποιῆσαι τῇ Ἀθηνᾷ τῇ ἱππικῇ, ἤγουν τῇ πολεμικῇ, ναόν. πληροῖ δὲ (116) ἡ δύναμις τῶν θεῶν κούφως, τουτέστιν εὐχερῶς τὴν κτίσιν, ἀντὶ τοῦ τὴν πρᾶξιν καὶ τὴν παρ᾽ ὅρκον, ἤγουν τὴν μὴ δεομένην βεβαιώσεως ὅρκων εἰς τὸ μὴ πραχθῆναι ὡς ἀνέλπιστον δηλονότι οὖσαν καὶ ἀδύνατον, καὶ τὴν παρ᾽ ἐλπίδα, τουτέστι καὶ ἣν οὐκ ἄν τις ἐλπίσαι ποτὲ πράξειν.

gl. 118. * καὶ δή· — μέν. — 119. * ζητῶν, προθυμούμενος· — * * κινηθείς. — * ἔλαβε· τὸ ἕλε πρὸς τὸ ἵππον σύ-

---

2 τὴν scripsi pro τῆς. — 4 Post Ὁ delevi δέ. — 7 οἱ om. ed. Bœckh. — 8 τις] τι ξ. — 9 ταυτό ι'' μ' ξ. — 11 Lemma Ὅταν δ᾽ εὐρυσθενεῖ omisi cum q. — ἀνεῤῥύῃ q (ἀνερύῃ Mosch. in textu), αὐερύῃ codd. Oxx., ἀνρύῃ ἀντὶ τοῦ ἀνερύῃ cett. — ἀνετράπῃ q, ἀνατρέπει Vrat. μ'. — 15 ἤγουν τῇ πολ. codd. et ed. Bœckh., πολεμικῇ Beck «ex codd. Oxx.», Heyne, omn. cett. — ναόν om. v. — 16 τ. ἰσχυρῶς edd. ante Beckh. — κτῆσιν q μ'. — τὴν ante πρᾶξιν om. ξ. — 17 πάρορκον q, παρόρκον v. — β. ὅρκον q. — 18 ἀνέλπιστος q. — 19 παρ᾽ q v ι'', παρὰ cett. — τι Vrat. — ποτὲ ἐλπίσαι q, ἐλπίσοι π. v. — 20 πράξειν q v ι'', πρᾶξιν cett.

ναπτε· — * * τοῦτο πρὸς τὸ ἵππον σύναπτε. — 120. τὸ δίκην φαρμάκου πραῦνον τοὺς ἵππους, * ἢ βοήθημα πρὸς ὃ ἔχρηζε. — 121. * πραοποιόν. — * ἕλκων. — ἐν τῷ στόματι τοῦ ἵππου. — 122. * ταχύν. — * * ἐπιβὰς ἐπ' αὐτόν. — 123. * πολεμικὰ παίγνια· — * * τὰ πολεμικά. — * καθοπλισθείς· — * * ὁπλισθείς. — * ἐγυμνάζετο· — * * σύναπτε ἐνταῦθα τὸ ἐνόπλια. — 124. * τῷ ἵππῳ τῷ Πηγάσῳ.

125. *Th.* Αἰθέρος εἶπε θηλυκῶς ὡς ποιητής· ψυχρᾶς δέ, ἐπεὶ καὶ ὁ ἀὴρ αἰθὴρ λέγεται, ψυχρότερον δὲ τὸ βόρειον μέρος, ἔνθα οἰκοῦσιν αἱ Ἀμαζόνες. ἐρήμου δὲ διὰ τὸ τοῦ ἀέρος κενόν. λέγει δέ, ὡς σὺν τῷ Πηγάσῳ τὰς ὑπὸ τοῦ ὑπερβορέου κλίματος Ἀμαζόνας καὶ τὴν Χίμαιραν καὶ τοὺς Σολύμους ἔθνος ἀπώλεσεν.

gl. 126. * ἀοίκου. — * τοξεύων. — 128. * ἐκπνέουσαν. — 129. ἀπώλεσεν.

118—129. *M.* Ἦτοι καὶ ὁ καρτερός | ὁ ἦτοι ἀντὶ τοῦ δή, ἤγουν καὶ δὴ καὶ ὁ ἰσχυρὸς Βελλεροφόντης ὁρμαίνων, ἤτοι προθυμούμενος, ἔλαβεν ἵππον ὑπόπτερον, τουτέστι τὸν Πήγασον φάρμακον πραΰ, ἀντὶ τοῦ πραϋντικόν, ἤγουν τὸν παρὰ τῆς Ἀθηνᾶς χαλινόν, τείνων, ἀντὶ τοῦ ἐφαπλώσας, ἐπενεγκὼν ἀμφὶ τῇ γένυϊ, ἀντὶ τοῦ ἐπὶ τῇ γένυϊ, τουτέστιν ἐπὶ τῷ στόματι αὐτοῦ δηλονότι· ἀναβὰς δὲ εὐθὺς (123) ἐπ' αὐτὸν ἔπαιζεν ἐνόπλιον παιδιὰν χαλ-

---

8 ὡς Γ, ὁ cett. — 9 ἐπειδὴ καὶ ι' ξ'. — ψυχρ. δὲ τὸ β. μ. omm. edd. ante Bœckh. — 10 ἔνθα] ἐν ᾧ Vrat. — τὸ om. Γ. — 11 σὺν] ἐν ξ'. — ὑπὸ Γ, ἐν ξ', ἀπὸ cett. — 12 καὶ τ. Χίμ. excidit apud Bœckhium. — 16 σύνταξις margo μ'. — ἦτοι ξ', ἤτοι [Vrat. ι''] Bœckh. — Quæ post lemma leguntur om. ι'' in spatio. — ὁ q Vrat. μ', τὸ cett. — ἤτοι [Vrat.] Bœckh. — 17 καὶ ante ὁ omm. edd. ante Oxx. — 18 τουτ. om. q. — 20 τείνων τίνων ἀ. τ. Vrat. — 21 ἀντι — γένυϊ om. μ'. — ἐπὶ q v, περὶ cett. — 22 δὲ q v, δ' cett. — ἔπαιξεν Vrat. ξ'.

κωθείς, ἤτοι ὁπλισάμενος. (κραταιὸς κοινόν, κρατερὸς ποιητικὸν τὸ αὐτό, καὶ κατὰ μετάθεσιν τοῦ ρ̅ καρτερός.) σὺν ἐκείνῳ δέ, ἤγουν τῷ Πηγάσῳ ποτὲ ἐφόνευσε καὶ τὸν στρατὸν τὸν γυναικεῖον τῶν Ἀμαζόνων τὸν τοξότην, βάλλων αὐτόν, τουτέστι βολαῖς ἐπιτιθέμενος αὐτῷ ἄνωθεν ἀπὸ τῶν κοιλωμάτων τῆς αἰθέρος τῆς ψυχρᾶς, ἀντὶ τοῦ τοῦ ἀέρος τοῦ ψυχροῦ, τοῦ ἐρήμου, ἤγουν ἐφ' ᾧ οὐ διατρίβει πτηνὰ διὰ τὴν ψυχρότητα, καὶ τὴν Χίμαιραν τὴν πνέουσαν πῦρ, τουτέστιν ἥτις ἔπνει πῦρ, καὶ τοὺς Σολύμους. ἔθνος δὲ ἦσαν οἱ Σόλυμοι μεταξὺ Λυκίας καὶ Παμφυλίας πολεμικώτατον.

130. *Th. Τὸ διασωπάσομαι εἶπε διὰ τὸ συμβὰν αὐτῷ ἐν τῇ τελευτῇ κακόν. οὐ γὰρ ἄξιον πολλοὺς καὶ μεγάλους ἐπαίνους ὑπὲρ αὐτοῦ δεδόντα καὶ τῶν συμβάντων αὐτῷ μνησθῆναι κακῶν. φασὶ γάρ, ὡς βουληθεὶς πρὸς οὐρανὸν ἀναπτῆναι σὺν τῷ Πηγάσῳ ἐξοιστρωθέντος τοῦ ἵππου παρὰ τοῦ Διὸς πίπτει καὶ χωλοῦται· κατὰ δέ τινας καὶ τυφλοῦται, καὶ ἐκπλανᾶται κατὰ τὸ Ἀλήϊον χωλός. φησὶ δὲ καὶ Ὅμηρος περὶ αὐτοῦ* (Il. *Z* 201. sq.)·

---

1. 2 *κραταιός, κοινὸν κρατερός, ποιητικὸν τὸ αὐτό, κατὰ μετάθεσιν τοῦ ρ̅* edd. ante Beckium; Oxon. editionis interpunctionem recepit Beck, qui sic scripsit: *κραταιὸς κοινόν, κρατερὸς ποιητικόν, κάρτερος τὸ αὐτὸ κ. μ. τοῦ ρ̅*; Heyne locum ita constituit: *κρ. κοινόν, κρατ. ποιητικόν, τὸ αὐτὸ δὲ κ. μ. τοῦ ρ̅ καρτερός.* — 3 *ἤγουν q v, ἤτοι* cett. — *ἐφόνευσε ποτέ q.* — *καὶ] κατά v.* — *τῶν γυν. μ'.* — 4. 5 *βουλαῖς μ' ξ'.* — 6 *τοῦ* ante *ἀέρος* omm. *q v μ'* et edd. ante Boeckhium. — *ἔαρος ξ'.* — 8 *τουτ. ἥτις ἔπνει πῦρ* ex *q v*, codd. Oxx. et glossa Mosch. in codd. mixtis addidi. — 11 *περὶ τῶν συμβάντων βελλεροφόντῃ* est in marg. *ι' μ' ξ'.* — *διασωπ. Γ, διασιγάσομαι* cett. — *εἶπε* om. *Γ.* — 14 *κακῶν* om. *ι''.* — 16 *χολοῦται* Vrat. *μ' ξ'.* — *καὶ* ante *τυφλ.* om. *Γ.* — 17 *ὅμ.* in VI. Iliados *π. αὐτοῦ ι'.*

Ἤτοι ὁ καππεδίον τὸ Ἀλήϊον οἶος ἀλᾶτο
Ὃν θυμὸν κατέδων, πάτον ἀνθρώπων ἀλεείνων.

gl. 130. * *οὐ λέξω, σιγήσω.* — * *αὐτῷ.* — * *θάνατον, δυστυχίαν· φασὶ γάρ, ὡς ἐναέριος ἐφέρετο ὁ Πήγασος, φέρων καὶ τὸν Βελλεροφόντην, ὃς καὶ κρημνηθεὶς ἐκεῖθεν χωλός τε καὶ τυφλὸς ἐγένετο καὶ ἀλώμενος ἀπέθανε·* — * * *τὴν δυστυχίαν, τὸν θάνατον.* — 131. *τὸν Πήγασον.* — *ἐν οὐρανῷ.* — * *ἄστρα οὕτω καλούμενα.* — 132. * *ἐκ παλαιοῦ πεποιημέναι ἢ τίμιαι·* — * * *αἱ τίμιαι.* — 133. *ὀρθόν.* — * * *βελῶν.* — *πέμποντα.* — *δίνησιν, συστροφήν.* — 134. * *ἔξω σκοποῦ·* — * * *παρὰ τὴν βούλησιν, ἣν προὐθέμην.* — 135. *τοὺς πλείστους ἐπαίνους.* — * *εὐτρεπίζειν·* — *οἰκονομεῖν, ἐκπέμπειν.*

133—135. *Germ.* *Ὁ νοῦς· ἐμὲ δὲ τὸν καρτύνοντα καὶ ἔχοντα καὶ ἰσχυροποιοῦντα ἐν ταῖν χεροῖν τὰ πολλὰ βέλεα οὐ χρὴ ἱέναι καὶ πέμπειν τὸν εὐθὺν ῥόμβον, τὴν δίνησιν καὶ ἀκοντίων παρὰ σκοπὸν καὶ ἔξω τοῦ σκοποῦ.*

Th. *Τὰ μὲν τοῦ Βελλεροφόντου καὶ τοῦ Πηγάσου οὕτως ἔσχεν· ἐμὲ δὲ ἱέντα εὐθὺν ῥόμβον ἀκόντων, ἤγουν σκοπὸν θέμενον ἐπαινεῖν Ξενοφῶντα, οὐ χρὴ κρατύνειν τὰ πολλὰ βέλη ἐν ταῖν χεροῖν παρὰ σκοπόν, ἤγουν οὐ δεῖ παρεκβάσει πολλῇ χρῆσθαι καὶ τοὺς πλείστους τῶν ἐπαίνων εἰς ἑτέρους ἀναλίσκειν.*

---

1 *ἤγουν* Γ' ante corr., *ἤτοι* Boeckh. — *ὃ* Vrat. Γ' μ'. — *ἀλᾶται* ξ'. — 2 *πάτον*] *πάντων* Vrat. ξ'. — *ἐλεείνων* ed. Ro. — 4—6 *φασὶ γὰρ* — *ἀπέθανε* in *A* et Aug. *B* (apud Mommsenum, Schol. Germ. p. 64) inter scholia leguntur. — 4 *φησὶ* Γ. — *ἐν ἀέρι* Γ. — 5 *κρημνιθεὶς* Γ, *κρημνησθεὶς* Δ. — 6 *ἀλώμ.* Δ. — 13 Post *ὁ* delevi *δὲ*. — *ἔχον* . . . . . (5 litt. perierunt) *σχυροπ.* U, correxi (*ἰσχυρ.* iam Mommsen restituit). — 15 *ἱέναι* U. — Ante *καὶ* fort. *τῶν ἀκόντων* periit. — 17 Hoc schol. om. Vrat. — Lemma *ἐμὲ δ' εὐθὺν* delevi cum Γ.— 18 *ἱέντα* Γ. — 20. 21 *παρ' ἐκβάσει* ξ'. — 21 *πλείστους* Γ' μ' ξ', *πλείους* cett.

130—135. *Μ.* *Σιωπήσομαι, ἤγουν σιγήσω τὸν θάνατον αὐτοῦ, τὸν Βελλεροφόντου δηλονότι. τοῦτο δέ φησιν, ἐπεὶ δυστυχὲς αὐτῷ τὸ τέλος ἐγένετο πεσόντι ἀπὸ τοῦ ἵππου καὶ χωλωθέντι. τὸν δέ, ἤγουν τὸν ἵππον, αἱ φάτναι τοῦ Διὸς αἱ ἀρχαῖαι ἐδέξαντο ἐν οὐρανῷ· ἄστρα γὰρ λέγουσιν εἶναι ἐν οὐρανῷ ἀρχῆθεν φάτναι καλούμενα καὶ ὄνοι. ἐμὲ δὲ χρὴ ἱέντα, ἤγουν βάλλοντα ῥόμβον, ἀντὶ τοῦ βολὴν ἀκόντων εὐθεῖαν οὐκ ἔξω τοῦ σκοποῦ ἐρείδειν τὰ πλείω βέλη διὰ τῶν χειρῶν. συμβολικὸς ὁ λόγος ἀντὶ τοῦ ἐμὲ δὲ χρὴ προσήκουσαν ποιούμενον τὴν ὁρμὴν τῶν λόγων, τουτέστι διὰ τὸ κατὰ τὸ προσῆκον ποιεῖσθαι τὴν ὁρμὴν τῶν λόγων οὐκ ἔξω τῆς προκειμένης ὑποθέσεως ποιεῖσθαι τοὺς πλείους λόγους. — Ῥόμβος ὁ κοινῶς στροῦμβα, ἥτις καὶ βέμβιξ λέγεται καὶ στρόμβος, ἀφ᾽ οὗ τὸ στρομβηδόν. ἐνταῦθα δὲ ῥόμβον λέγει ἀντὶ τοῦ στρόμβησιν, λέγει δὲ οὕτω τὴν βολὴν τῶν ἀκόντων διὰ τὸ μετὰ δινήσεως αὐτὴν γίνεσθαι.*

gl. 136. *ἤγουν ὑπὸ Μουσῶν κατεχόμενος. — * τοῖς ἐνδόξοις. — * ὑπακούων.*

137. *Τr.* *Ὀλιγαιθίδαι φατρία ἐν Κορίνθῳ ἀπό τινος Ὀλιγαίθου, ἧς ἦν Ξενοφῶν.*

gl. 137. * *τοῖς ἀπὸ Ὀλιγαίθου καταγομένοις. — * ἐπαι-*

---

1 *σύνταξις* margo *μ′ ξ′*. — *σιωπ.* *q v*, *διασιγάσομαι* e Triclinii sententia cett. — *σιγήσομαι ξ′*. — Quæ post *θάνατον* leguntur, om. *ι″* in spatio. — **2** *τόν*] *τοῦ v*. — **4** *τὸν δέ q v μ′ ξ′*, *τόνδε* cett. — **5** *γὰρ* om. *q*. — **6** *καλούμενοι q μ′*, *καλούμεναι v*. — **7** *βουλὴν* Vrat. — **8** *τοῦ*] *τοῦ καὶ q*. — **10. 11** *τουτέστι* — *λόγων* om. *q*. — **11** *προκειμένης q v* et codd. Oxx., *προσηκούσης* cett. — **12** *πλείονας* codd. Oxx., *πλείστους* edd. — **12** *ῥ. ἡ v*. — *κοινὸς ξ′*. — **13** *στρούμβα v ξ′*. — *βέμβριξ v*, *βίμβιξ* Vrat., *βίβιξ μ′*, *βέβιξ ξ′*, *βόμβιξ* edd. ante Oxx. — *καὶ* post *οὗ* omisi cum *qv*. — **14** *στροβῆσον q*. — **15** *ἀκοντίων v*. — **17** Ad *ἕκων* (v. 136) glossa *ἀντὶ τοῦ εἴκων*, ad *τ᾽ ἔβαν* (v. sequ.) *τοι* legitur in *a*. — **19** Hoc scholium etiam in *ι″* legitur. — **21** sq. *Ἐπίκουρος*] *ἤγουν βοηθός· βοήθεια γὰρ* etc. in codd. mixtis et edd. inter scholia legitur.

νέτης, βοηθός· βοήθεια γὰρ τῶν ἀγαθῶν ἔργων τὰ ἔπη οὐκ ἐῶντα τοῦ λοιποῦ λήθην αὐτῶν κατακαυχήσασθαι· — * * βοηθός. — 138. * ἀγωνισαμένοις δηλονότι ἐν Ἰσθμῷ καὶ Νεμέᾳ. — * ἐν ὀλίγῳ. — 139. ποιήσω. — πάντα, ὁμοῦ πάσας τὰς νίκας.

138. 139. *Germ.* Ὁ νοῦς· ἐν ἔπει δὲ καὶ ἐν λόγῳ παύρῳ καὶ σμικρῷ καὶ συντόμῳ θήσω ἀθρόα καὶ πολλὰ ἢ ὁμοῦ, τά τε ἐν Ἰσθμοῖ τὰ ἐν τῇ Νεμέᾳ τε φανερά.

140. *Th.* Ἀλαθής τέ μοι ἔξορκος] ἤγουν εἰ ὅρκῳ χρήσομαι ὡς κατὰ ἀλήθειαν καὶ οὐ πρὸς χάριν ἐπαινῶ αὐτόν, ἀληθεύσω.

gl. 140. ἐξαίρετος ὅρκος. — * ἐπενεχθήσεται. — 141. * ὑπῆρξε τοῖς Ὀλιγαιθίδαις. — 142. * ἀπὸ τοῦ Ἰσθμοῦ καὶ τῆς Νεμέας. — * ἡδύλογος. — 143. * ἀγαθοῦ· — ὑπῆρξε τοῖς Ὀλιγαιθίδαις· λ' γὰρ ἐν ἑκατέρῳ ἀγῶνι ἐνίκησε τῶν Ὀλιγαιθιδῶν. — 144. ἔργα. — * ἐν. — τῶν Ὀλιγαιθιδῶν. — * * φαίνεται. — 145. * πρότερον. — * λεχθῆναι· — ῥηθῆναι. — * ἐν τῷ προοιμίῳ, ὅτε τρισολυμπιονίκην τὸν οἶκον αὐτῶν εἶπεν. — 146. * ἔργα· — καὶ τὰς μελλούσας αὐτοῖς συμβήσεσθαι νίκας. — ὅτε γενήσονται. — 147. γενήσεσθαι αὐτάς. — 148. * τὸ ἀποτέλεσμα· — τῶν εὐχῶν.

136—148. *M.* Ταῖς Μούσαις γὰρ ταῖς ἐπὶ λαμπρῶν θρόνων ἱδρυμέναις, ἤγουν ταῖς τιμίαις καὶ ἐν ἐνδόξῳ τάξει τεταγ-

---

7 et 8 Post *πολλὰ* et *Νεμέᾳ τε* delevi, post *ὁμοῦ* addidi comma. Videtur Germanus in textu post *Νεμέᾳ* punctum non legisse. — **8** *τά τε ἐν Νεμέᾳ?* — **9** Lemma om. *Γ*. — *ἀληθής* odd. ante Boeckh. — **10** *ἐπαινῶν ι'*. — **14—16** Glossa Thom.-Tricl. in codd. mixtis ad v. 141 adscripta est. — **22** Lemma *Μοίσαις γὰρ ἀγλαοθρόνοις* delevi *qι''* secutus. — *σύνταξις* margo *μ' ξ'*. — Quæ post *ταῖς Μούσαις* leguntur, om. *ι''* in spatio. — **23** *ἱδρυμένοις ξ*. — *ἤγ. ταῖς τιμ.* om. *ξ*. — *ἐν* ex *q ξ'* ed. Ox. addidi; deest etiam in *v*, habet *w*. — *ἐνδόξῃ q*.

μέναις εἴκων, ἤτοι ὑπηρετῶν, ἦλθον ἐπίκουρος, ἀντὶ τοῦ ὑμνητὴς τοῖς Ὀλιγαιθίδαις, τουτέστι τῇ φατρίᾳ τοῦ Ξενοφῶντος, ἀντὶ τοῦ τοῖς Κορινθίοις, διὰ τὰ ἐν Ἰσθμῷ αὐτῶν ἔργα καὶ διὰ τὰ ἐν Νεμέᾳ. ἐν βραχεῖ δὲ λόγῳ ποιήσω φανερὰ πολλὰ ὁμοῦ, καὶ ὅρκος ἔσται ἐμοὶ ἐπὶ τούτοις ἀληθής. ἑξηκοντάκις (141) γὰρ ἀμφοτέρωθεν, ἤγουν ἀπὸ τοῦ Ἰσθμοῦ καὶ τῆς Νεμέας, βοὴ κήρυκος ἀγαθοῦ, κατὰ τὸ κηρύττειν δηλονότι, ἡδύφωνος ἀνεκήρυξεν, αὐτοὺς δηλονότι. ἡδύγλωσσον δὲ λέγει τὴν βοὴν οὐ διὰ τὸ ἐμμελὲς αὐτῆς, ἀλλὰ διὰ τὸ τερπνὴν παρέχειν τὴν ἀνακήρυξιν τοῖς ἀνακηρυττομένοις. τὰ δὲ (144) ἔργα αὐτῶν τὰ ἐν Ὀλυμπίᾳ, τουτέστιν αἱ νῖκαι δὲ αὐτῶν αἱ ἐν Ὀλυμπίᾳ δοκοῦσιν ἤδη πρότερον εἰρῆσθαι (ἔφη γὰρ αὐτοὺς ἐν τῇ ἀρχῇ τρὶς νενικηκέναι ἐν τῇ Ὀλυμπίᾳ) καὶ τὰ ἐσόμενα, ἤγουν καὶ τὰς ἐσομένας αὐτοῖς νίκας τότε ἄν, ὅτε ἔσονται δηλονότι, φαίην σαφῶς· νῦν δὲ ἐν ἐλπίσιν ἔχω τὸ τέλος τῆς νίκης αὐτῶν ὅμως ἐν τῷ θεῷ.

gl. 148. ἡ ἐκ γενέσεως αὐτῶν εὐτυχία. — * ὁ ἀπὸ γένους κατιών. — * προέρχοιτο· — εἰς τέλος ἀφίξεται. — 149. ὡς ἐφόρῳ τοῦ ἀγῶνος· — * * ἀντὶ μιᾶς. — τῷ Ἄρει ὡς πατρῴῳ τῶν Ἠλείων θεῷ. — 150. τὰ ἔργα αὐτῶν. — * ἐξοχῇ· — ἤγουν ἐν Πυθοῖ. — 151. * ἔνθα ἐτελεῖτο τὰ Ἥραια τὰ καὶ Ἑκατόμβαια. — 152. * ἔνθα ἐτελεῖτο καὶ τὰ Ἰολάϊα. —

1 εἴκω ξ'. — Post ἤτοι Boeckh nescio unde ὑπείκων inseruit. — 1. 2 ἀντὶ τοῦ ὑμνητὴς omm. Vrat. μ' ξ' et edd. ante Boeckh. — 2 ὀλιγοθίδαις ξ· — 3 αὐτῶ ἔργα ξ'. — 4. 5 ὁμοῦ πολλά ed. Boeckh. — 5 ἐμοῖ ξ'. — ἐμοί om. q. — 6 γάρ om. q. — τῆς Ἰσθμοῦ edd. inde a Beckio. — 7 τὸ κηρύττει ξ', τὸ κρύπτειν Vrat. μ'. — 7. 8 ἡδύφ. — δηλον. om. ξ'. — 10 ἀνακυττομένοις q. — 11 δέ om. v. — 11—13 δοκοῦσιν — Ὀλυμπίᾳ omm. q ξ'. — 13 τρεῖ v. — τῇ om. v. — 14 ὅτ' ἔσονται q. — 15 δὲ ἐν q v μ' ξ', δὲ Vrat δ' ἐν cett. — 18 Ad v. 149 hæc adscripsit gloss. libri b τῷ μὲν Διί, ὅτι ὁ ἀγὼν ἦν ἀνατεθειμένος αὐτῷ, τῷ δὲ Ἄρει, ὅτι ἦν ἔφορος τῆς ἀνδρείας. — 21 In A ad v. 151—165 et ad totum carmen XIV nullæ exstant glossæ.

153.* ὁ βασιλεύων. — 154. τοῦ Ἀπόλλωνος. — 155. Πελλάνα] ἡ νῦν Κασάνδρεια· — * ἔνθα ἐτελεῖτο τὰ Θεοξένια καὶ τὰ Ἕρμαια· τὸ δὲ ἆθλον ἦν χλαῖνα. — Σικυών] πόλις Βοιωτίας· — * ἔνθα ἤγετο τὰ Πύθια. — 156. * ἐν οἷς ἐτελεῖτο τὰ Διόκλεια. — ἡ Σαλαμὶς ἢ ἡ Αἴγινα· — * ἔνθα ἐτελεῖτο τὰ Αἰάκεια. — 157. * ἔνθα ἤγετο τὰ Δημήτρια τὰ καὶ Ἐλευσίνια. — * ἔνθα ἐτελεῖτο τὰ Ἡράκλεια. — 158. αἱ ἐν Σικελίᾳ πόλεις. — 159. * * πόλιες] συνίζησις. — 161. ἔργα τῶν Ὀλιγαιθιδῶν. — 162. * μείζω. — * καὶ νοῆσαι. — 163. * ἐλαφροῖς ὑφ' ἡδονῆς. — * ἀπελθεῖν· — ἐπιστρέψαι ἐμὲ ἢ τὸν Ξενοφῶντα. — 164. * πάντα τελειῶν. — τιμήν. — * * μὴ δίδοι γράφε, ἀλλὰ διδούς· τοῦτο γὰρ κάλλιον.

163—165. *Germ.* Ὁ νοῦς· ἀλλὰ ὦ Ζεῦ τέλειε, δίδοι καὶ δίδου ἐκνεῦσαι καὶ περιπατῆσαι ἐν κούφοις δή με ποσί· δίδου τε αἰδῶ καὶ τύχην γλυκεῖαν τερπνῶν καὶ ποιημάτων καὶ ἔργων.

148—165. *M.* Εἰ δὲ ὁ δαίμων ὁ γενέθλιος, ἤγουν ὁ θεὸς ὁ διοικῶν τοῦ Ξενοφῶντος τὸν βίον ἀπὸ γενέσεως, ἕρποι, τουτέστι προκόπτοι, ἐπιδιδοίη, τῷ Διὶ καὶ τῷ Ἐνυαλίῳ, ἤγουν τῷ Ἄρει, δώσομεν πράττειν τοῦτο· τῷ Διὶ μὲν ὅτι ὁ ἀγὼν αὐτῷ ἦν ἀνατεθειμένος, τῷ δὲ Ἄρει ἐπειδὴ ἐπιχώριος καὶ πατρῷος τῶν Ἠλείων ὁ Ἄρης. τὰ δὲ ἐπὶ τῇ ὀφρύϊ, ἀντὶ τοῦ τῇ ἐξοχῇ τῇ τοῦ Παρνασοῦ, τουτέστιν ἐν τοῖς Πυθίοις ἔργα αὐτοῦ, καὶ τὰ ἐπὶ τῷ Ἄργει (151), ἔνθα ἐτελεῖτο τὰ Ἥραια τὰ καὶ Ἑκατόμβαια· ἐδίδοτο δὲ τῷ νικήσαντι ἀσπὶς χαλκῆ· καὶ τὰ ἐν ταῖς

4 τὰ Πύθια ego addidi. — 13 Post Ὁ delevi δέ. — 14 δή scripsi pro δεῖ. — 17 Hoc scholium om. ι' in spatio. — Lemma εἰ δὲ δαίμων γενέθλιος omisi cum q v. — σύνταξις margo μ' ξ'. — 19 προσκόπτοι μ'. — ἐπιδιδοίη υιω, ἐπιδοίη cett. — ἐναλίῳ μ'. — 20 τῷ δὶ μὲν qv, τῷ μὲν δὶ cett. — 20. 21 αὐτῷ ἦν q v ξ', ἦν αὐτῷ cett. — 21 ἀνατιθεμένος ξ'. — 22 τῇ omm. Vrat. ξ'. — τῇ ex q v est. — 25 χαλκῆ ξ'. — τὰ om. Vrat.

Θήβαις (152), ἔνθα ἤγετο τὰ Ἡράκλεια τὰ καὶ Ἰολάια, βαβαὶ τοῦ πλήθους ὅσα ἐστί. καὶ ἐν τοῖς Ἀρκάσιν ἀνάσσων, ἤγουν νικῶν, φεῦ τοῦ πλήθους ὅσα ἐστὶν ἔργα αὐτοῦ. μαρτυρήσει τὰ ἔργα αὐτοῦ ὁ βωμὸς τοῦ Λυκαίου Διὸς ὁ ἄναξ ὁ ἐν Ἀρκαδίᾳ, καὶ ἡ Πελλήνη (155)· πόλις δὲ ἦν αὕτη τῆς Ἀχαίας, ἔνθα ἐτελεῖτο τὰ Θεοξένια καὶ τὰ Ἕρμαια· τὸ δὲ ἆθλον ἦν χλαῖνα· καὶ ἡ Σικυών, ἔνθα ἤγετο τὰ Πύθια· τῆς Βοιωτίας δὲ ἦν αὕτη ἡ πόλις· καὶ τὰ Μέγαρα, ἐν οἷς ἐτελεῖτο τὰ Διόκλεια, καὶ τὸ ἄλσος ἀντὶ τοῦ ἡ καθέδρα τῶν Αἰακιδῶν ἡ καλῶς τῇ θαλάττῃ περιειλημμένη, ἤγουν ἡ Αἴγινα, ἔνθα ἐτελεῖτο τὰ Αἰάκεια. μαρτυρήσει καὶ ἡ Ἐλευσὶς τὰ ἔργα αὐτοῦ, ἔνθα ἤγετο τὰ Δημήτρια τὰ καὶ Ἐλευσίνια, καὶ ἡ πλουσία Μαραθών, ἔνθα ἐτελεῖτο τὰ Ἡράκλεια· ἦν δὲ τὸ ἆθλον ἀργυραῖ φιάλαι· καὶ αἱ πόλεις αἱ καλλίπλουτοι (159), ἤγουν αἱ πλούτῳ κομῶσαι αἱ ὑποκάτω τῆς Αἴτνης τῆς ὑψηλὴν ἐχούσης κορυφήν, τουτέστιν αἱ Συράκουσαι, ἔνθα ἐτελεῖτο ἀγὼν Ἴσθμια καλούμενος. καὶ ἡ Εὔβοια μαρτυρήσει αὐτοῦ τὰ κατορθώματα, καὶ κατὰ πᾶσαν τὴν Ἑλλάδα ἐρευνῶν εὑρήσεις αὐτῶν ἔργα μείζονα ἢ ὡς ἰδεῖν, ἀντὶ τοῦ νοῆσαι. ἀλλά,

---

3 Ante *μαρτυρήσει* lemma *μαρτυρήσει Λυκαίου* delevi cum *q v*. — Novum comma incipiunt *μ' ξ'*. — *σύνταξις* margo *ξ'*. — **4** *ὁ* ante *ἄναξ* om. *q*. — *ὁ ἄναξ ὁ* om. *ξ'*. — *ἐν ἀρκάδα ξ'*. — **5** *πηλλήνη q*, *πελλάνα* Vrat., *πελήνη ξ'*. — *αὕτη*] *ἡ Πελλήνη q*. — *Ἀργοῦς ἢ* ante *τῆς Ἀχ.* ex Cygn. inseruit Bœckh. — *εὐχαίας q*. — **6** *θεοξένεια q*. — **7** *τὰ* omm. *qv*. — *αὐτὴ ξ'*. — *ἡ* ex *q* Vrat. *μ'* addidi, deest etiam in *vw*. — **9** Ante *ἡ καθ.* delevi *καὶ* cum *q ξ v*. — **10** *αἰάκεια q*, *αἰάκια* cett. (etiam *v*). — **11** *ἐλευσις ξ'*. — *τὰ καὶ*] *καὶ τὰ q v*. — **13** *ἀργυραὶ φιάλαι v*, *ἀργυραῖ φιάλαι* Cygn., *ἀργυρᾶ φιάλαι q*, *ἀργυρᾶ* (*ἀργυρὰ ξ'*) *φιάλη* cett. — **14** *κωμῶσαι* Vrat. *μ' ξ'*. — *ὑπὸ κάτω* Vrat. *μ' ξ'*. — **15** *τὴν ὑψ. q*. — **16** *ἔβοια q*, *εὔοια v*. — **18** *ἔργα αὐτῶν v* Vrat. *ξ'*. — Inde a voce *ἀλλὰ* novum comma incipiunt *μ' ξ'*. — *σύνταξις* margo *ξ'*.

(163) *ὦ Ζεῦ τέλει, ἤγουν ποίει ἐκνεῦσαί με, ἤτοι ἐξελθεῖν ἀνύσαντα ἤδη τὸν ὕμνον ἐλαφροῖς ποσί, τουτέστιν ἀνεπαχθῶς, ἐλαφρῶς, ὑπ' οὐδενὸς βαρούμενον, αἰδῶ διδούς, ἀντὶ τοῦ δύναμιν αἰδέσιμον, καὶ εὐτυχίαν ἡδέων γλυκεῖαν.*

---

3 *αἰδῶ* q v ξ'. — 4 *πραγμάτων* post *ἡδέων* inserunt Oxx., Beck, Heyne.

Ἐπίνικοι Ὀλυμπιονίκαις.

Ἀσωπίχῳ Ὀρχομενίῳ παιδὶ σταδιεῖ.

[Δημητρίου Τρικλινίου]

Περὶ τῶν κώλων τῆς α' μονοστρόφου στροφῆς τοῦ ιδ' εἴδους τῶν Ὀλυμπίων. Παλαιόν.

Τὸ ιδ' εἶδος τῶν Ὀλυμπίων οὐκ ἔστιν ἐπῳδικὸν ὡς τὰ λοιπά, ἀλλὰ β' ἐστὶ στροφῶν μονοστρόφων· οὔτε ἀντιστροφὰς γὰρ ἔχουσιν οὔτε ἐπῳδούς, ἀλλὰ μονόστροφοί εἰσιν ὡς εἴρηται. ἔστι δὲ τῆς μὲν α' στροφῆς τὰ κῶλα ιη'. Τὸ α' ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον, τοῦ α' ποδὸς ἐπιτρίτου γ', τοῦ β' παίωνος γ' καὶ συλλαβῆς. καλεῖται δὲ Σαπφικὸν ἢ Ἱππωνάκτειον· εὕρημα γάρ ἐστι Σαπφοῦς, ὁ δὲ Ἱππῶναξ πολλάκις ἐχρήσατο. ἔστι δ' ἐννεασύλλαβον. Τὸ β' ἐπιωνικὸν τρίμετρον

Scholium metricum Bœckh primus edidit ex Vrat. A. Mosc. B, ego eundem Vrat., α' (qui p. 421, 3 iterum incipit) ι' μ' ξ' contuli. In q hoc legitur scholium metricum: *τὸ ιδ' εἶδος μονοστροφικόν ἐστιν ἐκ ιη καὶ ιζ, τὰ δὲ λοιπὰ ιξ οὕτως.* — **5** *τῶν Ὀλ.* om. ι'. — *παλαιὸν* in fronte inscriptionis legitur in ξ'. — **6** *τὸ τεσσαρασκαιδ.* μ'. — **7** *οὔτε γὰρ ἀντ.* ι'. — *ἀντιστροφᾶς* ξ'. — **8** *ἐπῳδάς* Vrat., *ἐπωδικάς* μ'. — **9** *μὲν* om. ι''. — **10** γ', quod Bœckh de suo addiderat, est in ι' μ'. — **10. 11** *γ' τοῦ β' π.* om. ξ'. — *τοῦ δὲ δευτ.* ι''. — **11** *ἱππον.* Vrat. μ', ἱπον. ξ'. — **12** *εὕρ. δέ ἐστι* ι''. — *ἱππόναξ* Vrat. μ' ξ'. — **13** *δ' ἐνν.* ex Vrat. ι'' μ' ξ' est pro *δὲ ἐνν.*

καταληκτικὸν, τοῦ α' ποδὸς ἐπιτρίτου γ', τοῦ β' παίωνος γ' ἀντὶ Ἰωνικοῦ, τοῦ δὲ γ' χοριάμβου καταληκτικοῦ, ὃς γίνεται δάκτυλος. Τὸ γ' ἀντισπαστικὸν διπλοῦν Φερεκράτειον· σύγκειται γὰρ ἐκ β' κώλων Φερεκρατείων, ὧν τὸ β' ἀτελές. τὸ μὲν γάρ ἐστι δίμετρον καταληκτικὸν ἤτοι ἑφθημιμερές, τὸ δὲ δίμετρον βραχυκατάληκτον ἀντὶ ἀντισπάστου παίωνα β' ἔχον. Τὸ δ' παιωνικὸν δίμετρον καταληκτικόν, ἐκ παίωνος δ' καὶ ἀναπαίστου. Τὸ ε' ἐπιωνικὸν τρίμετρον καταληκτικόν, τῆς α' συζυγίας ἰαμβικῆς, τῆς β' Ἰωνικῆς ἀπ' ἐλάττονος ἤτοι παίωνος γ' ἀντί Ἰωνικοῦ, τῆς δὲ γ' τροχαϊκῆς καταληκτικῆς. Τὸ ς' ἑξασύλλαβον, δακτυλικὴ διποδία ἤτοι δακτυλικὸν δίμετρον. ὡς δ' ἐμοὶ δοκεῖ, παιωνικόν ἐστι Κρητικὸν λεγόμενον δίμετρον ἀκατάληκτον ἐκ β' Κρητικῶν. Τὸ ζ', ὡς ἐμοὶ δοκεῖ, ἀσυνάρτητόν ἐστιν ἐκ παιωνικοῦ Κρητικοῦ διμέτρου ἀκαταλήκτου καὶ ἀντισπαστικοῦ διμέτρου βραχυκαταλήκτου, ἢ κατὰ συνίζησιν τῆς τελευταίας πενθημιμεροῦς, ὃ καλεῖται δοχμιακόν, τὸ ἀντισπαστικὸν δηλονότι. εἰ δὲ βούλει, ἀντισπαστικὸν ἔστω τρίμετρον ἀκατάληκτον ἐξ ἐπιτρίτου δευτέρου, διϊάμβου καὶ παίωνος α' διὰ τὴν ἀδιάφορον. Τὸ η' τροχαϊκὸν ἑφθημιμερές, ἤτοι Εὐριπίδειον ἢ ληκύθιον. Τὸ θ' ἀσυνάρτητον ἐκ δακτυλικῆς διποδίας ἤτοι διμέτρου ἀκαταλήκτου καὶ τροχαϊκοῦ πενθημιμεροῦς. Τὸ ι' ἀντισπαστικὸν ἑφθημιμερὲς Φερεκράτειον ἐξ ἀντισπάστου ἑξασήμου ἢ ἑπτασήμου καὶ τροχαϊκῆς κατακλεῖδος. Τὸ ια' Ἰωνικὸν ἀπὸ μείζονος ἑφθημιμερές. Τὸ ιβ' δακτυλικὸν πενθημιμερές. Τὸ ιγ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ ιδ' Ἰωνικὸν δίμετρον ὑπερκατάλη-

---

4 *εἰς δύο κ. ξ'.* — *γὰρ ἔστι ι'.* — **5** *ἤγουν ι'.* — **9** *ἀπελάσσ. μ'.* — *ἐλάττονος* scripsi pro *ἐλάσσονος.* — *ἤγουν ι'.* — **11** Ad *δακτυλικὸν* hæc annotavit Boeckh: «Hoc loco aliena multa inserta sunt in Vrat. partim ab ipso librario posthac deleta. Igitur omisi.» — **13** *συνάρτητον* Vrat. — *ἐστι* Vrat. *μ'.* — **22** *ἑξασ. μ'.*

κτον ἀπ' ἐλάττονος ἐξ Ἰωνικῆς καὶ τροχαϊκῆς συζυγίας καὶ συλλαβῆς. ἃ δὲ καὶ περὶ τούτου καὶ τῶν ἄνω κώλων φασίν, οὐκ ὀρθῶς ἔχει. Τὸ ιε' Ἰωνικὸν ἀπ' ἐλάττονος ἐφθημιμερές, τῆς α' συζυγίας τροχαϊκῆς ἤτοι ἐπιτρίτου β', τῆς δὲ β' Ἰωνικῆς καταληκτικῆς. Τὸ ις', ὡς ἐμοὶ δοκεῖ, ἀναπαιστικόν ἐστι δίμετρον ἀκατάληκτον· εὕρηται γὰρ τοῦ Ἀπόλλωνος τὸ ᾱ καὶ μακρόν. εἰ δὲ βούλει, ἔστω ὁ β' ποὺς τρίβραχυς· οἰκεῖος γὰρ τῷ μέτρῳ. τοῦτο καὶ Ἰωνικὸν γένοιτ' ἂν ἀπ' ἐλάττονος τρίμετρον καταληκτικόν, παίωνος γ' ἀρχομένου ἀντὶ Ἰωνικοῦ. ἃ δὲ καὶ περὶ τούτου λέγουσιν, οὐ καλά. Τὸ ιζ' ἐκ χοριάμβου καὶ ἰαμβικῆς συζυγίας ἤτοι ἐφθημιμερὲς χοριαμβικόν. ἐμοὶ δὲ δοκεῖ καὶ τροχαϊκὸν εἶναι δίμετρον ἀκατάληκτον, τοῦ α' ποδὸς δακτύλου· τὸ γὰρ ἀέναον μακρὸν ἔχει τὸ ᾱ, ὡς καὶ τὸ Ἀέναοι Νεφέλαι παρ' Ἀριστοφάνει (Nub. 276). Τὸ ιη' ἰαμβικὸν ἐφθημιμερές. Ἐπὶ τῷ τέλει παράγραφος.

Περὶ τῶν κώλων τῆς β' μονοστρόφου στροφῆς.

Ἡ β' δὲ τοῦ αὐτοῦ ἐπινικίου μονόστροφος στροφὴ κώλων ιζ'. Τὸ α' ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν Φαλαίκειον, τῆς α' συζυγίας τροχαϊκῆς, τῶν ἄλλων δὲ ἰαμβικῶν. Τὸ β' χοριαμβικὸν τρίμετρον καταληκτικὸν ἐκ χοριάμβου καὶ ἰαμβικῶν συζυγιῶν. Τὸ γ' Ἀλκμαιώνειον δεκασύλλαβον· σύγκειται δὲ ἐξ ἰάμβων β' καὶ δακτύλων β', καὶ ἔστι τοῦ Ἀλκμαίωνος εὕρημα. Τὸ δ'

---

1 et 3 ἐλάττονος scripsi pro ἐλάσσονος. — 1—3 ἐξ — ἐλάττονος om. ξ. — 3 τὸ ε' ἰων. ἀπελ. μ'. — Cum voce ἐφθ. iterum incipit α'. — τῆς] τῇ μ'. — 4 ἤγουν ι''. — 6 τὸ πρῶτον καὶ μ. ξ'. — 8 ἐλλάττονος α' ι'' μ'', ἐλάσσονος cett. — 9 ἀρχ. τρίτου α' ante corr. — 9. 10 τούτου om. ι''. — 11 ἤγουν ι''. — 13 ἀένναον ξ'. — 13. 14 ὡς παρ' ἀριστοφάνῃ ἀένναοι νεφ. ξ'. — 17 δὲ ex α' addidi. — 20 καὶ omm. codd. Bœckhii, qui καὶ δύο inseruit.

ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐκ τροχαϊκῆς καὶ ἰαμβικῆς συζυγίας μεμιγμένον. Τὸ ε΄ χοριαμβικὸν δίμετρον ἀκατάληκτον ἐκ χοριαμβικῆς καὶ ἰαμβικῆς συζυγίας. Τὸ ϛ΄ χοριαμβικὸν δίμετρον ὑπερκατάληκτον ἐκ χοριαμβικῆς καὶ ἰαμβικῆς συζυγίας. Τὸ ζ΄ ἀντισπαστικὸν δίμετρον καταληκτικὸν ἐξ ἀντισπάστου καὶ τροχαϊκῆς κατακλεῖδος. Τὸ η΄ προσοδιακὸν ἐκ χοριάμβου καὶ Ἰωνικοῦ ἀπ᾽ ἐλάττονος, ὡς ἐμοὶ δοκεῖ. ἃ δὲ καὶ περὶ τούτου λέγουσιν, οὐ καλά. Τὸ θ΄ ἐκ β΄ σύγκειται ἡμιολίων, τοῦ α΄ ἀναπαιστικοῦ, τοῦ β΄ δὲ ἰαμβικοῦ· γ΄ γάρ εἰσιν ἀνάπαιστοι καὶ γ΄ ἴαμβοι. τὸ γὰρ ἡμιόλιον, ὡς οἶσθα, ἥμισύ ἐστι καὶ ὅλον. Τὸ ι΄ ἀντισπαστικὸν τρίμετρον ἀκατάληκτον Ἀσκληπιάδειον, ἐκ τροχαϊκῆς καὶ ἀντισπαστικῆς καὶ ἰαμβικῆς συζυγίας. Τὸ ια΄ δακτυλικὴ τριποδία ἤτοι δακτυλικὸν τρίμετρον. ὡς δὲ ἐμοὶ δοκεῖ, προσοδιακόν ἐστι δίμετρον ἀκατάληκτον ἐκ χοριάμβου καὶ Ἰωνικοῦ ἀπ᾽ ἐλάττονος. Τὸ ιβ΄ ἰαμβικὸν ἐφθημιμερές, ἐμοὶ δὲ χοριαμβικὸν δοκεῖ ἐφθημιμερές. Τὸ ιγ΄ ἀντισπαστικὸν τρίμετρον καταληκτικόν, τῆς α΄ συζυγίας τροχαϊκῆς ἤτοι παίωνος γ΄, τῶν δὲ ἑξῆς ἰαμβικῶν. ἐμοὶ δὲ ἀναπαιστικὸν δοκεῖ δίμετρον ἀκατάληκτον, τοῦ γ΄ ποδὸς τριβράχεος. Τὸ ιδ΄ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον Γλυκώνειον ἐξ ἀντισπαστικῆς καὶ ἰαμβικῆς συζυγίας. Τὸ ιε΄ ἰαμβικὸν δίμετρον ἀκατάληκτον ἐκ σπονδείων

1 βραχυκατάληκτον ἐξ ξ΄. — 3 καὶ τροχαϊκῆς συζ. ξ΄, om. Vrat. — 5 ἐξ ἀντισπαστικοῦ ι΄΄. — 7 ἐλάττονος pro ἐλάσσ. α΄ Vrat. μ΄. — 9 γάρ ἐστιν ι΄΄, γάρ ἐστιν ξ΄. — 11. 12 ἐκ τρ. συζ. κ. ἀντ. κ. ἰ. ξ΄. — 13 ἤγουν ι΄΄. — 15 ἀπ᾽ ἐλάττονος α΄ Vrat. μ΄ ξ΄, a minori ι΄΄, ἀπ᾽ ἐλάσσονος cett. — 15. 16 δοκεῖ χορ. μ΄ ξ΄. — 17 τῆς α΄ συζ. ἰαμβ. punctis suppositis deletum est in ξ΄. — ἤγουν ι΄΄. — 18 ἀναπ. δοκεῖ α΄ ι΄΄ μ΄ post corr. ξ΄, δοκεῖ ἀναπ. cett. — 19 «Post verba παίωνος τρίτου in Vrat. est: τοῦ τρίτου ποδὸς τριβράχεος. His omissis Mosc. B. præbet ea quæ dedi: τῶν δὲ ἑξῆς usque ad ἀκατάληκτον, nisi quod in hoc libro est τῷ δὲ ἑξῆς ἰαμβικῷ.» *Boeckh*. In α΄ ι΄΄ μ΄ ξ΄ verba τοῦ τρ. π. τρ. eo quo edidi loco leguntur. — 21 σπονδείου ξ΄.

καὶ δακτύλων. ἐμοὶ δὲ καὶ Ἰωνικὸν δοκεῖ ἀπὸ μείζονος τρίμετρον βραχυκατάληκτον, τῆς α' συζυγίας Ἰωνικῆς, τῆς δὲ β' τροχαϊκῆς ἤτοι ἐπιτρίτου δ', καὶ β' συλλαβῶν. Τὸ ις' χοριαμβικὸν τρίμετρον καταληκτικόν, ἐκ χοριαμβικῆς καὶ ἰαμβικῆς συζυγίας καὶ βακχείου. Τὸ ιζ' ἰαμβικὸν πενθημιμερές. Ἐπὶ τῷ τέλει τῆς β' ταύτης στροφῆς κορωνὶς μόνη.

---

1. Tr. Γέγραπται ὁ ὕμνος Ἀσωπίχῳ τῷ ἀπὸ Ὀρχομενοῦ νικήσαντι τὴν οϛ' Ὀλυμπιάδα. ἱ λόγος πρὸς τὰς Χάριτας.

Th. Ἐπειδὴ ὁ μὲν Ἀσώπιχος Ὀρχομένιός ἐστιν, ὁ δὲ Κηφισὸς ποταμὸς περὶ τὸν Ὀρχομενόν, ἐν ᾧ ποταμῷ τιμῶνται αἱ Χάριτες, εἰκότως ἄρα ὁ ποιητὴς προσφωνεῖ πρῶτον ταῖς Χάρισι. δύο δὲ Ὀρχομενοί εἰσιν· ὁ μὲν ἐν Ἀρκαδίᾳ πολύμηλος καλούμενος, ὁ δὲ ἐν Βοιωτίᾳ Μινύειος, ἀπὸ Μινύου τοῦ Θεσσαλοῦ Καλλιρόης καὶ Ποσειδῶνος υἱοῦ, ἀφ' οὗ καὶ τὸ γένος τῶν Ἀργοναυτῶν· Μινύειοι γὰρ οὗτοι λέγονται. Ὀρχομενὸς δὲ καὶ ἐπὶ ἀρσενικοῦ καὶ θηλυκοῦ εὕρηται.

gl. 1. * * Τὸ προοίμιον εὐκτικόν. — * * τοῦ Κηφισοῦ ποταμοῦ. — κληρωσάμεναι. — 2. * οἰκεῖτε. — ἤγουν τὴν ἱππικωτάτην Ὀρχομενίων πόλιν. — 3. * εὔγεω ἢ εὐγείου· — * * εὐγείου.

---

1 δὲ om. ξ'. — 2 τῆς δὲ δευτ. α' ι'' ξ', τῆς δευτ. δὲ cett. — 3 ἤγουν ι''. — δ' ex α' ι'' μ' ξ' addidi. — 6 Post scholium metricum inscriptio σχόλια τῶν αὐτῶν est in ι'' μ' ξ'. — 7 Thomæ et Triclinii scholia ad v. 1 Boeckh primus ex Vrat. A. C. Mosc. B. edidit. — τῷ ἀσ. τῷ ξ'. — 8 τὴν οϛ' α' ι' ξ', τὴν οἕκτην μ', ἕκτην Vrat., τὴν ἑβδομηκοστὴν καὶ ἕκτην Boeckh, qui ἑβδ. καὶ a se additum esse refert. — 9 ἐπεὶδὲ ὁ μ', ἐπειδὴ δὲ ὁ cett. codd. mixti et ed. — δὲ Γξ (?), δὴ cett. — 10 κηφησός α' μ' ξ'. — τὸν ὀρχ. Γ, τὴν ὀρχ. cett. — 11 προσφ. ὁ ποιητὴς πρ. ξ'. — 12 χάρισιν ι''. — 12. 13 ὁ μὲν — καλούμενος, ὁ δὲ Γ, ἡ μὲν — καλουμένη, ἡ δὲ cett. — 14 καλλιῤῥόης ι'' ξ'. — 15 μηνύειοι Γ. — δὲ ex Γ α' ι'' ξ' addidi.

— 4. * * πόλεως Βοιωτίας. — 5. * ἀρχαίων· — τῶν ἀρχηγετῶν τοῦ Ὀρχομενίων γένους. — * ἔφοροι. — 7. * σὺν βοηθείᾳ, συνεργίᾳ ὑμῶν· — * * μετὰ τῆς ὑμῶν βοηθείας. — * * τὰ εὐφραντά. — 9. ὡραῖος. — λαμπρός, ἐπίσημος. — 12. διεξάγουσι καὶ καθιστῶσι. — τὰς κατὰ τὰς πανηγύρεις εἰς αὐτοὺς συστάσεις. — 13. θυσίας.

1—13. M. *Καφισίων ὑδάτων*] Ὦ Χάριτες ἀοίδιμοι, ἤγουν περιβόητοι βασίλισσαι τῆς πλουσίας Ὀρχομενοῦ, ἔφοροι τῶν Μινυῶν τῶν ἀρχαίων τὴν γένεσιν, αἵτινες οἰκεῖτε ἕδραν, ἤγουν καθέδραν, τόπον καλλίπωλον, τουτέστιν ἵπποις κομῶντα, ἢ καλλίβωλον, ἤτοι εὔγειον, τῶν τοῦ Κηφισοῦ τοῦ ποταμοῦ ὑδάτων τὸν κλῆρον ἐσχηκυῖαι· τοῦτο γὰρ δύναται τὸ λαχοῦσαι· κλῦτε (6), ἀντὶ τοῦ ἐπακούσατε ἐμοῦ δηλονότι· ἐπεὶ εὔχομαι ὑμῖν, ἤγουν ἐπικαλοῦμαι ὑμᾶς. σὺν ὑμῖν γάρ, ἀντὶ τοῦ δι' ὑμῶν γίνεται τοῖς ἀνθρώποις πάντα τὰ τερπνὰ καὶ τὰ γλυκέα, λέγω εἴτις ἀνήρ ἐστι σοφός, ἤγουν φρόνιμος καὶ ψυχικὴν ἀρετὴν ἔχων, δι' ὑμῶν ἐστιν αὐτῷ τὸ τερπνὸν τῆς φρονήσεως· εἴτις ἐστὶ καλὸς ἤγουν εὔμορφος καὶ σωματικῇ ἀρετῇ χρῆται, δι' ὑμῶν ἐστιν αὐτῷ τὸ τερπνὸν τοῦ κάλλους· εἴτις ἐστιν ἀγλαός, τουτέστι λαμπρός, περιφανὴς τὰ ἐκτὸς καὶ εὐδοξίαν ἔχων, δι' ὑμῶν ἐστιν αὐτῷ τὸ τερπνὸν τῆς λαμπρότητος. καὶ γὰρ καὶ οἱ θεοὶ χωρὶς τῶν σεβασμίων Χαρίτων οὔτε χοροὺς κοιρανοῦσιν, ἀντὶ τοῦ δεσπόζοντες διατάττουσι· χοροὺς δὲ λέγει οὓς οἱ ἄνθρωποι αὐτοῖς τελοῦσιν· οὔτε δαῖτας, ἤγουν ἑορτάς,

---

7 καφησ. υ Vrat. μ'. — σύνταξις margo μ' ξ'. — Quæ post Χάριτες leguntur om. ι'' in spatio. — 8 ἐρχομενοῦ q etiam in textu, ubi cett. libri Mosch. Ὀρχ. tuentur. — 9 ἤγουν q v, ἤτοι cett. — 11 κηφησοῦ Vrat. μ' ξ'. — τοῦ ποτ. om. q. — 12 κλῦτε δὲ ἀντὶ Vrat. — 16 καὶ om. q. — 17 ἤγουν q v, ἢ cett. — εὔμορφες q., εὔφορφος Vrat. — 18 ἔστιν q. — 20 ἔστιν q. — 22 διατάσσουσι q. — 23 ἤγ. ἑορτάς] ἑορτάς ἤγουν q, ἢ ἑορτὰς Vrat. μ' ξ'.

θυσίας, ἀνθρώπων δηλονότι ἐπ' αὐτούς, δεσπόζοντες διατάττουσιν

gl. 14. *ἔφοροι.* — 15. *διὰ τὴν πρὸς αὐτὸν οἰκειότητα· ὁ μὲν γάρ ἐστι μουσικός, χαριέστερον δὲ οὐδὲν μουσικῆς.* — 17. *διηνεκῆ.* — *εὐλαβῶς ἐνεργοῦσι.* — 19. *σεβασμία.* — * *ταῦτά ἐστι τὰ ὀνόματα τῶν τριῶν Χαρίτων· Ἀγλαΐα καὶ Εὐφροσύνη καὶ Θαλία. ποιεῖται δὲ πρῶτον τὸν λόγον πρὸς τὰς δύο, ἔπειτα πρὸς τὴν Θαλίαν.* — 20. *ἤγουν τοῦ Διός.* — 21. * *γίνεσθέ μου τῶν ὕμνων.* — 23. *ὕμνον.* — *ἐπὶ λαμπρᾷ εὐτυχίᾳ.* — 24. *ῥᾷστα.* — 26. *Λυδίαις.* — 27. *ἐστι.* — * *Ὀλυμπιόνικος γέγονεν.* — * *δέον καὶ ἡ Μινύεια εἰπεῖν, ἀσυνδέτως εἶπεν.* — 29. *ἤγουν διὰ τῆς εἰς τὸν πολίτην αὐτῆς παρά σου βοηθείας.*

13—28. M. *Ἀλλὰ πάντων τῶν ἔργων ταμίαι, ἤγουν διεξαγωγεῖς, αἱ Χάριτες οὖσαι δηλονότι, τὴν ἀΐδιον τιμὴν τοῦ πατρὸς αὐτῶν τοῦ οὐρανίου, ἤγουν τοῦ Διὸς σέβουσιν, ἀντὶ τοῦ δοξάζονται ἐν οὐρανῷ, θέμεναι, ἤγουν θεῖσαι τοὺς ἑαυτῶν θρόνους πλησίον τοῦ Ἀπόλλωνος τοῦ χρυσοτόξου τοῦ ἐν τῇ Πυθῶνι τιμωμένου. ἐκεῖ γάρ, φασίν, ἦσαν αὗται ἱδρυμέναι ἐν τοῖς δεξιοῖς τοῦ Ἀπόλλωνος. ὦ σεβασμία* (19) *Ἀγλαΐα καὶ ὦ Εὐφροσύνη φίλη*

---

1 *ἐπ' αὐτάς q.* — *δεσπ. διατ. (διατάσσ. v)* om. *q.* — 5 Glossa Thomana in *α'*, codd. mixtis et edd. inter scholia legitur. — 5. 6 *τ. εἰσι τ. τρ. Χαρ. τὰ ὀν.* Tricl. — 6 *καὶ* ante *Εὐφρ.* om. Tricl. — *καὶ* ante *Θαλία* om. *ι'*. — 10 Glossæ Thomanæ in *α' μ'* Vrat. et edd. inter scholia leguntur, sic: *ἡ* (sic *α' μ'*, *ἁ* cett.) *Μινύεια. Ὀλυμπιόνικος γέγονε δηλονότι. δέον δὲ καὶ ἡ Μινύεια εἰπεῖν, ἀσυνδέτως εἶπεν.* — 13 Delevi lemma *ἀλλὰ πάντων ταμίαι ἔργων* cum *q v.* — 13—19 *ἀλλὰ* — *Ἀπ.* om. *ι'*. — 15 *αὐτῶν*] *αὐτοῦ ξ'.* — *δοξάζονται q v* et codd. Oxx., *δοξάζουσιν* cett. — 17 *ἐν τῇ q*, *ἐν τῷ* cett. — 18 Cum *ἐκεῖ γάρ* explicit cod. *v*. Reliqua cum *w* contuli. — *φυσιν q.* — *αὗται* om. *q.* — *ἱδρυμέναις q.* — 19 Ante *ὦ* lemma *πότνι' Ἀγλαΐα* delevi cum *q v.* — *σύνταξις* margo *μ' ξ'.* — *ὦ* om. *ι'*. — Quæ post *σεβ. Ἀγλαΐα* leguntur om. *ι'* in spatio. — *φροσύνη q.* — Post *Εὐφρ* delevi *ἡ* libros *q v ξ* secutus.

τῶν μολπῶν, θυγατέρες τοῦ κρατίστου τῶν θεῶν, ἤγουν τοῦ Διός, ἐπήκοοι νῦν γένεσθε δηλονότι· καὶ ὦ Θαλία ἐρασίμολπε, ἤγουν τῶν μολπῶν ἐρῶσα, ἐπήκοος γενοῦ ἰδοῦσα τόνδε τὸν κῶμον, ἀντιστρόφως ἀντὶ τοῦ ἐπήκοος γενομένη ἐπίσκεψαι τοῦτον τὸν σὺν ὕμνῳ χορὸν τὸν μετεώρως στρεφόμενον ἐπὶ μοίρᾳ εὐμενεῖ, ἤγουν ἀγαθὰ φρονούσῃ· τὸν Ἀσώπιχον γὰρ ἦλθον ἀείδων, ἀντὶ τοῦ ᾄσων, ἤγουν ὑμνήσων, ἐν τρόπῳ, τουτέστι ῥυθμῷ Λυδίῳ, καὶ ἐν μελέταις, ἀντὶ τοῦ συνθήκαις ἐπῶν, διότι Ὀλυμπιόνικος ἐγένετο δηλονότι ἡ τῶν Μινυῶν πόλις, τουτέστιν ἡ Ὀρχομενὸς ἡ πατρὶς τοῦ Ἀσωπίχου, σοῦ χάριν, ὦ Θαλία.

gl. 28. τὸν σκοτεινόν. — 29. ὦ φήμη θεά. — 30. * τῷ Ἀσωπίχου, Κλεοδάμῳ. — 31. ἵνα. — * τόν. — 32. αὐτῷ. — αὐτῷ. — 33. ἐν. — 34. αὐτὸς ὁ Ἀσώπιχος. — 35. στεφάνοις. — ἤγουν τὴν κεφαλὴν ἀπὸ μέρους.

31—35. Th. Τὸ Κλεόδημον πρὸς τὸ ἰδοῦσα, τὸ δὲ υἱὸν πρὸς τὸ εἴπῃς, οὕτως· ἵνα ἰδοῦσα τὸν Κλεόδημον εἴπῃς αὐτῷ τὸν υἱὸν ὅτι ἐστεφάνωσεν οὗτος ὁ Ἀσώπιχος τὴν νέαν αὐτοῦ χαίτην, ἤτοι τὴν κεφαλὴν ἐν τοῖς κόλποις τῆς Πίσης, ἤγουν ἐν τῇ Ὀλυμπίᾳ, ἐν τοῖς πτεροῖς τῶν κυδίμων ἀέθλων, τοῖς δίκην πτερῶν αἴρουσι τὸν νικήσαντα. τοιαύτη δὲ καὶ ἡ παρὰ Ἀριστοφάνει σύνταξις (Nub. 95)·

---

1 ἤτοι q. — 2 γένεσθαι Vrat. ξ'. — 4 κόσμον q. — ἀντιστρ.] ἀντὶ τοῦ φως Vrat. — 5. 6 τρεφόμενον ἐπεὶ μοῖρα εὐμενῆ ξ. — 7 Post τρόπῳ libros q w μ' ξ' secutus delevi Λυδίῳ. — 8 Quæ post ἐπῶν in ξ' legebantur cum ultimo folio avulso perierunt. — 12 Glossa ὦ φ. θ. in Γ et codd. mixtis legitur, non legitur in α'. — 16 Κλεόδαμον ed. Bœckh. — 17 δ' Vrat. — τὸν omm. edd. — 19 αὐτοῦ ed. Bœckh. — ἤγουν Γ. — τὴν om. Γ. — πίασης Γ Vrat. — 21 καὶ om. Γ.

Οἳ τὸν οὐρανὸν
Λέγοντες ἀναπείθουσιν, ὡς ἐστι πνιγεύς·

καὶ πάλιν (Nub. 145)·

Ἀνήρετ' ἄρτι Χαιρεφῶντα Σωκράτης
Ψύλλαν, ὁπόσους ἅλλοιτο τοὺς αὐτῆς πόδας.

28—35. *M. Νῦν, ὦ Ἠχοῖ, τουτέστι φήμη, ἄπιθι εἰς τὴν καθέδραν τῆς Περσεφόνης τὴν μέλανα τείχη ἔχουσαν, ἤγουν εἰς τὸν Ἀιδην, φέρουσα ἀγγελίαν περιφδομένην τῷ πατρὶ τοῦ Ἀσωπίχου τῷ Κλεοδήμῳ, ὅπως ἰδοῦσα αὐτὸν τὸν Κλεόδημον εἴπῃς* (32) *τὸν υἱὸν αὐτοῦ ὅτι ἐστεφάνωσε τὴν χαίτην, ἀντὶ τοῦ τὴν κόμην αὐτοῦ παρὰ ταῖς κοιλάσι τῆς ἐνδόξου Πίσης, ἤγουν ἐν τῇ ἐνδόξῳ Ὀλυμπίᾳ, πτεροῖς ἐνδόξων ἀγώνων, ἀντὶ τοῦ στεφάνοις ἐπαίρουσι καὶ οἷον πτεροῦσι τοὺς στεφανουμένους. ἐπὶ τοῦ πράγματος δὲ ὀφείλων θεῖναι τὸ εἴπῃς, ἵν' ᾖ ο λόγος οὕτως· ὅπως ἰδοῦσα τὸν Κλεόδημον εἴπῃς, ὅτι ὁ υἱὸς αὐτοῦ τὴν νέαν κόμην αὐτοῦ ἐν τῇ Ὀλυμπίᾳ ἐστεφάνωσεν· ὁ δὲ ἐπὶ τοῦ ὀνόμα-*

---

2 *λέγουσιν* (om. *ἀναπ.*) *Γ.* — *ὡς ἔστι* Vrat. *μ'.* — Post *πνιγεύς* edd. *κἄστι περὶ ἡμᾶς* addunt. — 4 *ἀνήρετ' ι'.* — 5 *τὴν ψύλλαν Γ.* — *ἄλοιτο Γ,* qui om. *τοὺς αὐτῆς.* — *αὐτῆς* ed. Boeckh., *αὐτούς* Vrat. — Mss. *β, γ* hæc addunt: *ἄλλοι δέ τινες οὕτω συντάσσουσιν· ὅπως ἰδοῦσα αὐτὸν τὸν Κλεόδημον εἴπῃς διὰ τὸν υἱὸν αὐτοῦ τὸν Ἀσώπιχον ὅτι ἐστεφάνωσεν αὐτὸς τὴν αὐτοῦ χαίτην τὴν νέαν, παρὰ τοῖς κόλποις τῆς ἐνδόξου Πίσης, πτεροῖς, ἤτοι στεφάνοις ἐπαίρουσι τοὺς στεφανωμένους, οἷα πτεροῖς κυδίμων ἀέθλων.* — 6 Delevi lemma *μελαντειχέα νῦν δόμον* (*ν. δ.* om. *ι'*, *δόμον* omm. Vrat. *μ'*) cum *w ι'*. — *σύνταξις* margo *μ'*. — Quæ post *Ἠχοῖ* leguntur, om. *ι'* in spatio. — 7 *μέλαινα q w* Vrat. *μ'.* — *τύχη* Vrat. *μ'.* — *τῷ πατρὶ τοῦ* (*τῶ q*) *ἀσ. q w, τῷ τ. ἀσ. πατρὶ* cett. — 9 *αὐτὸν* omm. *w* Vrat. — 10 *τὴν* post *τοῦ* om. *q.* — 11 *αὐτοῦ* ed. Boeckh. — *εὐδόξου* (superscr. *ἐν*) *q, εὐδόξου w* Vrat. *μ'.* — 12 *εὐδόξῳ q.* — 13 *στεφανομένους q.* — 15 *ὅπ. ἀπελθοῦσα εἰς τὸν κλ. w.* — *εἴπῃ q.* — 16 *κύμην q.* — *αὐτοῦ* ed. Boeckh., *ἀντὶ τοῦ q.*

τος αὐτὸ τίθησιν, εἶτα ἐπάγει τὸ πρᾶγμα, καὶ ποιεῖ τὸν λόγον ὅμοιον τῷ (Eur. Hecub. 986)· *Εἰπέ μοι τὸν Πολύδωρον, εἰ ζῇ.* κατ' αἰτιατικὴν δὲ λέγεται ἐν τούτοις τὸ ὄνομα· τὸ γὰρ λέγειν αἰτιατικὴν ἀεὶ λαμβάνει, ὅτε πρὸς τὸ λεγόμενον ἀποτείνει.

---

3 *δέ* om. Vrat. — 4 *ἀεί* om. *q*. — *αὐτ. τὸν λόγον πρὸς τὸν κείμενον ἀπ.* *w*.

Πινδάρου Πύθια.

Ἐπίνικοι Πυθιονίκαις.

Ἱέρωνι Αἰτναίῳ ἅρματι. Ὠιδὴ α'.

[Δημητρίου Τρικλινίου]

περὶ τῶν κώλων τῶν στροφῶν καὶ ἀντιστροφῶν τοῦ α' εἴδους τῶν Πυθίων. Παλαιόν.

Τοῦ α' εἴδους τῶν Πυθίων αἱ στροφαὶ καὶ ἀντιστροφαὶ κώλων ἑκάστη ιβ'. Τὸ α' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ β' δακτυλικὸν πενθημιμερές. Τὸ γ' ὀκτωσύλλαβον Σαπφικόν, δίμετρον ἀκατάληκτον ἐκ τροχαϊκῆς συζυγίας καὶ χοριάμβου· καὶ ἔστιν ἐπιχοριαμβικόν. Τὸ δ' Πινδαρικὸν ἐκ Σαπφικοῦ, τρίμετρον ὑπερκατάληκτον· σύγκειται δὲ ἐκ τροχαϊκῆς συζυγίας, χοριάμβου, Ἰωνικοῦ ἀπ' ἐλάττονος καὶ συλλαβῆς. Τὸ ε' ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον· ἔχει δ' ἐπιτρίτους δ' ἀντὶ ἀντισπάστων. Τὸ ς' σύνθετον ἔκ τε τοῦ λεγομένου προσοδιακοῦ καὶ ἰαμβικῆς συζυγίας. ἔστι δὲ τὸ προσοδιακὸν δίμετρον ἀκα-

---

4 Scholia ad Pyth. I—IV ex ι'' accurate edidit Car. Ern. Christoph. Schneider in «Apparatus Pindarici Supplemento ex codicibus Vratislaviensibus» (Vratislaviae 1844 p. 1—32), cuius editionem usque ad Pyth. IV 96 cum α' (qui hoc versu deficit) et usque ad finem eiusdem carminis cum π'' contuli. — Scholium metricum om π''. — 6 *Παλαιόν* ex α' addidi. — 7 *ἀντιστροφῶν* (corr. etiam Schneider) ι'', qui om. *ἑκάστη*. — 9 *ὀκτασύλλαβον* ι'' et — quod semel annotare sufficit — Schneideri editio. — 13 *ἐλάσσονος* ι''.

τάληκτον ἐξ Ἰωνικοῦ καὶ χοριάμβου. Τὸ ζʹ Πινδαρικὸν ἐκ Σαπφικοῦ ἐνδεκασύλλαβον, ἤτοι τρίμετρον καταληκτικόν. σύγκειται δὲ ἐκ τροχαϊκῆς συζυγίας, χοριάμβου καὶ Ἰωνικῆς καταληκτικῆς, ἤτοι ἀναπαίστου. Τὸ ηʹ τροχαϊκὸν τρίμετρον καταληκτικόν. Τὸ θʹ δακτυλικὸν πενθημιμερὲς ὅμοιον τῷ βʹ. Τὸ ιʹ ὅμοιον τῷ ζʹ. Τὸ ιαʹ προσοδιακὸν δίμετρον ἀκατάληκτον ἐξ Ἰωνικοῦ καὶ χοριάμβου. Τὸ ιβʹ τροχαϊκὴ συζυγία, ἤτοι μονόμετρον. Ἑξῆς παράγραφος ἐφ' ἑκάστῃ στροφῇ καὶ ἀντιστροφῇ.

Περὶ τῶν κώλων τῶν ἐπῳδῶν.

Αἱ ἐπῳδοὶ κώλων ἑκάστη ιεʹ. τὸ αʹ δακτυλικὸν τρίμετρον, καὶ εἰ μὲν ἐστιν ἡ τελευταία βραχεῖα, ἐστὶ καταληκτικὸν εἰς δισύλλαβον, εἰ δὲ μακρά, ἀκατάληκτον. Τὸ βʹ τροχαϊκὸν δίμετρον καταληκτικὸν Εὐριπίδειον ἢ ληκύθιον. Τὸ γʹ προσοδιακὸν δίμετρον ἀκατάληκτον. ἐμοὶ δὲ δοκεῖ ὅμοιον εἶναι τῷ αʹ. Τὸ δʹ Πινδαρικὸν ἐκ Σαπφικοῦ ὅμοιον τῷ ζʹ καὶ ιʹ τῆς στροφῆς. Τὸ εʹ τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ ϛʹ Ἰωνικὸν δίμετρον καταληκτικὸν ἀπ' ἐλάττονος ἐκ τροχαϊκῆς συζυγίας καὶ Ἰωνικοῦ καταληκτικοῦ. ἐμοὶ δὲ παιωνικὸν δοκεῖ Κρητικὸν δίμετρον ἀκατάληκτον ἐκ Κρητικοῦ καὶ παίωνος δʹ. Τὸ ζʹ ὅμοιον τῷ ϛʹ τῆς στροφῆς. Τὸ ηʹ προσοδιακὸν δίμετρον ὑπερκατάληκτον ἐκ χοριάμβου καὶ Ἰωνικοῦ ἀπὸ μείζονος καὶ συλλαβῆς. οἱ δὲ λέγοντες αὐτὸ ἀκατάληκτον οὐ καλῶς, οἶμαι, λέγουσι. Τὸ θʹ Ἰωνικὸν ἀπ' ἐλάττονος δίμετρον καταληκτικόν, ἤτοι ἐφθημιμερές. Τὸ ιʹ προσοδιακὸν τρίμετρον ἀκατάληκτον ἢ Πινδαρικὸν

---

2 post *ἐνδεκασ.* in *ι*ʹʹ hæc inseruntur: *ἤγουν τρίμετρον ἐκ σαπφικοῦ ἐνδεκασύλλαβον.* — *ἤγουν ι*ʹʹ. — **4** *ἤγουν ι*ʹʹ. — *τροχ. δίμετρον ι*ʹʹ. — **7** *ἤγουν ι*ʹʹ. — **8** *ἐξ ἧς α*ʹ. — *ἡ παρ. ι*ʹʹ. — **9** *Π. τ. κ. τ. ἐπ.* ex *α*ʹ addidi. — **10** *ἑκάστη* om. *ι*ʹʹ. — **11** *μὲν ἐστὶν* codd. — **18** *ἐπιωνικὸν δοκεῖ ι*ʹʹ. — **23** *ἤγουν ι*ʹʹ.

ἐκ Σαπφικοῦ, ἐκ τροχαϊκῆς συζυγίας, χοριάμβου καὶ Ἰωνικοῦ ἀπ' ἐλάττονος. Τὸ ια' τροχαϊκὸν δίμετρον ἀκατάληκτον τοῦ α' ποδὸς χορείου. Τὸ ιβ' ὅμοιον. Τὸ ιγ' ὅμοιον τῷ β' τῆς στροφῆς. Τὸ ιδ' προσοδιακὸν δίμετρον ἀκατάληκτον ἐξ Ἰωνικοῦ καὶ χοριάμβου. Τὸ ιε' ὅμοιον τῷ ια'. Ἑξῆς κορωνίς, εἶτα παράγραφος ἐν πάσαις ταῖς ἐπῳδοῖς· ἐν δὲ τῷ τέλει τοῦ ᾄσματος ἀστερίσκος. ἔστι δὲ τὸ ᾆσμα ε' στροφῶν.

Th. Κυραῖοι, ἔθνος περὶ τὸν Παρνασὸν τοὺς εἰς τὴν Πυθίαν ἰόντας λοχῶντες ἀνῄρουν. Εὐρύλοχος οὖν ὁ Θεσσαλὸς Ἀμφικτίωνας συμπαραλαβὼν ἐπιθέμενος αὐτοῖς, κατεστρέψατο. ἀνθ' ὧν ἀμοιβὴν τῆς νίκης καθίστησι πανήγυριν τῷ Ἀπόλλωνι, τὰ λεγόμενα Πύθια, τελουμένην κατὰ χρόνους ε', ὡς καὶ ἡ τῶν Ὀλυμπίων. Πυθὼν δὲ ἐκαλεῖτο διὰ τὸ σεσῆφθαι ἐκεῖ τὸν ὑπ' Ἀπόλλωνος ἀνῃρημένον δράκοντα· πύθω γὰρ τὸ σήπω. ἢ διότι οἱ δεόμενοι περί τινων μαθεῖν, ἐκεῖσε ἀφικνούμενοι ἐμάνθανον. ποιεῖται δὲ τὸν λόγον πρὸς τὴν τοῦ Ἀπόλλωνος κιθάραν, ὅτι τε αὐτὸς ἐν μουσικῇ ᾖδε τὰ ποιήματα, καὶ ὅτι ἡ ἑορτὴ ἡ παροῦσα, καθ' ἣν ποιεῖται τοὺς ὕμνους, τοῦ Ἀπόλλωνος ἦν. εἰ καί τινές φασι διὰ τοῦτο πρὸς τὴν φόρμιγγα πε-

---

3 τῷ ζ' ι''. — 7 ἔστι — στροφῶν ex α' addidi. — Τοῦ αὐτοῦ σοφωτάτου τοῦ μαγίστρου κυρίου Θωμᾶ σχόλια εἴς τινα τῶν πυθίων sequitur in ι'', τοῦ σοφωτάτου μαγίστρου σχόλια sequitur in π''. — 8 Lemma Πινδάρου Πύθια est in π''. — σημείωσαι ὅπως συνέστη τὰ πύθια margo ι''. — Κιῤῥαῖοι ι'', idem voluit Sakkelion. — παρνασσόν π''. — 8. 9 Πυθῶνα coni. Semitelos. — 9. 10 ἀμφικτύωνας ι'', ἀμφικτίωνας Γα', ἀμφικτύονας π''. — 10 συμπεριλαβὼν Γ. — 15 περὶ τινῶν Γα' ι''. — 16 ποιεῖ ex α' enotavi, facit ι''. — 17 μουσῇ ι'', corr. etiam Schneider. — 18 ἡ ἑορτὴ ἡ π. Γ, ἡ παρ. ἑορτὴ cett. — 19 διὰ τοῦτο π'', διατοῦτο cett. — 19. 1 ποιεῖσθαι π''.

ποιῆσθαι τὸν λόγον, διότι Ἱέρων αὐτῷ χρυσῆν κιθάραν ὑπέσχετο, ἵνα αὐτὸν ἀναμνήσῃ.

1. *Germ.* Ἐπιδεξίως πως ἐν ὑπομνήσει ἄγει αὐτὸν τῆς χρυσέας φόρμιγγος τῆς ὑποσχεθείσης. οὐχ ἁπλῶς δὲ εἶπε χρυσέα φόρμιγξ, ἀλλ' αἰνιγματωδῶς παραδηλοῖ αὐτῷ τοῦ τὴν ὑποσχεθεῖσαν φόρμιγγα χρυσέαν πέμψαι.

gl. 1. ** Τὸ προοίμιον προσφωνητικόν. — ** χρυσῆ. — ὦ κιθάρα. — 2. τῶν ἀνθηρὸν ἐχουσῶν πλόκαμον, **ὁποῖόν ἐστι τὸ ἴον. — 3. σύντροπον, κοινόν. — κτῆμα· κιθαρίζοντι γὰρ τῷ Ἀπόλλωνι αἱ Μοῦσαι χορεύουσιν.

4. *Th.* Τὸ βάσις οἱ μὲν τὸν ῥυθμὸν νοοῦσι. τῆς γὰρ κιθάρας ὁ ῥυθμὸς ἀκούει, ἤγουν κατὰ τὸ μέλος ἐκείνης συντίθεται. οἱ δὲ διὰ τοὺς τῶν χορευτῶν πόδας· ἀκούουσι γὰρ ἐκεῖνοι τῆς κιθάρας. τουτέστιν ὁποῖόν ἐστι τὸ μέλος αὐτῆς καὶ οὗτοι κινοῦνται. λέγει δὲ τὴν βάσιν ἀρχὴν ἀγλαΐας ἢ διότι ὁ ῥυθμὸς τὸ πᾶν ἐστι τοῦ λόγου, ἢ ὅτι ἡ κατ' ἀρχὰς τοῦ χοροῦ κίνησις μεγίστης εὐφροσύνης ὕστερον ἀπ' αὐτοῦ ἐσομένης ἀρχή ἐστιν.

gl. 4. τῆς κιθάρας. — **ἤγουν ὁ ῥυθμός. — εὐφροσύνης. — 5. **ὑπακούουσιν. — οἱ μελῳδοί. — τοῖς παρὰ σοῦ τύποις, ἤγουν ὅπως αὐτὴ τὰ μέλη τυπώσῃς, καὶ ἡ παρ' ἐκείνων ᾠδὴ φέρεται. — 6. τῶν τοὺς χοροὺς ἀγόντων· πρὸς γὰρ τὰ ᾄσματα καὶ οἱ χοροὶ ἄγονται. — *μελῶν. — 7. *ᾄσματα· — ** ἤγουν ᾄσματα, ἀπὸ τοῦ ἀναβάλλομαι τὸ προοιμιάζομαι. — ποιῇς. — *κινουμένη· — ** κινουμένη τοῖς κρούμασιν.

---

1 χρυσῆν Γ. — 3 Ante ἐπιδ. delevi ἢ οὕτως. — ἐπιδ. πῶς Γ. — εἰς ὑπόμνησιν! — 5 τοῦ fort. delendum est. — 7 Τὸ πρ. πρ. ex α' π' addidi. — 11 Βάσις ἀγλαΐας est lemma in α' ι' π'. — νοοῦσιν α'. — 12 συντίθενται Γ. — 14 ὁποῖον ἐστὶ α' ι'. — κ. αὐτοὶ κ. ι'. — 16 πᾶν ἐστὶ α' ι'. — καταρχάς α' ι'. — 17 ὕστερον om. ι'. — ἐπομένης ι'. — ἀρχὴ ἐστίν α' ι'. — 20 τυπώσεις α'. — ἐκείνω Γ. — 24 ποιῇς in α' Triclinii manu additum est.

8. *Tr.* *Κεραυνὸν σβεννύεις]* ἤτοι τὸν Δία τῆς ὀργῆς παύεις καὶ μειλίχιον καθιστᾷς, ὁπόταν ἀκούῃ σου.

gl. 8. **ὃν ὁ Ζεὺς δίκην αἰχμῆς φέρει. — **παύεις, πραΰνεις. — 9. τοῦ ἀϊδίου· ἄσβεστον γὰρ τὸ πῦρ τοῦ παρὰ τῷ Διὶ κεραυνοῦ. — 10. *ὑπνοῖ· — ** καθεύδει. — * τῇ ῥάβδῳ· — ** τῇ ῥάβδῳ τοῦ Διός.

9. 10. *Th.* Φασίν, ὅτι ἐν τῷ τοῦ Διὸς σκήπτρῳ ἀετὸς κάθηται δεικνύων τὸ τοῦ Διὸς ἡγεμονικόν, ἐπειδὴ καὶ οὗτος βασιλεὺς ἁπάντων πτηνῶν. ἔντινα ἀετόν φησιν ἀκούοντα τῆς Ἀπόλλωνος κιθάρας εἰς ὕπνον τρέπεσθαι θελγόμενον τῇ ᾠδῇ.

gl. 11. ποταπήν; ταχεῖαν. — ἤτοι ἐξ ἀμφοτέρων τῶν μερῶν αὐτοῦ. — 12. *χαλάσας· — **καταγαγών. — 13. ὁ ἡγεμών. — *ἤτοι τῶν ὀρνέων πάντων. — τὴν εἰς σκότος τοὺς ὀφθαλμοὺς ἄγουσαν. — 14. **γάρ. — *αὐτῷ· — **ἐπ' αὐτῷ. — ἤτοι τὸν ὕπνον. — 15. τῇ ἐστραμμένον ῥάμφος ἐχούσῃ. — **κεφαλῇ αὐτοῦ. — τῶν ὀφθαλμῶν.

16. *Th.* Τὸ *κατέχευας* ἢ πρὸς τὸ *γλεφάρων* συναπτέον ἢ πρὸς τὸ *κρατί*, ἵν' ᾖ τὸ *γλεφάρων* πρὸς τὸ *κλαΐστρον*. ὁ γὰρ ὕπνος ὥσπερ τι κλεῖθρον τῶν ὀφθαλμῶν κλείων αὐτοὺς καὶ οὐκ ἐῶν ἠνεῳγμένους εἶναι.

13—16. *Germ.* Ὁ νοῦς· ἐπὶ τῷ κρατὶ δὲ καὶ τῇ κεφαλῇ τῇ ἀγκύλῳ, τῇ καμπύλῳ ἀπὸ τοῦ ῥάμφους (τὸ κεφαλῇ δηλοῖ, ὅτι καὶ ἐπ' αὐτῷ τῷ αἰετῷ) κατέχευας καὶ ἔχυσας τὴν κελαινῶπιν νεφέλην, ἤγουν μέλανα ὕπνον κατέχυσας, τὸ ἡδὺ κλεῖ-

---

1 τὸν διὰ π'', corr. Semitelos. — 4. 5 γὰρ τοῦ π. τ. Δ. κερ. πῦρ Γ. — 7 εὗδει δ' ἀ. (sic) est lemma in ι'', εὗδει δ' ἀνὰ σκάπτῳ in π'', εὗδει δ' ἀνὰ σκάπτρῳ (η supra) in α'. — 8 καὶ om. π''. — 9 ἀετὸν φησὶν α' ι'', ἀετόν, φησὶν π''. — 17 βλεφάρων π'', γλεφ. coniecit Semitelos. — 18 βλεφ. coni. Sakkelion improbante Semitelo. — 18. 19 κλάϊστρον α'' ι''π'' e Triclinii sententia. — 19 ὥς πέρ τι Γ, ὥσπέρ τιά. — 21 τῇ κρ. U. — 22 τῇ ἀγκύ . . ˜ . καμ (π supra) U. — 22. 23 δηλοῖ. οἱ καὶ ἐπ' (τ supra) τοῦ αἰετοῦ U. — 24 νεφέλην ἡ . . . . αινα ὕπνον U.

στρον καὶ κλειδίον (τὸ γὰρ ἡδὺ τοῦ ὕπνου λέγει) τῶν βλεφάρων.

gl. 16. γλυκύ. — κλεῖθρον. — κατέχεας. — κοιμώμενος. — 17. ποταπόν; εὔχυτον, **ἢ ὑγρότητά τινα ἐμφαῖνον ἔχειν. — χαλᾷ, **ἢ ὥσπερ κυρτὸν δείκνυσιν. — ταῖς σαῖς.

18. *Th.* Δείκνυσιν ἐντεῦθεν τὴν τῆς μουσικῆς δύναμιν. εἰ γὰρ τὸν ἀμείλικτον καὶ θρασὺν Ἄρην θέλγει, τίνα οὐκ ἂν τοῦτο ἐργάσηται;

gl. 18. τοῖς μέλεσιν. — ἀνδραποδιζόμενος καὶ κηλούμενος. — ὁ θρασὺς καὶ ἀμείλικτος. — 19. **τὴν σκληρὰν καὶ δεινήν. — μακράν. — 20. τῶν δοράτων. — **τὴν ὀξύτητα ἢ τὰ ἔγχη. — εὐφραίνει. — *τὴν αὐτοῦ· — **τὴν ἑαυτοῦ. — 21. *τῷ μέλει καὶ τῇ ᾠδῇ. — *τὰ θελκτήρια. — 22. *οὐ μόνον τῶν ἀνθρώπων. — *εὐφραίνει. — *περί. — 23. **συνίζησις. — τοῦ Ἀπόλλωνος. — τῇ τῆς μουσικῆς ἐπιστήμῃ. — **βαθυζώνων. — 24. *καί. — 25. **Ἀττικῶς ἀντὶ τοῦ ὅσσους. — ἠγάπησεν. — *τὸ ὅσσα μὴ πεφίληκε πρὸς τὸ γᾶν συναπτέον. — 26. μισοῦσι καὶ ἄτην ἡγοῦνται. — **ᾠδήν. — 27. τῶν ἐν τῇ Πιερίᾳ γεγεννημένων Μουσῶν. — ἀκούοντα. — 28. κατὰ τήν. — *καί. — μέγαν καὶ ἀκαταπόνητον διὰ τὸ μέγεθος. — 29. τῇ χαλεπῇ. — **ἤγουν ὑπὸ τὴν ῥίζαν τῆς Αἴτνης. — 30. **ὁ ἐχθρός.

31. *Th.* Ὁ Τυφῶς χεῖρας ἀντάρας τῷ Διῒ ἐκεραυνώθη ὑπ' αὐτοῦ ἐν Σικελίᾳ, ἔχων ἐπικείμενον τὴν Αἴτνην τὸ ὄρος.

---

1 τὸ γὰρ ἦδον U. — 6 Lemma καὶ γὰρ βιατάς est in ι', βιατὰς Ἄρης in π'. — 7 τίνος Γ. — 8 ἐργάσαιτο coniecerunt Schneider et Semitelos. — 12 ἢ τὰ ἔγχη Triclinii manu additum est in α'. — 16. 17 τοῦ ὅσα π'. — 17. 18 τὸ ὅσα (sic) — συναπτέον in α' ι' scholiorum corpori insertum est, inter glossas habet etiam π'. — 19 γενομένων Γ. — 20 μέγα Γ. — ἀκ. καὶ μέγαν α' π'. — 24 παρ' αὐτοῦ Γ, ab eo ι'.

εἰπὼν δὲ ἄνω· ὅσα μὴ πεφίληκε Ζεύς, ἐπάγει, ὅστις ἐστὶν ὁ Τυφώς. τοῦτον γὰρ οὐ φιλεῖ. εἰκότως δὲ ἐπέβαλε τὴν περὶ αὐτοῦ ἱστορίαν, ἐπειδὴ καὶ ὁ νῦν ἐπαινούμενος Ἱέρων Σικελιώτης ἐστίν, ἔνθα οὗτος κολάζεται.

gl. 31. ** ἑκατονταχέφαλος. — ** ὅντινα Τυφῶνα. — 32. τὸ ἐν τῇ Κιλικίᾳ. — *ἐγέννησεν· — **ἤγουν ἐγέννησε καὶ ἀνέθρεψε. — 33. πολυθρύλλητον. — **σπήλαιον. — **δέ.

34. Th. Τὴν Κύμην τινές φασι νῆσον παρακειμένην τῇ Σικελίᾳ, λέγοντες τὸ ὄχθαι ἀντὶ τοῦ ἡ ὑπερκειμένη τῆς Κύμης Σικελία, οὓς αὐτὸς μὴ μεμφόμενος τὴν Κύμην νόει πόλιν ἐν Σικελίᾳ, ἵν' ᾖ τὸ ὄχθαι ἁλιερκέες διὰ τὴν Αἴτνην τὸ ὄρος ἐν τέλει Σικελίας οὖσαν καὶ πλησιάζουσαν θαλάττῃ.

gl. 34. αἱ. — **καί. — **νήσου ἢ πόλεως. — περίρρυτοι. — 35. **τοῦ Τυφῶνος. — δαμάζει. — 36. τὰ στήθη· — **ἤγουν αὐτόν. — δασέα ταῖς θριξί· τοιαῦτα γὰρ τὰ τῶν ἰσχυρῶν στήθη. — 37. **ἡ μέχρις οὐρανοῦ φθάνουσα τῷ ὕψει. — **κατέχει. — 38. χιονώδης. — **τὸ ὄρος. — δι' ὅλου τοῦ ἔτους. — 39. **τῆς ὀξέως τιτρωσκούσης τῷ ψύχει. — τροφός, διὰ τὸ ἀεὶ ἐμφιλοχωρεῖν αὐτῷ τὴν χιόνα.

36—39. Th. Κίονα οὐρανίαν τὴν Αἴτνην καλεῖ διὰ τὸ μέχρις οὐρανοῦ τῷ ὕψει φθάνειν. ὀξεῖαν δὲ τὴν χιόνα ἢ τὴν ταχέως αἴσθησιν τοῦ ἐν αὐτῇ ψυχροῦ τοῖς δεχομένοις ποιοῦσαν ἢ διότι οἱ ἐφαπτόμενοι ταύτης ὅμοιόν τι πάσχουσι τοῖς κεντουμένοις βαλλόμενοι τῇ ψυχρότητι.

40. Th. Ἰστέον ὅτι ἐν τῇ Αἴτνῃ ἡμέρας μὲν φωτὸς δίχα

---

1 πεφίληκεν ὁ Ζεύς ι'. — 2 τοῦτο γάρ Γ. — 7 δὲ Triclinii manu additum est. — 8 τὸ κύμην Γ. — τινές φασί Γα', quidam aiunt ι'. — 9. 10 ἀντὶ ὑπερκειμένης τῆς κύμης Σικελίᾳ π'. — 10 τὸ κύμην Γ. — 11 ἵνα π''. — ἁλιερκεῖς Γ. — 22 ταχέα π', ταχεῖαν edidit Semitelos. — 25 δίχας ι'', corr. etiam Schneider.

καπνὸς καυστικὸς ἀναδίδοται, νυκτὸς δὲ πέτραι ἀποσφαιρίζονται ἔξω κεκαυμέναι καὶ ζέουσαι, καὶ κτύπον τῇ φορᾷ παρέχουσαι. πίπτουσι δὲ ἐν τῇ θαλάττῃ. τοὺς γὰρ πρόποδας τῆς Αἴτνης ἡ θάλαττα βρέχει.

gl. 40. τῆς Αἴτνης. — ἀναδίδονται. — ἀπροσεγγίστου. — 41. λαμπρόταται ἢ καθαρτικαί· τοιοῦτον γὰρ τὸ πῦρ. — 42. **ἐκ τῶν ῥιζῶν δηλονότι τοῦ ὄρους. — **πυρός. — 43. **ἐν ἡμέραις. — ῥεῦμα. — 44. μέλανα ἢ καυστικόν. — ἐν νυξί. — 45. πυῤῥώδης. — συστρεφομένη. — 46. ἤτοι τὸν πόντον περιφραστικῶς. — **ἤχῳ· — κτύπῳ. — 47. πυρός. — *ῥεύματα· — **ῥεῦμα. — ἤγουν ὁ Τυφὼς διὰ τὸ πρηνὴς κεῖσθαι. — 48. σφοδροτάτους. — **ἤγουν ἐπὶ τὴν κορυφὴν ἀνάγει. — 49. **σημεῖόν τι. — **θαύματος ἄξιον. — ἰδόντα τινὰ μαθεῖν. — 50. *τῶν ἐντεῦθεν ἐλθόντων· — **τῶν ἐκεῖ ἐλθόντων. — 51. **τινὰ ἐκείνων. — 52. ὁποῖον. — **ταῖς μέλανα φύλλα ἐχούσαις. — 53. δεδέσμηται. — **ἐν ταῖς κορυφαῖς τῆς Αἴτνης. — 54. **ἤτοι ἐν τοῖς μυχοῖς τοῦ ὄρους. — ἡ αὐτοῦ κοίτη. — *καταῤῥηγνύουσα· — **κατατέμνουσα.

52—54. *Th.* Τὸ μελαμφύλλοις λέγει ἢ ταῖς δασέσι καὶ σκιὰν ὑπὸ τοῦ δάσους ποιούσαις ἢ ταῖς μέλανα φύλλα ἐχούσαις ὑπὸ τοῦ ἐκεῖθεν ἀναδιδομένου καπνοῦ. λέγει δὲ ἐν ταῖς κορυφαῖς καὶ τῷ πέδῳ δεδέσθαι αὐτὸν διὰ τὸ ὑπ' ἐκείνων συνέχεσθαι.

gl. 55. τὴν ῥάχιν αὐτοῦ. — κείμενον αὐτόν. — πλήττει διὰ τὸ ἐπικείμενον βάρος. — 56. **ὦ. — σοί. — ἀρέσκειν με· — *τοῦτο δὲ λέγει διὰ τὸ φάσκειν περὶ τοῦ Τυφῶνος ἐχθροῦ

1 καυστικὸς καπνὸς α' ante corr. — 2. 3 παρέχουσαι Γ, ἐμποιοῦσαι cett. — 3 πρόποδας Γ, πόδας cett. — 4 θάλασσα Γι'. — 9 πυρώδης α'. — 13 ἄξιος α'. — 19 μελαμφύλοις π'', corr. Sakkelion. — τοῖς Schneideri ed. (et ι'' ?), errore. — δασείαις Semitelos edidit. — 26 Glossa Thomana praemisso lemmate εἴη Ζεῦ et deleta δὲ vocula post τοῦτο in α' ι'' inter scholia legitur.

ὄντος τοῦ Διὸς καὶ τοιαῦτα ὑπ' ἐκείνου παθόντος. — 57. **τὴν Αἴτνην. — διοικεῖς· ἐνταῦθα γὰρ ἱερὸν αὐτοῦ. — τῆς πολυκάρπου Σικελίας.

58. *Th.* Μέτωπον τῆς Σικελίας λέγει τὴν Αἴτνην οἱονεὶ ὀφθαλμόν. εἰς ὕψος γὰρ διήκουσα σκοπιὰν τῆς τε θαλάσσης καὶ πάσης τῆς Σικελίας ἔχει.

gl. 58. τὸν ὀφθαλμόν. — **τοῦ ὄρους. — 59. ὁ ἔνδοξος Ἱέρων. — ἐτίμησε· πλησίον γὰρ τοῦ ὄρους πόλιν κτίσας Αἴτνην ἀπ' αὐτοῦ ὠνόμασεν. — 60. τῷ ὄρει. — τῆς ἐν τῇ Πυθῶνι πανηγύρεως.

61. *Th.* Τὸ ἀνέειπέ νιν λέγει ἢ ὅτι ἔθος ἦν καὶ τὰς πατρίδας τῶν νικησάντων ὑπὸ τοῦ κήρυκος ἀναγορεύεσθαι ἢ ὅτι ἡ ἐκείνων ἀναγόρευσις καὶ τῆς πόλεως αὐτῶν ἐστιν, οἷς τοιούτους προήνεγκεν.

gl. 61. τῇ διὰ τοῦ δρόμου νίκῃ τοῦ ἅρματος. — ἀνηγόρευσεν αὐτήν. — 62. μηνύων. — τοῦ οἰκιστοῦ αὐτῆς. — 63. τοῦ νικήσαντος ἐν ἅρματι.

64. *Th.* Ἐπειδὴ ἡνίκα ἐκτίσθη ἡ Αἴτνη, τὸ τοῦ Ἱέρωνος ἅρμα ἐν Πυθίᾳ ἐνίκησε, μέγιστον τοῦτο τεκμήριον ποιεῖται τῆς ἐς ὕστερον συμβησομένης αὐτῇ εὐτυχίας, λέγων ὅτι ὥσπερ τοῖς ἀρχομένοις ἀπό τινος τόπου πλέειν, ἢν εὐθὺς ἐξ οὐρίας τὸν πλοῦν ποιήσωνται, πάρεστιν ἐντεῦθεν τεκμαίρεσθαι καὶ περὶ τῆς ἐπανόδου ὡς ἄρα τοιάδε αὐτοῖς ἔσται, οὕτω καὶ ἡ πόλις ἡ μετὰ τὴν οἰκοδομὴν τιμηθεῖσα, καὶ εἰς τὸν ἔπειτα χρόνον

---

4 τῆς om. π''. — 5 τε om. ι''. — 6 ποιεῖ ι''. — 11 ἔτος ι'', corr. etiam Schneider. — 13 ἐστὶν Γα' ι''. — οἷς] ὅτι coni. Schneider, ᾗ Semitelos. — 14 τοιούτοις π'', corr. etiam Semitelos. — προσήνεγκεν α' ι'', corr. etiam Schneider. — 19 Πυθῶνι coni. Semitelos. — 20 τῆς ἐσύστερον Γα'. — αὐτῷ συμβησ. ι''. — ὅτι om. ι''. — 21 ἐξουρίας Γα'. — 24 ἐς τὸν α' ι''.

ἀνθήσει. ἰστέον δέ, ὅτι οὐκ ἀπῆλθεν Ἱέρων ἐν τοῖς Πυθίοις διὰ τὸ νόσῳ κατέχεσθαι, ὡς προϊὼν ἐρεῖ, ἀλλὰ τὸ αὐτοῦ ἅρμα.

gl. 64. **τοῖς ἐν ναυσὶ φερομένοις. — 65. γάρ. — κατ' ἀρχὰς τοῦ πλοῦ. — * ἡδονὴ καὶ εὐτυχία. — 66. ἤγουν ἀρχὴν ποιουμένοις τοῦ πλοῦ. — 67. πόμπιμον. — ἄνεμον. — ἤγουν εἰκός ἐστιν οὕτω πλέουσιν. — 68. ἐν τῷ τέλει τοῦ πλοῦ. — ποταπῇ; καλλίστῃ.

69. Tr. Ὁ δὲ λόγος. ἤγουν ὁ ῥηθεὶς περὶ τῶν ναυσιφόρων ἀνδρῶν λόγος ἔχει ὑπόληψιν, τουτέστιν ἐκ τούτου ὑπονοεῖν ἡμῖν ἐστιν, ὡς ἀεὶ εὐδαίμων ἔσται.

gl. 69. ἐπανόδου. — οὗτος ὁ ῥηθείς. — 70. ἤγουν τῷ τῆς τύχης συμβάματι. — ὑπόληψιν ἔχει. — 71. εἰς τὸ ἑξῆς. — τὴν πόλιν. — 72. ἔνδοξον. — 73. διὰ τὸ ἐν αὐταῖς αὐλοὺς καὶ κιθάρας εἶναι. — πανηγύρεσιν. — ὀνομαστήν.

74. Th. Τὸ Λύκιε νόει ἢ ἀντὶ τοῦ ἐν τῇ Λυκίᾳ τιμώμενε, ἢ ὅτι ἐπίθετον ἦν Ἀπόλλωνος. Λύκιος γὰρ ἐτιμᾶτο ἐν Ἄργει διὰ τὸ Λύκον τινὰ ἀπεκτονέναι ποτέ.

gl. 74. τῆς Δήλου νήσου. — ἄρχων. — 75. ὦ Ἄπολλον. — τὴν ἐν τῷ Παρνασῷ ὄρει. — πηγήν. — 76. οὕτως ἡ πηγὴ ὠνομάζετο. — φιλῶν.

77. Tr. Ταῦτα νόῳ] ἀντὶ τοῦ εὐμενῶς δεξάμενος ταῦτα, ἐθελήσαις πράττειν καὶ συμπεραίνειν.

gl. 77. ἃ ὑπὲρ τῆς πόλεως ἔφην. — τῷ σῷ.

---

1 δέ om. π''. — 2 νόσου Ι. — αὐτὸ π'', corr. Semitelos. — 5 Versus 67 ultimus est in Γ, in quo cetera folia avulsa perierunt. Scholia autem in eodem usque ad v. 98 extant. Glossæ quæ sequuntur omnes ex α' deprompta sunt. — 8 ἤτοι ι''. — παρὰ ι''. — 10 ἡμῖν ἐστὶν α' ι'', ἐστιν ἡμῖν π''. — ἀεί ι''. — 15 νόει in π'' post τιμώμενε legitur. — In ι'' post νόει «vel quia in lycia colitur» linea transversa deleta sunt. — 17 ἀποκτεῖναι ι''

78. *Tr.* Εὐάνδρου] ἀντὶ τοῦ ἀνδρείους ἔχουσαν πολίτας, ἵνα τούτων νικώντων αὐτὴ τιμῷτο.

gl. 78. τιθέναι. — ποταπήν. — τιθέναι. — καί. — 79. βοήθειαι, χορηγίαι. — 80. ἤγουν οἱ θεοὶ πάντα τὰ ἀγαθὰ ἀνθρώποις παρέχουσιν. — 81. δυνατοί, ἰσχυροί. — 82. ῥήτορες. — ἐγένοντο θεόθεν. — τὸν Ἱέρωνα. — 83. ἐπαινέσαι. — προθυμούμενος. — ἐλπίζω. — 84. τὸν χαλκῆν παρειὰν ἤτοι αἰχμὴν ἔχοντα. — ἀκόντιον. — ὥσπερ. — τοῦ ἐν τῷ ἀγῶνι σκοποῦ. — 85. ῥίψειν τὸν λόγον. — τῇ χερί. — στρέφων.

83—85. *Th.* Μενοινῶν δὲ καὶ προθυμούμενος αἰνῆσαι καὶ ἐπαινέσαι ἐκεῖνον τὸν ἄνδρα ἤτοι τὸν Ἱέρωνα, ἔλπομαι καὶ ἐλπίζω μὴ βαλεῖν καὶ ῥίψειν τὸν λόγον ἔξω τοῦ ἀγῶνος, ὡσεὶ καὶ ὥσπερ ἄκοντα χαλκοπάρῃον δονέων καὶ συστρέφων ἐν τῇ παλάμῃ. τουτέστιν ἐλπίζω μὴ ἀπορήσειν περὶ αὐτοῦ πραγμάτων φερόντων πρὸς ἐγκώμιον. ἀλλ' ὅσα ἂν περὶ αὐτοῦ εἴπω, ἀξίως ἐρῶ καὶ προσήκοντα αὐτῷ εἰρῆσθαι. παρεικάζει οὖν τὸν αὐτοῦ λόγον ἄκοντι· διὸ καὶ εἶπε τὸ παλάμῃ δονέων. πάλλουσι γὰρ οἱ ἄνδρες ἐν ταῖς χερσὶ τὰ ἀκόντια.

gl. 86. τὸν λόγον. — νικῆσαι καὶ θανατῶσαι τοὺς ἐχθροὺς Ἱέρωνος. — τοῦτο λέγει, ὅτι ὁ ἐμὸς ἔπαινος πρὸς Ἱέρωνα τοὺς φθονοῦντας αὐτῷ τρώσει. — 87. αὐτοῦ. — τιμήν. — 88. ὡς νῦν. — κτημάτων. — χορηγίαν. — 89. διεξάγοι καὶ οἰκονομοίη. — ἤτοι τῆς νῦν κατεχούσης αὐτὸν νόσου. — λήθην. — 90. ἡ γὰρ τούτων ἀπαλλαγὴ λήθην παράσχοι αὐτῷ. — 91. ὄντως ὄν. —

---

10. 11 καὶ ἐπ. om. ι''. — 11. 12 καὶ ἐλπ. om. ι''. — 12 βαλλεῖν π'', corr. Semitelos. — 13 χαλκοπάραον π''. — στρέφων ι''. — 14 ἀπορύψειν Γ. — 15 πρὸς Γ, εἰς cett. — 16 αὐτῷ τῷ εἰρ. ι'', τῷ delendum esse vidit Schneider. — 17 αὐτοῦ π'' et »rectius erat αὑτοῦ et fortasse ita scripsit. Item sæpe in sqq.« annotavit Schneider. — 20 Glossa τοῦτο — τρώσει præfixo lemmate ἀμεύσασθ' ἀντίους in ι'' π'' inter scholia legitur.

ἐνθυμήσειεν ὁ χρόνος ἢ ὁ Ἱέρων ἡμᾶς. — 92. μάχαις] ἀγωνίσμασι. — 93. καρτερικῇ. — ἤγουν ἐπιμείνας ἠγωνίσατο.

87—93. Th. Τινὲς τὸ εἰ γὰρ ὀξύνοντες ἀντὶ τοῦ εἴθε φασί, στίζοντες εἰς τὸ παράσχοι· ἐγὼ δὲ ἀντὶ τοῦ ἐὰν λέγων, ὑποστίζω πρὸς τὸ παράσχοι, καί τινα τῶν βιβλίων συμμαρτυροῦντα ἔχων. Τὸ δὲ καμάτων (89) λέγει, ἐπειδὴ ὁ Ἱέρων δυσουρίᾳ κατεχόμενος καὶ φορείῳ ἐν πολέμοις ἀγόμενος κατώρθου τὰς μάχας. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν. εἰ γὰρ εὐδαιμονοίη καὶ κατὰ πλοῦτον καὶ τιμὴν καὶ τοῦ πιέζοντος ἀπαλλαγείη νοσήματος, ὄντως ἂν ἐνθυμήσειεν ἡμᾶς τὰς αὐτοῦ ἀνδραγαθίας, ἤτοι εἰς ἔπαινον ἡμᾶς τούτων κινήσειεν. ἔστι δὲ τὸ μνήσειε διπλοῦν· ἢ ὁ Ἱέρων ἢ ὁ χρόνος. κρεῖττον δέ ἐστι διὰ μόνον τὸν Ἱέρωνα λέγεσθαι, τὸ δὲ κεν καὶ τὸ ὂν ἐκ παραλλήλου.

gl. 94. ὅτε. — εὕρισκεν. — βοηθείαις. — 95. οὐδείς. — καρποῦται.

96. Th. Ὥσπερ ὁ στέφανος τιμὴ τῷ δεξαμένῳ τυγχάνει, οὕτω καὶ ἡ τῶν ἔργων νίκη τιμὴ τοῦ πλούτου ἐστίν.

gl. 96. δόξαν λέγω. — μέγιστον καὶ θαυμάσιον. — δέ.

97. Th. Παραβάλλει τὸν Ἱέρωνα διὰ τὴν κατέχουσαν αὐτὸν νόσον τῷ Ποίαντος υἱῷ Φιλοκτήτῃ, οὐχ ὅτι τὴν αὐτὴν νόσον εἶχον ἀμφότεροι, ἀλλ' ὅτι ὥσπερ Φιλοκτήτης νοσῶν ἐκ τῆς Λήμνου εἰς Τροίαν ἐκομίσθη πρὸς τὴν ταύτης ἅλωσιν, οὕτω καὶ Ἱέρων νοσῶν εἰς πολέμους ἐχώρει. ἡ δὲ ἱστορία τοῦ Φιλοκτήτου τοιαύτη. Ἑλένου τοῦ Πριάμου υἱοῦ μάντεως ὄντος καὶ ἁλόντος ὑφ' Ἑλλήνων, ἔλαβον ἀπ' αὐτοῦ χρησμόν,

5. 6 μαρτυροῦντα Γ. — 8 τοιοῦτον ἐστίν ι'. — 9 ἀπαλλαγοίη α'. — 10 αὐτοῖ π'. — 11 ἤγουν ι'. — ὠνήσειεν π'', corr. Semitelos. — ἐστὶ α' ι'', ἔτι Γ. — μνήσειεν Γ. — 12 δὲ ἐστὶ α' ι''. — 13 τὸ post καὶ om. ι''. — 16 Lemma πλούτου στεφάνωμα est in α'ι''π''. — 17 ἐστί ι''. — 22 ἀνεκομίσθη π''. — 23 καὶ ὁ ἱέρων ι''. — 24 Post τοιαύτη in π'' ἱστορία insertum est. — 25 ἀλλόντος Γ, ἁλόντα π'', corr. Sakkelion.

μὴ ἂν ἄλλως πορθηθῆναι τὸ Ἴλιον εἰ μὴ τὰ ὀστᾶ Πέλοπος ἐκ Λετρίνης ἐνέγκοιεν καὶ τὸν Ἀχιλλέως υἱὸν Νεοπτόλεμον καὶ τὸν Φιλοκτήτην ἐκ Λήμνου. μετακομισθέντων οὖν τῶν ἄλλων Φιλοκτήτης μόνος ἐναπολέλειπτο. μετεκλήθη οὖν ὑπ' Ὀδυσσέως καὶ Νεοπτολέμου ἐκ Λήμνου· ἐκεῖ γὰρ αὐτὸν ἔρριψεν Ὀδυσσεὺς δηχθέντα ὑπὸ ὄφεως ὕδρου, ὅτε ἐκάθαιρον Ἕλληνες τὸν κεχωσμένον βωμὸν Ἀθηνᾶς. ἐλθὼν οὖν εἰς τοὺς Ἕλληνας, ἰᾶται τὸ σκέλος ὑπὸ Μαχάονος τῇ ὀφίτιδι λίθῳ. ἕτεροι δέ φασιν, ὡς Ἀπόλλωνος ὕπνον αὐτῷ ἐμβαλόντος, τεμὼν ὁ Μαχάων καὶ βοτάνην θεὶς ἰᾶται.

gl. 97. τρόπον. — διεξάγων. — ἔστι δὲ τὸ ἐφέπων τὴν δίκην ἀντὶ τοῦ κατὰ τὸν ὅμοιον τρόπον. — 98. ἐστράτευσεν. — τῇ ἐκ τῆς νόσου. — αὐτὸν τὸν Ἱέρωνα. — 99. ὁ Ἀναξίλαος. — ὤν. — ὑπέρφρων καὶ σοβαρός. — 100. διὰ κολακείας ὑπελθὼν ἐποίησε φίλον.

98—100. *Th.* Οἱ γράφοντες φίλον τὸ λᾶν μέγα ληροῦσι. τὸ δέ ἐστι τοιοῦτον. ἔσανέ τις αὐτὸν φίλον, τουτέστι διὰ κολακείας ὑπελθὼν φίλον ἐποίησεν. — Μεγαλάνωρ (99) ὑπέρφρων καὶ σοβαρός. οὗτος γὰρ ὁ Ἀναξίλαος Ῥηγίνων βασιλεὺς ὢν καὶ θέλων τοὺς ἐν Ἰταλίᾳ Λοκροὺς καταπολεμήσειν ἐκωλύθη ἀπειλαῖς Ἱέρωνος ὥστε ὑπελθεῖν αὐτὸν ὕστερον καὶ φίλον ποιῆσαι.

---

2 *Λετρίνων* coni. Semitelos; sed cf. Schneideri notam: «*Λέτριναν* etiam Lycophron appellat v. 54.» — 3 *τὸν* om. *Γ*. — 4 *μόνον ι'*. — Cum voce *ἐναπολέλειπτο* explicit codex *Γ*; qua de causa de reliquis Thomæ Magistri ad Pythia, Nemea et Isthmia scholiis non constat. — 9 *δὲ φασὶν ι'*. — 16—18 Verba *Οἱ γρ.* — *ἐποίησεν* in *Γ* præcedunt scholium ad v. 97. — 16 *φίλων τὸ λων ὦ μέγα, ἀμαθεῖς* e coniectura edidit Semitelos. — 16. 17 *ληροῦσι Γ*, *ἀμαθεῖς* cett. — 17 *δὲ ἐστὶ α' ι'*. — *ἔσανε τὶς α' ι'*. — 19 *ὁ* om. *ι'*. — *Γηρύνων π'*, corr. Sakkelion. — 20 *καταπολεμῆσαι* coni. Semitelos.

gl. 100. ἀπὸ τῆς Λήμνου νήσου. — 101. τῷ τοῦ ποδὸς τραύματι. — πιεζόμενον. — ζητήσοντας. — 102. ἐκ Τροίας. — 103. Ὀδυσσέα καὶ Νεοπτόλεμον. — ἰσοθέους. — 104. τὸν Φιλοκτήτην. — 105. Φιλοκτήτης. — ἐπόρθησε τοξεύσας Ἀλέξανδρον. — 106. εἰς τέλος ἤγαγεν. — οὓς εἶχον Τροίαν πολιορκοῦντες. — 107. νοσερῷ σώματι· λέγει δὲ διὰ τὸ τοῦ σκέλους ἄλγος. — 108. μεμοιραμένον ὑπ' ἐκείνου Τροίαν ἑλεῖν Ἕλληνας. — 109. βοηθός. — ὑπάρχοι. — 110. προσερχόμενον. — 111. ἐπιθυμεῖ. — εὐκαιρίαν καὶ εὐτυχίαν. — αὐτῷ.

109—111. Εἰ μὲν συνάψεις τὸ ὀρθωτὴρ πρὸς τὸ ὧν ἔραται, οὕτως ἐρεῖς. οὕτω δὲ τῷ Ἱέρωνι πέλοι θεὸς ὀρθωτὴρ ὧν ἔραται καὶ ἐπιθυμεῖ διδοὺς αὐτῷ τὸν προσέρποντα χρόνον καιρὸν ἤτοι εὐκαιρίαν καὶ εὐτυχίαν. εἰ δὲ οὐ συνάψεις, οὕτως. οὕτω δὲ τῷ Ἱέρωνι πέλοι θεὸς ὀρθωτὴρ ἤτοι βοηθὸς καὶ εὐτυχίας παρεκτικός, διδοὺς αὐτῷ τὸν προσέρποντα καὶ προσερχόμενον χρόνον τῶν πραγμάτων ὧν ἐπιθυμεῖ καιρόν. ὥσπερ γάρ φαμεν· ἥδε ἡ ἡμέρα πολλῶν ἀγαθῶν ἡμέρα μοι γέγονεν, οὕτω καὶ τοῦτο.

gl. 112. ὦ Καλλιόπη. — ἐν. — τῷ υἱῷ Ἱέρωνος. — ὑμνῆσαι. — 113. πίθεο] διὰ τὸ μέτρον· — πιθοῦ μοι. — ἀμοιβὴν τῆς νίκης, ἣν τὸ πατρὸς αὐτοῦ ἅρμα νενίκηκεν.

114. Νικαφορία πατέρος] τοῦ πατρὸς αὐτοῦ τοῦ Δεινομένους, τουτέστιν ἡ τοῦ Ἱέρωνος νίκη καὶ τοῦ αὐτοῦ παιδός ἐστιν. εἶπε δὲ τοῦτο, ἵνα μή τις αὐτῷ εἴπῃ, τίνος χάριν τὴν Μοῦσαν ἐπὶ τῷ Δεινομένει καλεῖς; οὐ γὰρ αὐτός, ἀλλ' ὁ πατὴρ αὐτοῦ νενίκηκεν.

gl. 114. χαρά ἐστι. — γάρ. — ἀλλ' οἰκεῖον. — 115. ἡ

---

14 πλέλοι π', corr. Sakkelion. — 17 γὰρ om. π''. — γὰρ φαμὲν α' ι''. — 20 πείθου coni. Sakkelion contradicente Semitelo. — 22 νικαφορίαν [α'] ι''. — 23. 24 παιδὸς ἐστὶν ι''.

νίκη. — *τοῦ πατρὸς αὐτοῦ τοῦ Δεινομένους.* — 116. *ὦ Μοῦσα.* — *τῆς πόλεως.* — *τῷ Δεινομένει.* — 117. *προσφιλῆ.* — *ἐπινοήσωμεν.*

114—117. *Germ.* *Τὸ ἄγ' ἔπειτα ἀντὶ τοῦ ἄγε τοίνυν, ὦ Μοῦσα. τοῦτο προτρεπτικὸν πρὸς τὴν Μοῦσαν καὶ ἐφεξῆς κατὰ ἀκολουθίαν· ἐπὶ τῷ τῆς Αἴτνης βασιλεῖ Δεινομένει προσφιλέστατον ἀνεύρωμεν καὶ προσαρμόσωμεν ὕμνον. τὸ δὲ χάρμα δ' οὐκ ἀλλότριον τοῦτό ἐστι λύσις τοῦ ἀντιπίπτοντος, ἤγουν οὐ ξένη χαρά ἐστιν ἡ τοῦ πατρὸς νίκη τῷ υἱῷ καὶ ἀνεύφραντον οὐ λογισθήσεται.*

118. *ᾧτινι Δεινομένει.* — *τὴν Αἴτνην.* — *θείως ἐπὶ τῇ δομήσει τῆς πόλεως γενομένῃ.* — 119. *φασὶ γάρ, ὅτι ἐλευθερίαν καὶ ἀτελείαν τῇ πόλει ἐδωρήσατο.* — 120. *Δωρικοῦ τόπου, ἀπὸ Ὕλλου τινός.* — 121. *Λακωνικοὺς γὰρ νόμους ἐν ταύτῃ ἐθέσπισεν.*

118—121. *Germ.* *Ὁ νοῦς. τῷ καὶ ᾧτινι τῷ Δεινομένει ὁ Ἱέρων ἔκτισε καὶ ἔδωκε διοικεῖν κείνην τὴν πόλιν σὺν ἐλευθερίᾳ θεοδμήτῳ καὶ θείᾳ, ἥντινα πόλιν ἔκτισεν ὁ Ἱέρων ἐν νόμοις τῆς στάθμης καὶ δικαιοσύνης καὶ νόμου τῆς Ὑλλίδος καὶ τῆς Δωρικῆς, ἢ καὶ τῆς τοῦ Λυκούργου, ἢ τινος ἐξόχου Δωριέων Δωρίδος.*

gl. 122 *οἱ.* — 123. *ὅρους Λακωνικοῦ.* — *κατοικοῦντες.* — *ἀεί.* — 124. *νόμοις.* — *νομοθέτου αὐτῶν.* — 125. *Δωριῆς] ποταποί;*

118—125. *Τῷ πόλιν κεῖναν] τῷ καὶ ᾧτινι Δεινομένει ἔκτισεν ὁ Ἱέρων ἐκείνην τὴν πόλιν σὺν ἐλευθερίᾳ θεοδμήτῳ ἐν νόμοις Ὑλλίδος στάθμας ἤτοι Δωρικοῦ τόπου. ἔκτισεν οὖν*

---

4 *τὸ δὲ ἄγ'* U. — 7 *ἀνεύρο* (sic) U. — 8 *τοῦτο ἐστὶ* U. — 16 *ἢ οὕτως. ὁ νοῦς* U. — 20 *ἢ τινὸς* U. — 27 *στάθμης* π'.

τὴν πόλιν τούτῳ, ἀντὶ τοῦ κτίσας στρατηγεῖν αὐτῷ ταύτης ἐπέτρεψε. δέον δὲ εἰπεῖν θεοδμήτως ἔκτισε σὺν ἐλευθερίᾳ, θεοδμήτῳ εἶπε πρὸς τὸ ἐλευθερίᾳ. φασὶ γάρ, ὅτι οὓς ἐγκατῴκισεν ἐν τῇ Αἴτνῃ, ἐλευθερίαν καὶ ἀτέλειαν αὐτοῖς ἐδωρήσατο. ἐπεὶ δὲ τὸ τῆς ἐλευθερίας μέγιστόν ἐστι καὶ ἄντικρυς θεῖον, διὰ τοῦτο λέγει τὸ θεοδμήτῳ σὺν ἐλευθερίᾳ ἤτοι ἐν θείᾳ ἐλευθερίᾳ ἐπὶ τῇ δομήσει τῆς πόλεως γενομένῃ. τὸ δὲ Ὑλλίδος στάθμης (120) νόμοις λέγει, ἐπειδὴ Λακωνικοὺς νόμους ἐν τῇ Αἴτνῃ Ἱέρων ἐθέσπισεν, ἢ ὅτι οἱ ἐν τῇ πόλει κατοικισθέντες Γελῷοι καὶ Συρακούσιοι ἄποικοι Δωριέων εἰσίν. ἐστὶ δὲ τὸ Ὑλλίδος ἀπὸ Ὕλλου ἀνδρὸς ἐπιφανεστάτου τῶν Δωριέων, ἄρξαντος τῶν ἐν Ἰταλίᾳ οἰκησάντων. κρεῖττον δέ ἐστι λέγειν τὸ Ὑλλίδος ἐν νόμοις διὰ τοὺς ἐγκατοικισθέντας ἐν τῇ Αἴτνῃ Γελῴους καὶ Συρακουσίους Δωριέων ὄντας ἀποίκους, ἐπεὶ τὸ ἐπαγόμενον μαρτυρεῖ. οἱ δὲ ἔκγονοι (121) τοῦ Παμφύλου καὶ τῶν Ἡρακλειδῶν ναίοντες καὶ κατοικοῦντες ὑπὸ ταῖς ὄχθαις τοῦ Ταϋγέτου Λακωνικοῦ ὄρους ἤτοι ἐν Λακεδαιμονίᾳ, θέλοντι καὶ θέλουσι μένειν αἰεὶ καὶ πάντοτε ἐν τοῖς νόμοις τοῦ Αἰγιμιοῦ, ποταποί; Δωριεῖς· τουτέστιν οἱ Λάκωνες ἐάν τε κατὰ χώραν ἐάν τε ἄλλῃ ποι οἰκήσωσι, τὸ πάτριον σώζουσι φρόνημα καὶ τοὺς αὐτῶν νόμους, ὥστε καὶ οἱ ἀποικισθέντες ἐν Σικελίᾳ Δωριεῖς οὐ μετέβαλον τὸ ἐξ ἀρχῆς ἦθος. ὁ δὲ Πάμφυλος πρόγονος

---

1 πόλιν, οὕτω ἀντὶ π'. — 2 δ' εἰπ. π''. — 6 διατοῦτο α' π''. — 7 ἤγουν ι''. — 8 στάθμας π''. — 13 ἐστι τὸ λ. τὸ π''. — 17 καὶ κατ. (οἰκ. est in π'') om. ι''. — 18 ἤγουν ι''. — 19 καὶ πάντοτε om. ι''. — Comma post Αἰγ. et interrogandi signum post ποταποί Semitelos addidit; male Schneider: «ποταποί] i. e. οἵτινες vel οἵπερ. Cf. schol. ad v. 160. 162. 181. schol. rec. ad Ol. III 33. XII. 5.» — 21 σῴζουσιν α', σώζουσιν ι'', σώσουσι π''. — ὄνομα π''. — αὐτῶν π'. — 23 ἐξαρχῆς α' ι''.

ἦν Δωριέων, οὗ καὶ φυλὴ ἐπώνυμος ἐν Λακεδαίμονι, Παμφυλίς. κατήγοντο οὖν οἱ Δωριεῖς οἱ μὲν ἀπὸ Παμφύλου, οἳ δ' ἀφ' Ἡρακλειδῶν. ὁ δὲ Αἰγιμιός (124), *ὡς μέν τινές φασι, νομοθέτης ἦν Δωριέων, ὡς δέ τινες, Λυκούργου, ἐπίπαππος τοῦ Λακεδαιμονίων νομοθέτου.*

gl. 125. *πάλαι οἱ Δωριεῖς. — τὴν Λακεδαιμονίαν, ἀπὸ μέρους. — εὐδαίμονες.* — 126. *ἀπὸ Πίνδου πόλεως Περεβοίας. — κινούμενοι.* — 127. *Κάστορος καὶ Πολυδεύκους. — μεγάλην τιμὴν ἔχοντες.* — 128. *τῶν Τυνδαριδῶν.*

126. 127. *Πινδόθεν] Πίνδος ὄρος Περεβοίας, ἐν ᾗ τέσσαρες πόλεις εἰσίν, ὧν μία ἐπώνυμος τῷ ὄρει, ἀφ' ἧς ἀναστάντες οἱ τῶν Δωριέων πρόγονοι ἀφικνοῦνται εἰς τὴν μεταξὺ Οἴτης ὄρους καὶ Παρνασοῦ Δωρίδα, ὅθεν καὶ τοὔνομα ἔσχον. ἐν δὲ τῇ Δωρίδι ταύτῃ ἓξ πόλεις ἦσαν· Ἐρινεόν, Κύτιον, Βοιόν, Κάρφαια, Δρυόπη, Αἴλαιον, ὅθεν μετὰ τῶν Ἡρακλειδῶν εἰς Λακεδαίμονα ἐλθόντες οἰκοῦσι. γείτονας δὲ λέγει τῶν Τυνδαριδῶν, ἐπεὶ ὁ τούτων πατὴρ Τυνδάρεως ἐνταῦθα ἦρχε, διὸ καὶ κηδεύσας Μενέλαον ἔδωκεν αὐτῷ προικὸς χάριν τὴν Σπάρτην.*

gl. 128. *δόξα.* — 129. *ἐξέλαμψεν. — ἤτοι τῆς ἀνδρείας.* — 130. *πληρέστατε. — οἵαν νῦν ἔχουσιν.* — 131. *ποταμοῦ Σικελίας.*

132. *Germ. Τὸ δίδου λείπει, ἵν' ᾖ· δίδου τοῖς βασιλεῦσι καὶ τοῖς ἀστοῖς τοῖς περὶ τὸν Ἱέρωνα μερίδα εὐτυχίας.*

---

1 *ἦν τῶν Δ.* ι''. — **2** *γοῦν* π'. — *δὲ ἀφ'* ι'' π''. — **3** *τινες φασι* α' ι''. — **4** *λυκούρκου* ι'', corr. Schneider. — *τοῦ* om. ι''. — **10** *πεῤῥαιβίας* ι'', *πεῤῥεβοίας* α', *περαιβοίας* vel *πεῤῥαιβοίας* coni. Sakkelion, *περαιβίας* vel *πεῤῥαιβίας* Semitelos. — *ἐν ᾧ* π''. — **13** *παρνασσοῦ* π''. — **14** *δὲ* om. ι''. — *Ἐρινεός* coni. Sakkelion obloquente Semitelo. — *Κυτίνιον* coni. Sakkelios. — **15** *Λίλαια* coni. Sakkelion obloquente Semitelo. — **18** *καὶ* om. π''.

gl. 132. μοῖραν. — τοῖς πολίταις. — 133. κεχωρισμένως τῶν ἄλλων παρέχειν θέλε. — ἀληθῆ.

132. 133. Καὶ βασιλεῦσι] τινὲς πρὸς τὸ βασιλεῦσιν ὑποστίζοντες καὶ τὸ δίδου ἔξωθεν λαμβάνοντες, τὸ διακρίνειν πρὸς τὸ ἔτυμον λόγον συνάπτουσιν, οὓς αὐτὸς ἐάσας τὸ μὲν δίδου μὴ λάμβανε ἔξωθεν ὥσπερ ἐκεῖνοι, πρὸς δὲ τὸ διακρίνειν ὑποστίζων ἀντὶ τοῦ διάκρινε λέγε οὕτως. αἰεὶ δὲ καὶ πάντοτε, ὦ Ζεῦ τέλειε, θέλε διακρίνειν ἤγουν κεχωρισμένως τῶν ἄλλων πάρεχε παρὰ τὸ ὕδωρ τοῦ ἐν Σικελίᾳ Ἀμένα ποταμοῖ τοῖς ἀστοῖς καὶ τοῖς βασιλεῦσιν αἶσαν καὶ μοῖραν τοιαύτην οἵαν νῦν ἔχουσιν ἔτυμον καὶ ἀληθῆ λόγον ἀνθρώπων, τουτέστι παρὰ πάντων ἀληθῶς θρυλλεῖσθαι τὴν αὐτῶν εὐτυχίαν. ὁ γὰρ ἀληθῶς εὐτυχῶν καὶ τὴν περὶ αὐτοῦ φήμην ἀληθῆ ἔχει καὶ οὐ δύναταί τις περὶ] αὐτοῦ λέγων ψεύσασθαι, φανερᾶς οὔσης τῆς προσούσης αὐτῷ εὐτυχίας.

gl. 134. μετὰ τῆς σῆς βοηθείας. — τοι] ἀργόν. — τιν] σοί. — ἄν. — ὁ ἡγεμὼν Ἱέρων. — 135. αὐτοῦ. — καί. — ἐντελλόμενος ταύτην. — τιμῶν ταῖς αὐτοῦ ἀρεταῖς. — 136. πορεύσοιτο εἰς τὸ ἑξῆς. — ὁμοίαν τῇ παρούσῃ.

134—136. Σύν τοι τίν κεν] σὺν σοί, ὦ Ζεῦ, ἤτοι μετὰ τῆς σῆς βοηθείας ὁ ἀγιστὴρ καὶ ἡγεμὼν τῆς Σικελίας Ἱέρων τράποι ἂν καὶ εἰς τὸ ἑξῆς πορεύοιτο εἰς ἡσυχίαν καὶ εἰρηναίαν κατάστασιν σύμφωνον ἐπιτελλόμενος καὶ ἐντελλόμενος ταύτην

---

8 κ. πάντ. om. ι'. — 12 θρυλλ. om. ι', quare Schneider hæc adnotavit: «εὐτυχίαν] deesse videtur λεγομένην seu ὑμνουμένην. Vult autem λόγον ἔτυμον appositionem esse ad αἶσαν pertinentem.» — 13 αὐτοῦ π'. — 14 λέγων] dicere ι'. — 18. 19 πορεύοιτο? sed πορεύσοιτο habet etiam π' inter glossas. — 20 σύν τοί τίν κεν π', fort. recte. — ἤγουν ι' π'. — 21 ἀγιστήρ Tricl. etiam in textu, ἀγητήρ π'. — 22 τοεξῆς α' ι'. — «πορεύοιτο] videtur τράποι significatione medii præditum statuisse» Schneider.

τῷ υἱῷ αὐτοῦ Δεινομένει καὶ γεραίρων καὶ τιμῶν τὸν δῆμον ταῖς αὐτοῦ ἀρεταῖς. εἰ γὰρ μὴ πολέμους ἔχων ἐν αὐτοῖς ἀσχολοῖτο ἐν ἡσυχίᾳ διάγων, νίκας ἑαυτῷ ἐκ τῶν ἐν εἰρήνῃ ἀγώνων ἐργάσεται, δι' ὧν τοῖς ὑπ' αὐτὸν τιμὴ ἔσται. τὸ δὲ σύμφωνον ἡσυχίαν λέγει ἢ ὁμόφωνον καὶ ὁμοίαν ᾗ νῦν χρῆται ἢ ὅτι ἐν τῇ ἡσυχίᾳ ὁμόνοιά ἐστι καὶ ταὐτὰ πάντες φρονοῦσι καὶ λέγουσιν, ἐν δὲ τῷ πολέμῳ ἑτερότητές εἰσι λόγων καὶ βουλῶν.

gl. 137. ἱκετεύω σε. — ἐπάκουσον τῶν ἐμῶν εὐχῶν. — ὦ Ζεῦ. — ἥσυχον ἤγουν ἡσύχως. — 138. ἵνα. — τὸν αὐτοῦ. — ἤτοι οἱ Φοίνικες. — 139. ὁ θόρυβος ἤτοι οἱ Τυρσηνοὶ περιφραστικῶς.

137—139. *Ἅμερον ὄφρα κατ' οἶκον*] μὴ λέγῃς τὸ *ἅμερον* ἀντὶ τοῦ πράως ὥσπερ τινὲς συνάπτοντες πρὸς τὸ *νεῦσον*· ἔχει γὰρ τὸ ἅμερον τὴν δύναμιν πρὸς τὸ ἔχῃ, οὕτως. ὄφρα καὶ ἵνα ὁ Φοίνιξ καὶ ὁ Τυρσηνὸς κατὰ τὸν οἶκον ἔχῃ ἥμερον καὶ ἥσυχον, ἤτοι ἡσυχάζῃ· ἔστι γὰρ τὸ *ἥμερον* οὐδέτερον. τὸ δὲ *Φοίνιξ*, εἰ βούλει, μὴ σύναπτε πρὸς τὸ *ἀλαλητός*, ἀλλὰ μεμονωμένον λέγε. εἰ δὲ μή, σύναπτε οὕτως· ὁ Φοίνιξ ἀλαλητὸς καὶ ὁ Τυρσηνῶν ἀλαλητός.

gl. 140. τὴν ἀπὸ τῆς τῶν νηῶν καταβολῆς ἐγγενομένην πάλαι αὐτῷ ἀτιμίαν. — 141. τὴν συμβᾶσαν ἐπὶ τῇ Κύμῃ τῇ πρὸ τῆς Σικελίας νήσῳ. — 142. ὁποῖα. — ἡγεμόνι τῷ Γέλωνι τῷ ἀδελφῷ Ἱέρωνος. — 143. καταπολεμηθέντες. — ἔπαθον πάλαι. — 144. ταχέως θεουσῶν. — πλοίων. — 145. ὁ Γέλων. —

---

1 γεραίρω καὶ τιμῶ π'', corr. Semitelos. — 2 αὐτοῦ Semitelos edidit. — 4 ὑπ' αὐτῶν ι'', ὑπ' αὐτῷ coni. Schneider. — 6 ὁμόνοια ἐστὶ α' ι''. — 7 ἑτερότητες εἰσὶ α' ι''. — καὶ λ. β. ι'', corr. etiam Schneider. — 12 κατ' οἶκον om. ι''. — λέγε ι'' π''. — τὸ om. ι''. — 15 Φοῖνιξ π''. — καὶ om. π'', add. Semitelos. — 16 ἤγουν ι''. — 17 Φοῖνιξ π''. — 18 ἀλαλατός π''. — 19 ὁ Φοῖνιξ ἀλαλατὸς καὶ ὁ τ. ἀλαλατός π''.

τὴν Φοινίκων καὶ Τυρσηνῶν τὴν ἡλικίαν. — ἤτοι κατεπόντισε τοὺς ἐν ταῖς ναυσὶ μαχομένους αὐτῶν.

140—145. *Ναυσίστονον ὕβριν] ὁπότε Ξέρξης ἐπὶ τὴν Ἑλλάδα στρατεύειν ἔμελλε, Φοίνικας καὶ Τυρσηνούς, ὑπηκόους ὄντας αὐτῷ, ἐκέλευσε μετὰ τοῦ αὐτῶν ναυτικοῦ Σικελίαν παραγενομένους πορθῆσαι, εἰδὼς ὅτι ταύτης χειρωθείσης ἥ τε Πελοπόννησος καὶ ἡ ἄλλη Ἑλλὰς εὐχείρωτος ἔσται. ἐν δὲ τῷ αὐτῷ χρόνῳ Ἀθηναῖοι καὶ Πελοποννήσιοι πρὸς Γέλωνα πρεσβείαν ἔπεμψαν, ἀξιοῦντες αὐτὸν μετὰ τῶν Ἑλλήνων καὶ μὴ μετὰ τῶν βαρβάρων γενέσθαι. καὶ ὃς ὑπακούσας καὶ ναῦς διακοσίας ἐξαρτήσας καὶ δισχιλίους ὁπλίτας καὶ πεζοὺς μυρίους, ἐπεὶ τὸ Φοινίκων ναυτικὸν ἐν τῇ πρὸ τῆς Σικελίας νήσῳ Κύμῃ παρεγένετο, ναυμαχήσας αὐτοὺς κατεστρέψατο. τὸ δὲ ὠκυπόρων ἀπὸ ναῶν ἢ πρὸς τὸ πάθον συναπτέον ἢ πρὸς τὸ βάλετο. εἰκότως δὲ εἶπε τὸ ἡλικίαν, ἐπειδὴ οἱ ἐν ἡλικίᾳ μάχονται, καὶ οὐχ οἱ γέροντες.*

gl. 146. *πᾶσαν. — ἐκβάλλων. — μεγάλης καὶ δυσχεροῦς· εἰ γὰρ προεχώρησεν αὐτοῖς ἡ ὁρμή, ἅπαντ' ἂν τὰ τῶν Ἑλλήνων ᾤχετο πράγματα.* — 147. *τῆς ἀπὸ τῶν Περσῶν. — θέλω, προκρίνω.*

148. *Πὰρ μὲν Σαλαμῖνος] ἰστέον, ὅτι ἐν μὲν Σαλαμῖνι τὸ τοῦ Ξέρξου ναυτικὸν κατεστράφη ὑπ' Ἀθηναίων· ἐν δὲ τῇ Βοιωτίᾳ τὸ πεζὸν αὐτοῦ ὃν Λακεδαιμόνιοι κατηγωνίσαντο. ἐν δὲ τῇ Σικελίᾳ ὁ Γέλων, ὡς ἄνω ἔφαμεν, τὸ Φοινίκων καὶ Τυρ-*

---

3 *ἱστορία περὶ φοινικων καὶ τυρσηνῶν* margo α'. — 5 *αὐτῶν* α', *αὐτοῦ* ι'', *αὐτῶν* π''. — 7 *ἥ τε ἡ πελ.* ι'', corr. etiam Schneider. — *πελοπόνησος* α'. — 8 *πελοπονήσιοι* α'. — 11 *ἐξαρτύσας* π''. — *ὁπλ.*] *ἱππεῖς* coni. Semitelos. — 12 *ἐπὶ τὸ* ι'', quare Schneider *καὶ* post *παρεγένετο* addere voluit. — 13—15 *τὸ δὲ — βάλετο* in π'' post *γέροντες* legitur. — 15 *τὸ ἁλικίαν* π''. — 21 *ἱστορία ὅπως ἐν σαλαμῖνι κατεστράφη τὸ τῶν περσῶν ναυτικόν* margo α'. — 24 *ἔφημεν* π''.

στηνῶν ναυτικὸν διέφθειρε. ζητεῖται δέ, πῶς Λακεδαιμονίων νεῶν καὶ ἑτέρων Ἑλληνίδων μετ' Ἀθηναίων ἐν Σαλαμῖνι οὐσῶν, μόνοι Ἀθηναῖοι τὴν νίκην ἐργάσασθαι λέγονται. καί φαμεν, ὅτι μόνοι οὗτοι ἦσαν οἱ τὴν νίκην ποιήσαντες ταῖς Θεμιστοκλέους βουλαῖς καὶ τῷ τῶν νεῶν πλήθει καὶ τῇ κατὰ θάλατταν ἐμπειρίᾳ, ὥσπερ καὶ Λακεδαιμόνιοι τὴν ἐν Πλαταίᾳ τῇ τοῦ Παυσανίου στρατηγίᾳ καὶ τῷ κατὰ γῆν ἄριστοι εἶναι τὰ τακτικά. λέγει οὖν· αἱρέομαι καὶ προκρίνω μισθὸν μὲν παρὰ τῆς Σαλαμῖνος χάριν καὶ ἀρετὴν τῶν Ἀθηναίων· τουτέστιν ἐν αὐτῇ οἱ Ἀθηναῖοι τὸ τῶν Περσῶν ναυτικὸν διέφθειραν. λέγει δὲ τὴν νίκην μισθὸν τῆς Σαλαμῖνος κατὰ τοῦτο· ὥσπερ γὰρ ὁ μισθὸς ὀφείλεται, οἷς δίδοται, οὕτω καὶ ἡ συμβᾶσα ἐν αὐτῇ νίκη ὥσπερ ὠφείλετο καὶ πρέπουσα ἦν γενέσθαι· ἢ ἐπειδὴ μέρος ἦν τῆς Ἑλλάδος, ἔδει καὶ ταύτην ἀναγκαίως εἰσενεγκεῖν τι εἰς τὴν ὑπὲρ τοῦ κοινοῦ σωτηρίαν· εἰσήνεγκεν οὖν τὸ ἐν αὐτῇ γενέσθαι τὴν νίκην· ἢ ἐπειδὴ οἱ Ἀθηναῖοι τὴν αὐτῶν πόλιν καταλιπόντες πρὸς αὐτὴν ταῖς ναυσὶ κατέφυγον, ὥσπερ μισθὸν αὐτοῖς ἀπέδωκε τῆς καταφυγῆς, τὸ νικητὰς ἐν αὐτῇ γενέσθαι.

gl. 148. ἀπό. — ἀρετήν. — 149. λέξω. — 150. τὴν ἐν τῇ Πλαταίᾳ, ἣ πλησιάζει τούτῳ τῷ ὄρει.

149—150. Ἐν Σπάρτῃ δ' ἐρέω] ἐρέω δὲ καὶ λέξω ἐν τῇ Σπάρτῃ τὴν μάχην τὴν πρὸ τοῦ Κιθαιρῶνος· τουτέστιν εἴπω Σπαρτιάτας τὸ τῶν Περσῶν πεζὸν νικῆσαι ἐν τῇ Πλαταιέων πόλει, τῇ πρὸ τοῦ Κιθαιρῶνος ὄρους κειμένῃ πλησίον Βοιωτίας.

gl. 151. τῇ Σαλαμῖνι καὶ τῇ Σπάρτῃ, ἤγουν τῷ ἀπ' αὐτῶν

---

1 διέφθειρεν α' ι''. — 3 καὶ φαμὲν α' ι''. — 5. 6 καὶ τῇ — ἐμπειρίᾳ π'' solus servavit. — 6 τὴν ἐν τῇ πλ. ι''. — 15 ὑπὲρ om. ι''. — 16 τὴν ante νίκην om. ι'' — αὐτῶν α'. — 22 ἱστορία ὅπως καὶ ἐν σπάρτῃ τὸ πεζὸν τῶν περσῶν ἡττήθη margo α'. — Lemma om. ι''. — 25 ὄρους om. ι''.

λαῷ. — οἱ Πέρσαι. — κατεπολεμήθησαν ἐν Πλαταίᾳ. — οἱ περιφερῆ τόξα ἔχοντες. — 152. *τὴν ἄριστον ὕδωρ ἔχουσαν. —* 153. *τοῦ· — ποταμοῦ Σικελίας. — Γέλωνι, Ἱέρωνι, Πολυζήλῳ· — Γέλων, Ἱέρων, Πολύζηλος Δεινομένους παῖδες, ᾧ ὁμώνυμος ὁ Ἱέρωνος παῖς. — ἐρέω ἀπὸ κοινοῦ. —* 154. *Δεινομένεος] οὗτος γὰρ πατὴρ αὐτῶν· — συνίζησις. — πληρώσας.*

151—154. *Ταῖσιν] ἤγουν τῇ Σαλαμῖνι ἐξ Ἀθηναίων καὶ τῇ Σπάρτῃ, ἤτοι τῷ ἀπ' αὐτῆς λαῷ, ἐν τῇ Πλαταίᾳ κάμον καὶ κατεπολεμήθησαν οἱ ἀγκυλότοξοι Μῆδοι. παρὰ δὲ τὴν εὔυδρον ἀκτὴν τοῦ Σικελικοῦ ποταμοῦ Ἱμέρα, ἤτοι παρὰ τὴν Σικελίαν, ἐρέω καὶ εἴπω ἀπὸ κοινοῦ ὕμνον τοῖς παισὶ τοῦ Δεινομένους τελέσας καὶ πληρώσας τοῦτον ὥσπερ τινὰ ὀφειλήν· ὁ γὰρ ἔπαινος μισθός ἐστιν ἀρετῆς. ἀποροῦσι δέ τινες, πῶς τοῦ Γέλωνος μόνου τότε νικήσαντος οὗτος τοῖς τρισὶν ἀνατίθησι τὴν νίκην· καί φαμεν, ὅτι τῇ τοῦ Γέλωνος γνώμῃ ἕπεται. ἐκεῖνος γὰρ τρίποδας τρεῖς χρυσοῦς ἀναθεὶς τῷ Ἀπόλλωνι ἕνα μὲν δι' ἑαυτόν, δύο δὲ διὰ τοὺς ἀδελφούς, αἰτίους καὶ αὐτοὺς ἐν τούτοις ἐπέγραψεν.*

gl. 155. *ὕμνον. — ἀνδραγαθίᾳ. —* 156. *τῶν Φοινίκων καὶ Τυρσηνῶν. — καταναυμαχηθέντων ὑπ' αὐτῶν. —* 157. *ἤγουν εἰ ἐγκαίρως τοὺς λόγους ποιήσαιο, ὦ θυμέ. — ἔργων. — (ἐπιδιόρθωσις). —* 158. *τέλη. — συνάξας. —* 159. *ἐν ὀλίγῳ. — ἤγουν οὐδείς. — ἀκολουθεῖ. —* 160. *μέμψις.*

157—160. *Καιρὸν εἰ φθέγξαιο] αἰσθόμενος ἑαυτὸν ὁ Πίνδαρος ἀκαίρως ἐκβεβηκότα, φησίν· εἰ φθέγξαιο, ὦ θυμέ,*

---

7 *ταῖσι* π'. — *τῇ* om. ι'. — 8 *ἤγουν* ι'. — 9 *καί*] *ἤγουν* ι'. — 10 *εὔανδρον* π'. — *ἤγουν* ι'. — 13 *μισθὸς ἐστὶν* α' ι'. — 15 *καὶ φαμὲν* α' ι'. — *τῇ* om. ι'. — 18 *ἐπέγραψε* ι'. — 25 *ὠ* (om. *θυμὲ* in fine versus) legitur incodice ι', *εὖ* edidit Schneider, qui tamen monet »huius vocabuli lectionem non satis certam esse.«

καιρὸν τὸν πρέποντα, ἤγουν εἰ ἐγκαίρως τοὺς λόγους ποιήσαιο, συντανύσας καὶ συνάξας ἐν βραχεῖ καὶ ἐν ὀλίγῳ πέρατα καὶ τέλη πολλῶν πραγμάτων, τουτέστιν ἀφεὶς τὸ πολλὰ λέγειν καὶ συντεμὼν εἰς ὀλίγα, μείων καὶ ἐλάττων καὶ οὐδεὶς μῶμος ἕπεται παρὰ τῶν ἀνθρώπων, ἤγουν οὐδεὶς ψόγον ἐπαγάγῃ σοι ὡς πολυλογοῦντι. μὴ λάβῃς δὲ πρὸς τὸ καιρὸν ἔξωθεν εἰς, ὥς τινες· ἀλλ' ἔστιν αὕτη ἡ αἰτιατικὴ πρὸς τὸ φθέγξαιο· ὁ γὰρ φθεγγόμενος ἔγκαιρα, καιρὸν φθέγγεται.

gl. 160. τῶν λόγων. — καταβάλλει. — 161. ποταπός; σκοτεινός.

161. *Germ.* Ἐλπὶς ἔργον διανοίας· ὅθεν καὶ δέδεκτο τὸ ἐνεργούμενον ἀντὶ τοῦ ἐνεργοῦντος καὶ τὸ αἰτιατὸν ἀντὶ τοῦ αἰτίου.

161. 162. Ἀπὸ γὰρ κόρος ἀμβλύνει] ἀπαμβλύνει γὰρ καὶ καταβάλλει ὁ κόρος τῶν λόγων τὰς ταχείας ἐλπίδας τῶν ἀκροατῶν· ποταπός; αἰανὸς καὶ σκοτεινὸς ἤτοι τὸ λελογισμένον αὐτῶν σκοτίζων· τουτέστιν ἐλπίδα ἔχοντες οἱ ἀκροαταὶ ταχέως ἀκούσεσθαί τι περὶ τοῦ ἐπαινουμένου, σκοτίζονται ὑπὸ τοῦ πολλὰ ἀκούειν μεταξὺ λεγόμενα καὶ τὴν ἐλπίδα αὐτῶν ἀπολλύουσιν ἀπαγορεύοντες. αἰανὸς δὲ κόρος λέγεται οὐχ ὅτι αὐτὸς σκοτεινός ἐστιν, ἀλλ' ὅτι τοὺς ἄλλους σκοτίζει. οἱ δὲ λέγοντες τὸ ἐλπίδας ἀντὶ τοῦ γνώμας ἀμαθεῖς.

gl. 162. τῶν πολιτῶν. — ἤγουν κρυφίως. — καταβάλλει. — 163. περισσοτέρως. — ἀγαθοῖς. — ξένοις.

---

3 καὶ om. π''. — 5 ψόγος [ά?] ι''. — ἐπάγῃ ι'', ἐπαγάγει π'', corr. Semitelos. — 16 ποταπὸν αἰανὸν καὶ σκοτεινὸν π'', corr. Semitelos. — ἤγουν ι''. — 18 ἐπαινομένου ι'', corr. Schneider. — 20 αὐτῶν π''. — ἀπολύουσιν π'', corr. Semitelos. — 21 σκοτεινὸς ἔστιν α' ι''.

162. 163. *Ἀστῶν δ' ἀκοὰ]* τὸ ἀκοὰ πρὸς τὸ βαρύνει σύναπτε, τὸ δὲ θυμὸν πρὸς τὸ πολιτῶν, οὕτως· ἡ ἀκοὴ τῶν προσόντων τισὶν ἀγαθῶν βαρύνει καὶ καταβάλλει τὸν θυμὸν τῶν πολιτῶν, ποταπόν; κρύφιον μάλιστα καὶ περισσοτέρως ἐπὶ ἀλλοτρίοις καὶ ξένοις ἐσθλοῖς. τοῦτο δὲ λέγει ὡς φθονουμένου τοῦ Ἱέρωνος τοῖς αὐτοῦ πολίταις. δέον δὲ εἰπεῖν κρυφίως, κρύφιον εἶπε πρὸς τὸ θυμόν. τὸ δὲ μάλιστα εἶπεν, ἵνα δείξῃ, ὅτι περισσοτέρως ἡ τῶν ἀλλοτρίων ἀγαθῶν ἀκοὴ τούτους λυπεῖ ἢ ἄλλο τι.

164. *Κρέσσων γὰρ οἰκτιρμοῦ φθόνος]* ὁ μὲν γὰρ βέλτιστος φθονεῖται διὰ τὰ προσόντα αὐτῷ πλεονεκτήματα, ὁ δὲ μὴ τοιοῦτος ἐλεεῖται.

gl. 164. ἤγουν εἰ καὶ φθονοῖο. — κρείττων. — ἐλέου. — 165. καταλίμπανε καὶ ἀμέλει. — διέξαγε, κυβέρνα. — 166. ἤγουν δίκαιος ἔσο τοῖς ὑπό σε. — 167. ἤγουν φιλαλήθης ἔσο· εἴρηται δὲ ἐκ μεταφορᾶς τῶν χαλκευόντων. — 168. οἰκονόμει, εὐτρέπιζε.

166—168. Τοῦτο λέγει ὡς ἐπαγγειλαμένου τοῦ Ἱέρωνος αὐτῷ δοῦναί τι καὶ οὐ δόντος. διὸ δὴ ἐπαίρει αὐτὸν ἐκτελέσαι τὴν ὑπόσχεσιν.

gl. 169. φαῦλον, εὐτελές. — ὁρμήσει. — 170. ἤγουν μέγα δοκεῖ τοῖς ἄλλοις. — 171. παρὰ σοῦ, ἤγουν ἀπὸ σοῦ.

169—171. Σύναπτε τὸ παραιθύσσει πρὸς τὸ πὰρ σέθεν. τὸ γὰρ μικρὸν τῶν βασιλέων ἁμάρτημα μέγα δοκεῖ τοῖς ἄλλοις.

gl. 171. φύλαξ ἤτοι ἄρχων. — 172. ἤτοι τοῖς καλοῖς καὶ κακοῖς. — βέβαιοι. — 173. εὐθαλεῖ. — ὁρμῇ τῇ περὶ τὰ καλά. — παραμένων ἀεί.

---

4 ποταπόν om. α' in fine versus. — Interrogandi signum Semitelos addidit. — 9 ἄλλό τι α'. — 10 κρέσσον ι'. — γὰρ post μὲν om. ι'.

173. *Germ.* Ἡ ὀργὴ ἐπιμερίζεται μόνῳ τῷ μανικῷ τρόπῳ, τὸ δὲ νῦν ἐπιμεμέρισται καὶ κεκοινώνηται πᾶσι τοῖς τρόποις κατὰ τόνδε τὸν ποιητήν.

174. ἤτοι ὕμνους ᾄδεις. — 175. ἀκούειν. — μὴ ἀπαγόρευε, ἀλλὰ μισθοὺς δαψιλεῖς τοῖς ὑμνοῦσί σε πάρεχε. — 176. ὑποχάλα πρὸς τοὺς μισθούς. — ὥσπερ ἐξίει.

177. Ἱστίον ἀμπετάσας] δεῖ γὰρ ἀνέμου πνεύσαντος τὸ ἱστίον ὑποχαλᾶν, ἵνα μὴ ὄντος τεταμένου ὑπὸ τοῦ ἀνέμου εἰς τοὔμπαλιν ἀνατραπείη τὸ σκάφος.

gl. 177. λαῖφος. — τανύσας.

178. Μὴ δολωθῇς] μὴ τοὺς ὀφειλομένους τισὶ μισθοὺς ἀποστερῶν κερδαίνειν τι λογίζου. τοῦτο γὰρ τὸ κέρδος αἰσχρὸν καὶ τὸν κερδαίνοντα μιαίνει.

gl. 178. μὴ ἀπατηθῇς καὶ μιανθῇς. — Ἱέρων. — 179. εὐτραπέλοις] κακοῖς καὶ ἀδίκοις· ἔστι δὲ καὶ εὐτράπελον τὸ καλόν· — ἀντὶ μιᾶς. — ποταπόν; ὑπὸ τῶν ἐσομένων βροτῶν ᾀδόμενον. — 180. ἤτοι ὁ ὕμνος. — 181. μόνον. — ἀποθανόντων. — 182. διαγωγήν. — 183. λογοποιοῖς. — ποιηταῖς.

181—183. Οἷον ἀποιχομένων] οἷον καὶ μόνον τὸ αὔχημα τῆς δόξης, ἤτοι ἡ ἀρετὴ καὶ ὁ ἔπαινος, ποταπόν; ὀπισόμβροτον καὶ ὑπὸ τῶν ἐσομένων βροτῶν ᾀδόμενον μηνύει καὶ λογίοις καὶ ἀοιδοῖς τὴν δίαιταν καὶ τὴν διαγωγὴν τῶν ἀποιχομένων ἀνδρῶν, τῶν κτησαμένων τοῦτο τὸ αὔχημα· τουτέστιν ἐάν τις καλὸν ἐργάσηται καὶ ἐπαινεθῇ, ἐν τοῖς ἔπειτα ᾄδεται λογοποιοῖς καὶ ποιηταῖς, ὁποῖός τις ἦν, διεξιοῦσι τὸν ἐπ' αὐτὸν γενόμενον ὕμνον.

---

1 μενικῷ U. — 2 τὸ δὲ νῦν] τὸ ὅπερ οὖν U. — καὶ ego addidi. — 12 τὶ α' ι''. — 20 ἤγουν ι''. — Interrogandi signum Semitelos addidit. — 21 δόμενον ι'', corr. Schneider. — 25 ὁποῖος τις α' ι''. — διεξιοῦσιν ι''. — ἐπ' αὐτῷ π''. — 26 γινόμ. ι''.

gl. 184. οὐ φθείρεται, ἀλλὰ θάλλει παρὰ τοῖς ποιηταῖς. — ἤγουν ἡ πρὸς τοὺς φίλους εὐεργεσία.

185. Τὸν δὲ ταύρῳ χαλκέῳ] Περίλαός τις Ἀθηναῖος ἐλθὼν εἰς Φάλαριν τὸν Ἀκραγαντίνων τύραννον ὑπέσχετο αὐτῷ ταῦρον ποιήσειν χαλκοῦν, ἵνα ἐντὸς αὐτοῦ ὃν ἂν καταδικάσῃ ἐμβάλλων καὶ τῷ πυρὶ προσάγων οὕτω κολάζῃ. οὗ γενομένου πρῶτος εἰσεβλήθη Περίλαος, οὐκ ἄξιον τοῦ Φαλάριδος κεκρικότος ἕτερον πρὸ αὐτοῦ κολασθῆναι ἀλλ' ἢ τὸν δημιουργόν, ὅπως ἂν μόνος δείξῃ τὸ αὐτοῦ δημιούργημα. λέγει οὖν ὡς κακὸν πάντες ᾄδουσι Φάλαριν, καὶ ἡ μὲν τοῦ Κροίσου ἀρετὴ ἀεὶ ἐν συμποσίοις καὶ πανηγύρεσιν ὑπὸ τῶν παίδων ἐμμελῶς ᾄδεται, ὁ δὲ Φάλαρις οὐκ ἔχει χώραν ἐν συμποσίοις. δέον δὲ εἰπεῖν ὀμορόφιον, ὀμορόφιαι εἶπε πρὸς τὸ φόρμιγγες· εἴρηται δὲ ἐκ μεταφορᾶς τῶν τοὺς ξένους ὑποδεχομένων. μὴ λάβῃς δὲ εἰς τὸ κοινωνίαν τὸ εἰς, ὥς τινες, ἀλλ' ἔστιν ἡ αἰτιατικὴ πρὸς τὸ δέχονται, οὕτως· οὐ δέχονταί μιν καὶ αὐτὸν κοινωνίαν, ἤτοι κοινωνὸν παραλαμβάνουσιν.

gl. 185. χαλκῷ. — τὸν καίοντα τοὺς ἀνθρώπους. — 186. ποταπόν; ἀνηλεῆ καὶ ἀμείλιχον τὸν νοῦν. — 187. κακή. — κρατεῖ. — πανταχοῦ. — φήμη.

186—187. Νηλεὰ νόον] μὴ λέγε πρὸς τὸ νόον ἔξωθεν τὸ κατά, ἀλλ' ἔστι τὸ νόον καὶ τὸ Φάλαριν ταὐτόν. ὥσπερ γὰρ φαμεν· ὁ Πλάτων σοφὴ διάνοιά ἐστιν, οὕτω καὶ τοῦτο· κατέχει τὸν Φάλαριν φήμη ἀνηλεῆ νοῦν, ἤγουν κακὸν καὶ ἀμείλικτον ᾄδουσιν.

3 χαλκέῳ om. ι'. — σημείωσαι περὶ τοῦ χαλκοῦ ταύρου, ὃν κατεσκεύασε περίλαος τῷ φαλάριδι margo α'. — 5 αὐτόν π', corr. Sakkelion. — καταδικάσει ι', corr. Semitelos. — 6 ἐμβαλών ι'. — 9 μόνος om. ι'. — δείξει π', corr. Sakkelion. — αὐτοῦ π'. — 16 δίχονται μιν α' ι'. — 17 ἤγουν ι'. — Post ἤτοι Semitelos οὐ inseruit. — κοινόν ι' π'. — 22 ταυτόν α'. — 23 γὰρ φαμέν α' ι'. — διάνοια ἐστὶν α' ι'. — 25 ᾄδουσι ι'.

gl. 188. *αὐτόν. — αἱ κιθάραι. — ποταπαί; ὁμόστεγον ἔχουσαι.* — 189. *ἤγουν κοινωνὸν παραλαμβάνουσιν. — ἡδίστην. — τοῖς μέλεσι.*

190. *Germ.* *Ὄαρ λέγεται ἡ γυνὴ καὶ κατὰ συναίρεσιν ὤρ· ἐκ δὲ τοῦ ὄαρ λέγεται καὶ ὀαρίζειν, τὸ γυναικεῖα διαλέγεσθαι.*

gl. 191. *ἤτοι νίκης ἠξιῶσθαι ἀγωνιζόμενον. — ἐστί. — ἀέθλων] συνίζησις· — τῶν ἀγώνων.* — 192. *ἤγουν ἐγκωμίου τυγχάνειν. — τύχη ἐστί.*

191—192. *Τινὲς πρὸς τὸ* ἀέθλων *λαμβάνουσιν ἔξωθεν ἀπό, οὕτω· τὸ δὲ εὖ παθεῖν καὶ εὐτυχῆσαι ἀπὸ ἀέθλων καὶ ἀγώνων πρῶτον ὑπάρχει. ἐγὼ δὲ οὕτω· τὸ δὲ εὖ παθεῖν καὶ εὐτυχῆσαι, ἤτοι νίκης ἀξιωθῆναι ἀγωνιζόμενον, πρῶτον τῶν ἄθλων ἐστί, τουτέστι τοῦτο πρῶτον οἱ ἀγῶνες παρέχουσι. δευτέρα δὲ μοῖρά ἐστιν εὖ ἀκούειν, ἤτοι ἐγκωμιάζεσθαι ὡς τῆς μὲν νίκης πρῶτον γινομένης, ἔπειτα δὲ ἐπακολουθοῦντος τοῦ ὕμνου. οἱ δὲ πολλοὶ ἀγνοοῦντες καὶ* ἀέθλω *χωρὶς τοῦ ν γράφουσιν.*

gl. 193. *τῇ νίκῃ καὶ τῷ ἐγκωμίῳ.* — 194. *ἐντύχῃ. — λάβῃ ταῦτα ἀμφότερα.* — 195. *μέγιστον. — ἤτοι θαυμάσιος καὶ μέγας ἔδοξεν.*

---

8 *τῶν ἀγ.* Triclinius addidit. — 10 *ἀέθλον ι''*, corr. Schneider. — 13 *ἤγουν ι''*. — 15 *μοῖρα ἐστὶν α' ι''*. — *ἤγουν ι''*. — 16 *γεν. π''*, corr. Semitelos. — 17—18 *γράφουσι ι''*.

Ἐπίνικοι Πυθιονίκαις.

Ἱέρωνι Συρακοσίῳ ἅρματι. Ὠιδὴ β'.

[Δημητρίου Τρικλινίου]

περὶ τῶν κώλων τῶν στροφῶν καὶ ἀντιστροφῶν τοῦ β' εἴδους τῶν Πυθίων.

Τοῦ β' εἴδους τῶν Πυθίων αἱ στροφαὶ καὶ ἀντιστροφαὶ κώλων ἑκάστη ιη'. Τὸ α' τροχαϊκὸν ἑφθημιμερὲς τοὺς πρώτους β' πόδας ἔχον ἐκ τριβράχεος ἤτοι χορείου. Τὸ β' Ἰωνικὸν ἀπ' ἐλάττονος δίμετρον καταληκτικὸν ἐκ β' παίωνος ἀντὶ Ἰωνικοῦ καὶ Ἰωνικοῦ καταληκτικοῦ. Τὸ γ' Ἰωνικὸν ὅμοιον δίμετρον ἀκατάληκτον ἐκ παίωνος δ' καὶ Ἰωνικοῦ ἀπ' ἐλάττονος. Τὸ δ' Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον. τοῦτο καὶ ἰαμβικὸν ἐστιν ἑφθημιμερὲς τοῦ β' ποδὸς ἀναπαίστου. Τὸ ε' δακτυλικὸν δίμετρον ἤγουν β' δάκτυλοι. Τὸ ϛ' προσοδιακὸν τρίμετρον ἀκατάληκτον ἐξ Ἰωνικοῦ ἀπὸ μείζονος, χοριάμβου καὶ Ἰωνικοῦ ἀπ' ἐλάττονος. Τὸ ζ' Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον καταληκτικὸν ἐκ παίωνος β' καὶ Ἰωνικοῦ καταληκτικοῦ ἤτοι διτροχαίου. Τὸ η'

---

4 Scholium metricum *α'* et *ι''* soli servaverunt. — Ante *περὶ τῶν* in *α' ι''* *ἐντεῦθεν ἐμετρήθη τὰ πύθια παρ' ἐμοῦ (παρὰ τοῦ λογιωτάτου τοῦ κυρίου ι'') δημητρίου τοῦ τρικλινίου* legitur. — 6 *αἱ* om. *ι''*. — 7 *ἑκάστη* om. *ι''*. — 8 *ἤγουν* *ι''*. — 12—13 *ἰαμβικόν ἐστιν* codd. — 17 *ἤγουν* *ι''*.

τετράμετρον βραχυκατάληκτον ἐκ β' προσοδιακῶν. σύγκειται γὰρ ἐκ χοριάμβου, παίωνος β' ἀντὶ Ἰωνικοῦ ἀπὸ μείζονος, χοριάμβου αὖθις καὶ Ἰωνικοῦ ἀπ' ἐλάττονος ἡμίσεος. Τὸ θ' προσοδιακὸν τρίμετρον ἀκατάληκτον ἄλλον τρόπον ἐσχηματισμένον. οὐ γὰρ τὴν β' ἔχει συζυγίαν χοριαμβικήν, ἀλλὰ τὴν γ'. ἐξ Ἰωνικοῦ γάρ ἐστιν ἀπὸ μείζονος, παίωνος γ' καὶ χοριάμβου. τὸ αὐτὸ δὲ καὶ ἰαμβικόν ἐστι τρίμετρον βραχυκατάληκτον τοῦ β' ποδὸς τριβράχεος, τοῦ δὲ ε' ἀναπαίστου. Τὸ ι' Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ὑπερκατάληκτον ἐξ Ἰωνικοῦ ἀπὸ μείζονος, παίωνος γ' καὶ συλλαβῆς. τὸ αὐτὸ καὶ ἰαμβικὸν εὕρῃς δίμετρον ἀκατάληκτον τοῦ β' ποδὸς τριβράχεος. Τὸ ια' ἀναπαιστικὸν μονόμετρον ἀκατάληκτον. Τὸ ιβ' Ἰωνικὸν ἀπ' ἐλάττονος τρίμετρον βραχυκατάληκτον ἐκ παίωνος δ', ἐκ γ', καὶ ἡμίσεος Ἰωνικοῦ. ἔστω δὲ καὶ παιωνικόν, εἰ βούλει. Τὸ ιγ' Ἰωνικὸν τρίμετρον καταληκτικὸν ἐξ ἐπιτρίτου γ', Ἰωνικοῦ ἀπὸ μείζονος καὶ ἑτέρου καταληκτικοῦ ἤτοι δακτύλου. Τὸ ιδ' τροχαϊκὸν ἐφθημιμερὲς ἤτοι Εὐριπίδειον. Τὸ ιε' ἰαμβικὸν πενθημιμερὲς ἐξ ἀναπαίστου α'. Ἑξῆς ἐπὶ πάσῃ στροφῇ καὶ ἀντιστροφῇ παράγραφος.

Περὶ τῶν κώλων τῶν ἐπῳδῶν.

Αἱ ἐπῳδοὶ κώλων ἑκάστη ιδ'. Τὸ α' παιωνικὸν τρίμετρον βραχυκατάληκτον ἐκ παίωνος δ', ἐκ γ', καὶ ἡμίσεος Ἰωνικοῦ. οἰκεῖοι γὰρ οἱ πόδες. Τὸ β' παιωνικὸν δίμετρον καταληκτικὸν ἐκ παίωνος β' καὶ Κρητικοῦ. Τὸ γ' χοριαμβικὸν δίμετρον ἀκατάληκτον ἐκ χοριάμβου καὶ ἀντισπάστου. Τὸ δ' πολυσχημάτιστον

---

3 ἡμίσεως ι'', corr. etiam Schneider. — 7 ἰαμβικὸν ἐστὶ codd. — 12 ἐλάσσονος ι''. — 16 ἤγουν ι''. — ἤγουν ι''. — 18 καὶ ἑξῆς ι''. — ἐπὶ πάσης στροφῆς (om. κ. ἀντ.) ι''. — 20 ἑκάστη om. ι''. — παιονικὸν ι'', corr. etiam Schneider.

τρίμετρον ἀκατάληκτον ἐκ χοριάμβου καὶ ἀντισπάστου καὶ ἰαμβικῆς συζυγίας. Τὸ ε' παιωνικὸν δίμετρον καταληκτικὸν ἐκ παίωνος δ' καὶ ἀναπαίστου. Τὸ ϛ' ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον ἐξ ἀντισπάστου καὶ ἰαμβικῆς συζυγίας. Τὸ ζ' ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν ἐξ ἀντισπάστων β', τοῦ πρώτου πεντασυλλάβου διαλελυμένου καὶ τροχαϊκῆς συζυγίας καταληκτικῆς ἤτοι Κρητικοῦ. Τὸ η' παιωνικὸν τρίμετρον ἀκατάληκτον ἐκ παίωνος δ', ἐκ γ', καὶ Ἰωνικοῦ ἀπὸ μείζονος. Τὸ θ' ἰαμβικὸν πενθημιμερές. Τὸ ι' Ἰωνικὸν δίμετρον ἀκατάληκτον ἐξ Ἰωνικοῦ καὶ τροχαϊκῆς συζυγίας. Τὸ ια' προσοδιακὸν τρίμετρον καταληκτικὸν ἐξ ἰαμβικῆς συζυγίας, χοριάμβου καὶ τροχαϊκῆς συζυγίας καταληκτικῆς. Τὸ ιβ' Ἰωνικὸν δίμετρον καταληκτικὸν ἐξ ἐπιτρίτου γ' καὶ Ἰωνικοῦ καταληκτικοῦ. Τὸ ιγ' πολυσχημάτιστον τρίμετρον καταληκτικὸν ἐξ ἀντισπάστου, χοριάμβου καὶ ἰαμβικῆς συζυγίας καταληκτικῆς. Τὸ ιδ' Ἰωνικὸν δίμετρον ἀκατάληκτον ἐκ παίωνος β' καὶ τροχαϊκῆς συζυγίας. εἰ δὲ βούλει, ἔστω καὶ ἰαμβικὸν ἑφθημιμερὲς τοῦ β' ποδὸς ἀναπαίστου. Ἑξῆς ἐφ' ἑκάστῃ ἐπῳδῷ κορωνὶς καὶ παράγραφος, ἐν δὲ τῷ τέλει τοῦ ᾄσματος ἀστερίσκος. ἔστι δὲ στροφῶν δ'.

---

gl. 1. Τὸ προοίμιον ἀπὸ τῆς πόλεως τοῦ νικητοῦ. — 2. τοῦ μεγάλου ἐν μάχαις. — 3. ἱερόν. — τοῦ.

1—3. Ἐπειδὴ αἱ Συράκουσαι πόλις ἐστὶν ἐν Σικελίᾳ, εἰς ἃς Ἱέρων ἐποιεῖτο τὴν οἴκησιν, διὰ τοῦτο πρὸς αὐτὰς ἀποτεί-

---

7 ἤγουν ι''. — 17 ἑξῆς δὲ ἐφ' ι''. — 18 τοῦ om. ι''. — 19 ἐστὶ codd. Post scholium metricum in ι'' τοῦ αὐτοῦ σχόλια, in π'' τοῦ αὐτοῦ Μαγίστρου σχόλια legitur. — 22 Lemma Μεγαλοπόλιες est in ι'', μεγαλοπόλιες ὦ Συράκουσαι in π''. — 23 ὁ Ἱέρων π''. — διατοῦτο α' ι''.

νει τὸν λόγον, φάσκων αὐτὰς μεγαλοπόλιας, ἢ διότι τέσσαρας πόλεις Ἱέρων καταστρεψάμενος αὐτὰς ἐποίησεν, Ἀρκαδίνην, Νεάπολιν, Ἐπιπολάς, Τύχην, ἢ διὰ τὸ τῆς πόλεως θαυμαστὸν καὶ ἐξαίρετον. τέμενος δὲ Ἄρεος διὰ τὸ τῶν ἐνοικούντων πολεμικόν.

gl. 4. τῶν ἐν τοῖς πολέμοις χαιρόντων· λάμβανε δὲ καὶ πρὸς τὸ ἀνδρῶν καὶ πρὸς τὸ ἵππων. — 5. ἐξαίρετοι. — 6. ὑμῖν. — τῶν εὐγείων. — 7. τὸν ὕμνον.

8. Τὸ ἀγγελίαν εἶπεν, ἐπειδὴ ὁ ὑπὲρ τῆς νίκης τοῦ τετραώρου γενόμενος ὕμνος ἀγγελεῖ αὐτὸ ταῖς Συρακούσαις.

gl. 8. τοῦ τετραώρου ἅρματος τοῦ ἐπὶ γῆς κινουμένου.

4—8. *Germ.* Τὸ σιδηροχαρμᾶν ἀπὸ κοινοῦ καὶ τῶν ἀνδρῶν καὶ τῶν ἵππων. — Λιπαρᾶν διὰ τὸν Διόνυσον, καὶ ἐλελίχθονος τῆς ταραττούσης τὴν γῆν.

gl. 9. ποταπός; καλὸς ἐν τῷ ἅρματι φανείς. — τετραορίᾳ. — νικῶν.

10. Τὴν Ὀρτυγίαν τινὲς νῆσόν φασι παρακειμένην τῇ Σικελίᾳ, πατρῷον αὐτοῦ κτῆμα. κρεῖττον δὲ φάσκειν αὐτὴν πόλιν ἐν Σικελίᾳ διὰ τὸ ἐπαγόμενον.

gl. 10. λαμπροῖς. — ἐστεφάνωσεν. — 11. πόλιν ἐν Σικελίᾳ πατρίδα αὐτοῦ.

12. Φασὶ τὸν Ἀλφειὸν ποταμὸν τῆς ἐν Σικελίᾳ Ἀρεθούσης πηγῆς ἐρῶντα ἐκ Πελοποννήσου διὰ μέσης θαλάττης ἀγόμενον συμμίγνυσθαι τῇ πηγῇ. ἔστι δὲ ἡ πηγὴ πλησίον τῆς Ὀρτυγίας

---

2 ἀρκαδίνον ι' π', ἀχραδίνην coni. Sakkelion, recte. — 4 Ἄρεως π'. — 10 τετραόρου π', idem coni. Schneider. — Ceterum hoc scholium in α' ante corr. post scholium adv. 10 legebatur. — 13. 14 ἐλελ. ἡ τῆς U. — 17 τὸ ὀρτ. π'. — νῆσον φασὶ α', φασὶ νῆσον ι'. — 22 ἱστορία περὶ ἀλφειοῦ καὶ ἀρεθούσης margo α'. — 23 πελοποννήσου α'. — τῆς θαλ. π', θαλάσσης ι'.

πόλεως. διὰ δὲ τὸ παρ' Ἀλφειῷ τὸ ἐν Σικελίᾳ ἱερὸν ἢ ἄγαλμα Ἀρτέμιδος εἶναι, διὰ τοῦτο τὴν Ὀρτυγίαν ἕδος ἤτοι τέμενος λέγει.

gl. 12. τῆς ἐν Ἀλφειῷ ποταμῷ ἱδρυμένης. — 13. Ἀρτέμιδος. — χωρίς. — τὰς ἐν τῷ ἅρματι. — λαμπραῖς. — 14. ποικίλους χαλινοὺς ἐχούσας. — 15. ἤλασε νικητικῶς πρὸς τὸν δρόμον. — τοὺς ἵππους. — 16. ἡ τοξικὴ καὶ τοῖς βέλεσι χαίρουσα. — 17. διπλῇ.

16. 17. Ἐπὶ γὰρ Ἰοχέαιρα] τὸ ἐπὶ πρὸς τὸ τίθησι συναπτέον. τὸ δὲ διδύμῃ χερὶ ἢ πρὸς τὴν Ἄρτεμιν νοητέον ἀντὶ τοῦ μεγάλῃ βοηθείᾳ· ὁ γὰρ ἀμφοτέραις χερσὶ συμμαχῶν μεγίστην παρέχει βοήθειαν· ἢ τὸ διδύμῃ χερὶ τῇ τοῦ Ἱέρωνος· ἀμφοτέραις γὰρ ταῖς χερσὶ τὰς τοῦ ἅρματος ἡνίας κατεῖχεν, ἵνα λέγῃ, ὅτι τεχνικῶς καὶ καλλίστως πρὸς τὸν δρόμον τὸ ἅρμα ὁ Ἑρμῆς καὶ ἡ Ἄρτεμις ἐλάσαι παρέσχον.

gl. 18. ὁ ἔφορος τῶν ἀγώνων. — 19. λαμπρόν. — τὴν ἐκ τῆς νίκης τιμήν. — 20. τετορευμένον. — ἅρμα. — 21. τὰ τοῖς χαλινοῖς πειθόμενα πρὸς τὴν κίνησιν. — 22. δύναμιν. — τὸ τῶν ἵππων, ἤτοι τοὺς ἵππους περιφραστικῶς.

21. 22. Τὸ ἅρματα πεισιχάλινα καὶ τὸ ἵππειον σθένος ταὐτόν ἐστιν· ἅρματα γὰρ πεισιχάλινα ἡ μετὰ τῶν ἵππων ἅμαξα. οὐ γὰρ οἷόν τε μόνῃ τῇ ἁμάξῃ τοῖς χαλινοῖς πείθεσθαι μὴ ἵππων οὐσῶν. ἔχει δὲ τὸ ἐν τὴν δύναμιν πρὸς τὸ καταζευγνύῃ.

23. Εὐρυβίαν θεὸν τὸν Ποσειδῶ λέγει· πρῶτος γὰρ οὗτος

---

1 δὲ τὸ] δὲ τῷ ι''. — 2 ἤγουν ι''. — 10 τὸ δὲ δὲ ι'', corr. Schneider. — διδύμᾳ π''. — 12 «τὸ delendum videtur» *Schneider*. — διδύμᾳ π''. — 14 καλίστως π'', corr. Sakkelion. — 21 ταὐτὸν ἐστίν ι''· ταυτὸν ἐστὶν α'. — 25 ποσειδῶνα π'', neptunum ι''. — 25 — p. 461, 2 λέγει· πρῶτος ἅρμασιν om. ι''.

ἅρμα παρέσχε Πέλοπι· διὸ καὶ εἰκότως ἂν βοηθὸς καλοῖτο τοῖς ἅρμασιν.

gl. 23. *τὸν ἐν τῇ τριαίνῃ κινοῦντα τὴν γῆν. — μεγαλοδύναμον. — ἐπικαλούμενος. — τὸν Ποσειδῶ.* — 24. *ἐποίησεν.* — 25. *εἰς ὃν ἐστι καλῶς αὐχήσασθαι τὸν ἔχοντα.* — 26. *ἀμοιβήν. — τῶν αὐτῶν.*

27. *Κινύραν τὸν τῶν Κυπρίων λέγει βασιλέα, ὃν ἐν τῷ λόγῳ διὰ τοῦτο παρέλαβε, διότι καὶ ὁ τοῦ Ἱέρωνος πατὴρ Δεινομένης τὸ ἀνέκαθεν Κύπριος ἦν. τὸ δὲ κελαδέοντι εἶπεν ἢ ὡς ἀρχηγέτην τῆς νήσου, ἢ ὡς βασιλέα αὐτῆς εὐδαιμονέστατον καὶ μείζω τῶν πρὸ αὐτοῦ γενόμενον.*

gl. 27. *ὑμνοῦσι. — τὸν τῶν Κυπρίων βασιλέα.*

28. *Germ.* *Ὅντινα τὸν τῶν Κυπρίων βασιλέα· οὗ καὶ Ὅμηρος μέμνηται. υἱὸς δὲ Εὐρυμέδοντος καὶ Παφίας νύμφης· ἐγένετο δὲ ἱερεὺς τῆς Κυπρίας Ἀφροδίτης.*

gl. 28. *πλειστάκις. — οἱ ὕμνοι. — Κινύραν.* — 29. *ὁ χρυσόθριξ. — προθύμως.* — 30. *ἢ ὡς τοξικὸν ἢ ὡς μουσικόν.* — 31. *κτίλον] φίλον. — αὐτῇ γὰρ ἀφιέρωται ἡ Κύπρος. — φέρει ἑαυτήν.* — 33. *ποταπή; ἀμειπτική. — ἔργων] προϋπαρξάντων.*

34. *Pal.* *Ἡ Ἐπιζεφυρία Λοκρὶς ἐπολιορκεῖτο ὑπὸ τῶν ἐχθρῶν· ὧν ἀπελασθέντων τῇ δυνάμει Ἱέρωνος προσεγένετο ταῖς Λοκρίσι παρθένοις βλέπειν στερεῶς, ἀσφαλῶς, ἤγουν*

---

7 *Κινύραν* — *Κυπρίων* om. *ι'* haplographica neglegentia; cf. quæ ad schol. ad v. 23 adnotavi; «*ὃν*] ante hoc Cinyræ regis mentio videtur excidisse» *Schneider*. — 8 *τοῦ* om. *ι'*. — 9 *τοανεκ.* *α' ι'*. — *κύπριον* *π'*, corr. Sakkelion. — 20 «Scholium hoc addidi e Pal. C. quamquam recens videtur, aut certe interpolatum. Saltem *ἤγουν* recentibus grammaticis debetur: quam vocem plerisque locis codicum ope sustuli; ubi reliqui, ideo feci, ne a librorum fide discederem.» *Boeckh*. — 21 *ἀπελαθέντων* cod.

ἀφόβως, πρὸ τοῦ τῷ φόβῳ τῶν ἐχθρῶν ἔνθα κἀκεῖσε συχνῶς τοὺς ὀφθαλμοὺς περιφερούσαις.

34. ὄπισθεν ἐρχομένη τῶν ἔργων ἤτοι ὕστερον.

32—34. Χάρις φίλων] τὸ φίλων ἢ πρὸς τὸ ποίτινος συναπτέον ἢ πρὸς τὸ ἔργων, ἵν' ᾖ τὸ μὲν φίλων ἀρσενικόν, τὸ δὲ ἔργων οὐδέτερον, οὕτως· ἄγει δὲ καὶ φέρει ἑαυτὴν ἡ χάρις ἀντὶ ἔργων προϋπαρξάντων. ὀπιζομένα δὲ ὄπισθεν ἐρχομένη, ποταπή; ποίτινος καὶ ἀμειπτικὴ τῶν φίλων τῶν δι' ὧν ἐποίησαν ἔσεσθαι ταύτην παρασκευασάντων. ἢ οὕτως. ἄγει δὲ ἑαυτὴν ἡ χάρις ἀντὶ ἔργων φίλων ὀπιζομένη καὶ ὄπισθεν ἐρχομένη ποίτινος καὶ ἀμειπτική· τουτέστιν ἡ γινομένη χάρις προϋπαρξάντων τινῶν ἔργων χάρις ἐστί· τοῦτο δὲ λέγει διὰ τὸ ἐλευθερωθῆναι τοὺς Ἐπιζεφυρίους Λοκροὺς ὑπ' αὐτοῦ πολεμίων ἐπιθέσεως καὶ νῦν τοῦτον θαυμάζειν ὡς σωτῆρα. Ἀναξίλας γὰρ καὶ Κλεόφρων ὁ τούτου παῖς τύραννοι ὄντες, ὁ μὲν ἐν Ῥηγίῳ, Ἀναξίλας δὲ ἐν Μεσσήνῃ, πόλεμον τοῖς Ἐπιζεφυρίοις Λοκροῖς ἠπείλησαν. μαθὼν οὖν Ἱέρων καὶ πέμψας πρὸς αὐτοὺς τὸν κηδεστὴν αὐτοῦ Χρόμιον, ἐπέσχεν αὐτοὺς τῆς ὁρμῆς.

---

1 προτοῦ (sic) *Boeckh*, πρώτον cod. — ἔνθεν cod. — **5** ἀρσενικῶν ι'', corr. Schneider. — **7** προϋπαρξάντων ὀπιζομένα καὶ ὀπ. π'', fort. recte. — **8** ποταπὴ ποίτινος α' ι'', ποταπὴ τινος (sic?) π'', corr. Semitelos. — **9** ἔσεσθαι ταύτην om. π''. — **15** γάρ] δὲ ι''. — **16** μεσήνῃ α' ι''. — **18** αἰτοῦ π''. — Ceterum in π'' ad v. 32 hæc glossa legitur: τὸ ἄγει δὲ χάρις μέχρι τοῦ ὀπιζομένα κατὰ παρεμβολὴν κεῖται διὰ μέσου. — et ad v. 33 hoc scholium: τί βούλεται τὸ ποίτινος οὐκ οἶδα οὐδὲ μὴν οἱ οὕτω γράφοντες. δεῖ δὴ γοῦν γράφειν ποίνιμος ἀπὸ τῆς ποινῆς, ὃ σημαίνει τὴν ἀντέκτισιν καὶ ἀμοιβήν τινος προκαταρκτικῆς χάριτος· οὐ γὰρ ἀεὶ τὴν ὑπὲρ φόνου κόλασιν νοεῖν δίδωσι. πολλὴ δὲ ἡ χρῆσις ἐπὶ τῆς τοιαύτης σημασίας παρὰ τούτῳ τῷ ποιητῇ· ὅθεν καὶ ἄποινα εἴρηκεν ἀρετῆς τοὺς ἐγκωμιαστικοὺς λόγους, ἤγουν τιμὴν ἀντὶ βραβεῖα καὶ δῶρα τῆς ἀριστείας. Et ποίνιμος pro ποίτινος inde a Spigelio multis editoribus probatum est.

gl. 34. τοῦ Δεινομένους. — Ἱέρων. — 35. ἐκτὸς τῶν δόμων· οὕτω γὰρ ἦν ἔθος πανηγυρίζειν. — 36. ἤγουν αἱ Λοκρίδες γυναῖκες. — θαυμάζει καὶ ὑμνεῖ. — 37. τῶν τοῦ πολέμου. — μόχθων. — ἐν οἷς οὐκ ἦν ἀπαλλαγὴν μηχανήσασθαι. — 38. τὴν σὴν ἀρχήν. — ἰδοῦσα. — βέβαιον. — 39. ἤτοι ταῖς τοῦ Διὸς προσταγαῖς.

40. Φαντὶ ταῦτα] τοῦτο τὸ ταῦτα πρὸς τὸ τὸν εὐεργέτην συνάπτεται. τὸ γὰρ τὸν εὐεργέτην ἀγαναῖς ἀμοιβαῖς ἐποιχομένους τίνεσθαι, ἑρμηνεία ἐστὶ τοῦ ταῦτα.

gl. 40. φασί. — 41. ταχυτάτῳ. — 42. ἀεὶ περιφερόμενον.

43. Αὕτη ἡ αἰτιατικὴ τὸ εὐεργέταν πρὸς τὸ ἐποιχομένους συντάσσεται οὕτως. ἐπὶ τὸν εὐεργέτην οἰχομένους καὶ πορευομένους ἐν ἀμοιβαῖς ἀγαναῖς καὶ λαμπραῖς τίνεσθαι καὶ ἀνταποδιδόναι αὐτῷ.

gl. 43. λαμπραῖς. — ἐν. — 44. πορευομένους. — ἀνταποδιδόναι καὶ ἀντιχαρίζεσθαι αὐτῷ.

39—44. *Germ.* Ἐν ταῖς ἐφετμαῖς δὲ καὶ ταῖς ἐντολαῖς τῶν θεῶν φασι τὸν Ἰξίονα παντᾷ καὶ πανταχοῦ κυλινδόμενον ἐν τροχῷ πτερόεντι καὶ ταχεῖ λέγειν τοῖς βροτοῖς ταῦτα, ὅτι πρέπον ἐστὶ τίνεσθαι τοὺς ἐποιχομένους τὸν εὐεργέτην ἐν ἀμοιβαῖς ἀγαναῖς.

45. Τὸ εὐμενέσι λέγει, ἐπειδὴ φονεύσας τὸν πενθερὸν αὐτοῦ ὑπὸ μόνου τοῦ Διὸς ἐκαθάρθη καὶ τιμῆς ἠξίωται, ὡς προϊόντες ἐροῦμεν τὴν ἱστορίαν.

gl. 45. τοῦτο. — βέβαιον ἐξ ὧν αὐτὸς ἔπαθεν. — ποταποῖς; — 46. τῷ Διὶ καὶ τῇ Ἥρᾳ. — 47. λαβών. — ζωήν. — 48. ποταπόν; πολυχρόνιον. — ἣν παρ' αὐτοῖς ἠξιώθη εὐδαιμονίαν. — 49. μανίας γὰρ ἦν τὸ τοιαῦτα πράττειν. — ἐν. —

7 τὸν om. π'. — εὐεργέταν π'. — 10 ἀεὶ Triclinii manu scriptum est. — 12 εὐεργέταν π'. — 17 ἢ ἐν U. — 18 φασὶ U. — 19 ταχεῖ λέγει U. — 20 γίνεσθαι U. — 23 αὐτοῦ π'.

50. ἐπεθύμησε. — Ἥραν. — κοῖται. — 51. ἐκτήσαντο. — τὴν πολλὴν εὐφροσύνην ἔχοντος, ἢ τοῦ πολλῶν ἀγαθῶν ὄντος αἰτίου, ἢ τοῦ κατὰ πολὺ καὶ ἄγαν θαυμαζομένου.

52. Τὸ αὐάταν ἐστὶν Αἰολικόν· ἐκεῖνοι γάρ, ὅταν ἡ λέξις δύο φωνήεντα ἔχουσα ἐγγὺς καὶ μὴ σύμφωνον μέσον, προστιθέασι τὸ υ, τὸ ἀὴρ αὐὴρ καὶ τὸ ἄως αὔως λέγοντες. ἐπεὶ οὖν οὐ μόνον ἄτη, ἀλλὰ καὶ ἀάτη εὑρίσκεται ἀντὶ τοῦ μεγάλη βλάβη (ἐπιτατικὸν γάρ ἐστι τὸ α) διὰ τοῦτο προστεθέντος τοῦ υ αὐάτη γέγονεν.

gl. 52. τὸν Ἰξίονα. — ἡ πρὸς τὴν Ἥραν. — βλάβην. — μεγάλην· λέγω δὴ τὴν τοῦ τροχοῦ κόλασιν. — 53. ἐνέβαλε.

52. 53. Germ. Ἀλλά νιν] ὁ νοῦς· ἀλλά νιν καὶ αὐτὸν τὸν Ἰξίονα ἡ ὕβρις καὶ ἡ κακὴ βουλὴ καὶ προαίρεσις εἰς ἄτην μεγάλην ἐνέβαλεν.

gl. 53. ταχέως. — προσήκοντα τῇ ὕβρει. — 54. παράδοξον καὶ παρηλλαγμένον. — πόνον ἤτοι κόλασιν. — περὶ τῶν δύο ἁμαρτιῶν Ἰξίονος. — 55. ἁμαρτίαι, ἃς ἐρεῖ· τοῦτο δὲ καθολικῶς καὶ οὐ περὶ μόνου τοῦ Ἰξίονος λέγων συνάπτει εἰς τὸν περὶ τοῦτον λόγον. — 56. πόνους καὶ κολάσεις φέρουσαι. — ὑπάρχουσι. — τοῦτο μέν. — 57. ὁ Ἰξίων. — συγγενικόν, τὸ τοῦ πενθεροῦ αὐτοῦ. — 58. οὐδεὶς γὰρ ἄλλος ἐμφύλιον αἷμα πρὸ αὐτοῦ ἐποίησεν. — χωρίς. — ἀλλὰ μετὰ μηχανῆς. — 59. ἐπέβαλε. — τοῖς ἀνθρώποις. — 60. τοῖς μεγάλους τοὺς ἐνοικοῦντας ἔχουσιν. — 61. οἴκοις. — 62. τὴν σύζυγον Ἥραν. — ἐρωτικῶς ἐπεχείρει.

57—62. Ἱστορία περὶ τοῦ φόνου, ὃν Ἰξίων ἐποίησεν. Ἰξίων Διάντην τὴν Δηιονέως θυγατέρα γήμας, ἐπειδὴ

---

4 ἀνάταν ι'. — ἢ] ἡ ι'. — 5 ἐγγὺς ἔχουσα ι' π'. — 6 ἀνὴρ ι'. — ἄνως ι'. — 7 τοῦ om. π''. — 8 γάρ ἐστι α' ι'. — 9 ἀνάτη ι'. — 26 Lemma in marg. habet α', om. ι'. — 27 Διάντην] Δίαν π'' idem coni. Schneider.

ἀπῃτεῖτο παρ' αὐτοῦ τὰ ὀφειλόμενα τοῖς τῶν κορῶν πατράσι δίδοσθαι παρὰ τῶν νυμφίων, τοιόνδε τι ἐμηχανήσατο. βαθὺ γὰρ ὄρυγμα ποιησάμενος καὶ πῦρ ἐμβαλὼν σχίνων φορυτὸν ἐπέθηκε, καλέσας αὐτὸν δῆθεν εἰς δεῖπνον. καὶ ὃς παραγενόμενος καὶ τῷ βόθρῳ ἀπροόπτως ἐμπεπτωκὼς ὑπὸ τοῦ ἐν αὐτῷ πυρὸς διεφθάρη. μηδενὸς δὲ μήτε θεοῦ μήτε ἀνθρώπου διὰ τὸ μύσος ὑποδεχομένου Ἰξίονα, μόνος ὁ Ζεὺς εὐμενὴς αὐτῷ καταστὰς ἐκάθηρέ τε τοῦ φόνου καὶ ὁμοδίαιτον ἐποιήσατο. διάγων οὖν μετ' αὐτοῦ Ἥραν πειρᾶν ἤρξατο. ἡ δὲ ἱστορία πᾶσα πολλάκις ἐγράφη. διὸ νῦν παρεῖται. ὥσπερ δέ φαμεν οὐ μόνον πειρῶμαι τὸ ἀπάτειραν ποιοῦμαι, ἀλλὰ καὶ πειρῶ, οὕτω καὶ πειρῶ τὸ συννεύω οὐ μόνον πειρῶ, ἀλλὰ καὶ πειρῶμαι.

gl. 63. πρέπει. — εἰς.

64. Παντὸς ὁρᾶν μέτρον] Πάντα ἄνθρωπον καὶ τοῦ μὲν ἁρμόζοντος αὐτῷ ἐπιθυμεῖν, τοῦ δ' ὑπὲρ αὐτὸν μὴ ἐφίεσθαι. καὶ μαρτυρεῖ ἡ παροιμία φάσκουσα «μὴ ὑπὲρ τὰ ἐσκαμμένα πήδα» καὶ «τὴν κατὰ σαυτὸν ἔλα» καὶ «γνῶθι σαυτόν» καὶ «τοῖς ἀνεφίκτοις μὴ ἐπιχείρει».

gl. 64. πράγματος. — πάντα ἄνθρωπον. — 65. γάμοι. ἔξω τοῦ ἁρμόζοντος γενόμενοι. — δυστυχίαν. — 66. αἰφνίδιον. — τοὺς αὐταῖς χρησαμένους. — πρός. — 67. τὸν Ἰξίονα. — ἀφίκοντο αἱ παράτροποι εὐναί, ἤτοι καὶ οὗτος αὐταῖς περιπέπτωκεν Ἥρας ἐπιθυμήσας. — συνεκοιτάσθη.

65—67. Germ. Παράτροποι] ὁ νοῦς· αἱ εὐναὶ δὲ αἱ μοιχίδιοι καὶ αἱ τοῦ δέοντος παρατετραμμέναι εἰς κακότητα καὶ

---

2 ἀπὸ τῶν ι'. — 2 τοιόνδέ τι π'. — 3 φορητόν π'. — ἐπίθηκεν ι'. — 6 μύσος α' (?), μῖσος π''. — 10 δὲ φαμὲν α' ι''. — 14 ὁρ. (sic om. μέτρον) ι', ὁρα (?) α'. — Totum scholium om. π'. — 18 τῶν ἀνεφίκτων (idem α' ante corr., corr. Tricl.) μὴ ἐπιθύμει ι''. — 25 μυχίδιαι U.

βλάβην ἀθρόως ἐνέβαλον πάντα ἄνθρωπον, αἵτινες καὶ πρὸς τοῦτον ἦλθον.

gl. 68. οὐ γὰρ Ἥρα ἐμίγθη ὡς ᾤετο, ἀλλὰ νεφέλῃ. — Ἥρᾳ γὰρ ἐδόκει μίγνυσθαι. — ζητῶν. — ἀναίσθητος.

69. Τὸ εἶδος ἢ διὰ τὴν νεφέλην νοητέον ἢ διὰ τὴν Ἥραν. κρεῖττον δὲ διὰ τὴν νεφέλην.

gl. 69. κατὰ τό. — ἐξοχωτάτῃ. — 70. ἥρμοζε, καὶ ὡμοιοῦτο ἡ νεφέλη. — τῶν θεαινῶν. — 71. τῇ Ἥρᾳ. — νέφελην. — απάτην, ἄγρευσιν. — 72. ἐποίησαν. — μηχαναί. — ὡς πρὸς τὴν αὐτοῦ δόκησιν· ᾤετο γὰρ Ἥρᾳ μίγνυσθαι. — 73. βλάβην· φωραθεὶς γὰρ ἐντεῦθεν Ἥρας ἐρῶν κεκόλασται. — τέσσαρας κνήμας ἔχοντα. — 74. κατεσκεύασεν ἐξ ὧν ἐφωράθη. — τὸν τροχὸν ἐν ᾧπερ ἐδέθη. — 75. ἴδιον. — κόλασιν. — ὁ Ἰξίων. — ἐξ ὧν οὐ δύναται φυγεῖν. — 76. τῷ τροχῷ ἐν ᾧ περιδέδεται. — 77. τὸν πολυθρύλλητον. — 78. τὸ χρὴ τοὺς εὐεργέτας καλλίστοις ἀμείβεσθαι. — τῶν τῆς συνουσίας. — ἐγέννησεν. — 79. υἱόν. — μέγαν καὶ παλαμναῖον. — 81. τίμιον· ἀλλὰ ἄγριον καὶ οὐ τοῖς τῶν θεῶν νόμοις πειθόμενον, ἀλλ' αὐτόβουλον καὶ ἰδιογνώμονα. — 82. αὐτόν. — ὠνόμασεν ἡ νεφέλη. — τρέφουσα καὶ αὐξάνουσα. — 83. ταῖς ἐν Μαγνησίᾳ πόλει Θετταλίας, τῇ καλουμένῃ νῦν Πέτρᾳ. — 84. συνεγένετο. — 85. ὅμους Θετταλικοῦ. — τοῖς πρόποσι. — ἐκ τῆς τοιαύτης μίξεως. — 86. τῷ Κενταύρῳ καὶ ταῖς ἵπποις. — 87. ὅμοιοι. — τὸ τ ά πρὸς τὸ κ ά τ ω συναπτέον, ἤγουν τὰ κάτω μέν. — ἀπὸ μητρός. — 88. τὰ ὑπεράνω. — ἀντὶ τοῦ πατρός.

85—88. Germ. Ἐκ δ' ἐ γ έ ν ο ν τ ο σ τ ρ α τ ὸ ς/ ἐξεγένοντο δὲ στρατὸς θαυμαστὸς Κενταύρων ἀμφοτέροις τοῖς γεγεννηκόσιν ὅμοιοι. ἔσχον δὲ εἰς ἓν συμβεβλημένας τὰς δύο φύσεις,

24 ἀπο μέρους cod.

καὶ τὰ μὲν κάτω ἐμφερεῖς ἦσαν ταῖς μητράσιν, τὰ δὲ ἄνω τοῖς πατράσιν.

Germ. *Οἷον καὶ παροιμία· ἵππος μέν ἐρεύγεται ἄνδρα, ἀνὴρ δ' ἐξαπέπερδεν ἵππον.*

78—88. *Τὸ οἱ ἢ ἀντὶ τοῦ τῇ νεφέλῃ νοητέον, οὕτως· ἄνευ Χαρίτων τέκεν ὁ Ἰξίων οἱ καὶ αὐτῇ γόνον ὑπερφίαλον, μόνῃ αὐτῇ μόνον· οὔτε γὰρ ἄλλη νεφέλη ἄνθρωπον ἔτεκε, καὶ μόνος οὗτος ταύτης ἐγένετο. ἢ τὸ οἱ ἀντὶ τοῦ αὐτῷ τῷ Ἰξίονι, οὕτω μόνη ἡ νεφέλη ἄνευ Χαρίτων τέκεν αὐτῷ τῷ Ἰξίονι, γόνον. ἰστέον δέ, ὅτι οὐ διφυὴς ἄνθρωπος, ὥς τινές φασιν, ἐκ τῆς νεφέλης ἐγένετο, ἀλλ' ἄγριός τις καὶ ὄρειος, ὃς μιγνύμενος ταῖς ἐν τῷ Πηλίῳ, Θετταλικῷ ὄρει, ἵπποις, τὸ τῶν Ἱπποκενταύρων γένος ἐποίησεν. Ὅτι δέ ἐστι τοῦτο, μαρτυρεῖ καὶ Πίνδαρος ἐνταυθοῖ, λέγων ἐκ τῆς τοιαύτης μίξεως στρατὸν γεγονέναι δίμορφον, ἐοικότα μὲν τοῖς κάτω μέρεσι ταῖς μητράσιν αὐτῶν ἵπποις, τοῖς δὲ ἄνω τῷ πατρὶ αὐτῶν Κενταύρῳ. ὥστε εἰ ὁ Κένταυρος διφυὴς ἦν, οὐκ ἂν τοῦτο ἔλεγε Πίνδαρος.*

gl. 89. *ἤγουν βουλαῖς. — ὅτι θεῶν βουλαῖς πάντα γίνεται.* — 90. *σημεῖον καὶ παράδοξον. — τελεῖ.*

89. 90. *Germ.* *Ὁ θεὸς ἅπαν τὸ τέκμαρ καὶ τὸ διανόημα, ὅπερ διανοηθῇ ἐπὶ ταῖς ἐλπίδεσσι καὶ ταῖς φρεσὶ καὶ ἐπὶ ταῖς*

---

5 *οἷ* α' ι''. — *ἢ* om. π''. — *τῇ* om. π''. — 7 *ἔτεκεν* ι''. — 7 *μόνον* ι''. — 12 *Θεττ. ὄρει* om. ι''. — 13 *δὲ ἐστὶ* α' ι''. — 14 *τῆς* om. π''. — 18 *αὐτῶν* π''. — 16 *αὐτῶν* π''. — *κενταύρων* ι'', corr. Schneider. — 18 In π'' hoc scholium praecedit: *Θεὸς ἅπαν*] *ὅπερ ἄν, φησίν, ὁ θεῖος νοῦς ἐνθυμηθῇ, καὶ πληροῖ. ὁ θεὸς οὖν ἅπαν τέκμαρ καὶ πᾶν διανόημα ἀνύεται καὶ ἐκτελεῖ ἐπ' ἐλπίδεσιν, ἀντὶ τοῦ κατὰ τὴν προσδοκίαν αὐτοῦ, ἤγουν κατὰ τὴν γνώμην καὶ βούλησιν. τοῦτο δὲ εἴρηκεν ὁ ποιητὴς πρὸς τὴν τῶν ἀνθρώπων ἀφορῶν φύσιν. τὸ θεῖον δὲ καὶ διανοεῖται ἅμα καὶ παράγει ἄνευ χρόνου μεσιτείας τὰ διανοούμενα.* — 20 Ante *ὁ θεός* delevi *ἢ οὕτως.* — 21 *φρεσίν* U.

διανοίαις αὐτοῦ, ἀνύει καὶ πληροῖ. διὸ καὶ ἐντίθησιν, ὅτι τὰ ἀδύνατα παρὰ ἀνθρώποις δυνατὰ τῷ θεῷ.

89. 90. οἱ λέγοντες τὸ ἐλπίδεσσιν ἀντὶ τοῦ γνώμαις ἀμαθεῖς· τὸ δέ ἐστι τοιοῦτον. δέον γὰρ εἰπεῖν βουλαῖς, ἐλπίδεσσιν εἶπεν, ἐπειδὴ ὃ βούλεταί τις ποιῆσαι, καὶ ἐλπίζει τοῦτο τελέσαι. θεὸς ἅπαν τέκμαρ καὶ σημεῖον ἀνύεται καὶ τελειοῖ ἐπὶ ταῖς ἐλπίδεσσι· τουτέστιν ἅπαν τέρας καὶ παράδοξον εἰ βουληθείη θεὸς ἐργάσασθαι, ῥᾷστα τοῦτο ποιεῖ. τοῦτο δὲ εἶπε διὰ τὸ παραδόξως ὑπὸ Διὸς πεποιῆσθαι τὴν νεφέλην ἐμφερῆ τῇ Ἥρᾳ.

gl. 91. ὅστις. — πτερωτόν. — 92. ἀετόν. — καταλαμβάνει καὶ οὐκ ἐκφεύγει αὐτὸν πετόμενος. — θαλάσσιον. — 93. παρέρχεται ἤγουν νικᾷ. — 94. μεγαλαύχων. — κατέβαλεν. — 95. ἄλλοις. — 96. δόξαν. — ἀθάνατον καὶ μηδέποτε γηράσκον. — πρέπον ἐστί.

97. Δάκος ἀδινόν/ ἤγουν οὐ δεῖ με κατήγορον εἶναι. τοῦτο δὲ λέγει, διότι τὴν περὶ τοῦ Ἰξίονος δυστυχίαν διῄει.

gl 97. τρῶσιν. — δαψιλές. — 98. ἤτοι μεταγενέστερος Ἀρχιλόχου. — 99. ἐν ἀπορίᾳ τοῦ ζῆν. — 100. τὸν ψόγοις χαίροντα. — τοῖς ἐκ τῆς βαρύτητος τῶν αὐτοῦ λόγων γινομένοις αὐτῷ παρὰ τῶν ἄλλων ανθρώπων. — 101. μίσεσι καὶ ἀποστροφαῖς. — τρεφόμενον.

98—101. *Germ.* Ἑκὰς γὰρ ἐὼν τὰ πολλὰ εἶδον ἐν ἀμηχανίᾳ τὸν Ἀρχίλοχον τυγχάνοντα, πιαινόμενον καὶ ἐναβρυνόμενον ἐν βαρυλόγοις ἔχθεσιν. ἢ οὕτως. ἑκὰς γὰρ ἐὼν ἐγὼ τὰ πολλὰ εἶδον ἐν ἀμηχανίᾳ ἐμαυτον ψογερόν, πιαινόμενον ἐν βαρυλόγοις ἔχθεσιν ὡς τὸν Ἀρχίλοχον.

---

3 ἐπὶ ἐλπίδεσιν (sic) est lemma in π″. — οἱ γράφοντες π″. — ἐλπίδεσιν ι″. — 4 ἐλπίδεσιν ι″. — 7 ἐλπίδεσι ι″. — 24 ἐναυρυνόμενοι U. — 26 βραχυλόγοις U.

98—101. *Τοῦτο λέγει, ὅτι τὸν Ἀρχίλοχον πρὸ ἐμοῦ ὄντα οἶδα ἀπορίαν τοῦ βίου ἔχοντα· πάντες γὰρ αὐτὸν ἐμίσουν ὡς κατήγορον καὶ μόνῳ τῷ παρὰ πάντων ἐπιαίνετο μίσει.*

gl. 102. *ἐπιτυχίᾳ.* — *εὐτυχίας.* — 193. *ἐστί.* — 104. *σὺ δέ, ὦ Ἱέρων.* — *ἀληθῶς.* — *τὸ πλουτεῖν ἢ τὸν πότμον.* — *μεγαλοδώρῳ, εὐεργετικῇ.*

101—104. *Τὸ πλουτεῖν πρὸς τὸ σοφίας συναπτέον, οὕτω. τὸ πλουτεῖν σοφίας σὺν τύχῃ καὶ ἐπιτυχίᾳ πότμου καὶ εὐτυχίας ἄριστόν ἐστιν, ἤγουν ὅστις σοφὸς ὢν εὐτυχεῖ, οὗτος ἄριστος. τοῦτο δὲ λέγει διὰ τὸν Ἀρχίλοχον σοφὸν ὄντα καὶ πενίᾳ κατεχόμενον. οὐ μόνον δὲ πλουτῶ τόδε φάμεν, ἀλλὰ καὶ πλουτῶ τοῦδε· καὶ μαρτυροῦσιν ἄλλοι τε πολλοὶ καὶ Λιβάνιος λέγων* (Epist. ed. Wolf. 1738 p. 185)· *τοιγαροῦν ἐν ἀπορίᾳ χρημάτων Πλουτοῦμεν ῥημάτων. ἢ τὸ σοφίας πρὸς τὸ πότμου συναπτέον, οὕτως. ἄριστον δὲ ὑπάρχει τὸ πλουτεῖν σὺν τύχῃ καὶ ἐπιτυχίᾳ πότμου καὶ εὐτυχίας σοφίας, ἤγουν εὐτυχήσας σοφίαν καὶ πλοῦτον ἄριστος· ὥστε πρὸς μὲν τὸ ἄνω τὸ νὶν ἀντὶ τοῦ αὐτόν, τὸν πότμον, λέγε, πρὸς δὲ τὸ κάτω ἀντὶ τοῦ αὐτό, τὸ πλουτεῖν.*

gl. 105. *ἐκ τούτου προτρέπει αὐτὸν εἰς εὐεργεσίαν αὐτοῦ.* — *παρέχειν· ἤγουν σὺ πλουτίζειν τοὺς ἄλλους δύνασαι.* — 106. *παροχεῦ, εὐεργετικέ.* — *βασιλεῦ.*

107. *Τὸ εὐστεφάνων ἀγυιᾶν οὐκ ἔστιν ἀντὶ τοῦ τῶν εὐτοίχων, ὥς τινές φασιν· ἀλλ' εἰώθασιν Ἕλληνες ἐπειδὴ συνεχέσι πανηγύρεσιν ἠγλαΐζοντο, τοὺς ἐν ταῖς πόλεσι στενωποὺς*

---

14 *πότμον* ι'', corr. Schneider. — **16** ante *νὶν*. Sakkelion *ὁ* inseruit. — **17** *τὸ νιν* π''. — *λέγει* ι''. — »*πρὸς μὲν τὸ ἄνω* — *πρὸς δὲ τὸ κάτω*] h. e. in priore — in posteriore interpretatione. Sic ad Pyth. IV extr. *πρὸς τὸ πρῶτον* et *πρὸς τὸ δεύτερον* dixit. Pronomen *νὶν* igitur utique ad fortunæ bona referendum putabat.« *Schneider.* — **23** *τῶν* om. κ''. — **24** *ὥς τινες φασὶν* α' ι''. — **24** *συνεχέσιν* ι''.

στεφάνοις ἐκ κλάδων κοσμεῖν. ὅτι δέ ἐστι τοῦτο, μαρτυρεῖ Λιβάνιος ἐν τῷ πρὸς Ἰουλιανὸν ἐπιταφίῳ φάσκων (I. p. 535 ed. Reiske)· *στέφανόν τινα κλάδων· πολλοὺς δὲ ἐκ καλωδίων τεταμένων εἰς κίονας ἐκ τοίχων ἐξαρτῶσιν οἱ δῆμοι μετεώρους. τούτων εἷς τῶν στεφάνων, οἷς καλλωπίζομεν τὰς πόλεις, ἐκλυθεὶς τοῦ δεσμοῦ, καταβαίνων ἦν ἐν τῇ τοῦ βασιλέως κεφαλῇ, καὶ ἥρμοσεν.*

gl. 107. *πόλεων, περιφραστικῶς.* — 108. *μαχίμου λαοῦ.* — 109. *κτήμασι καὶ πλούτω.* — *ἐν δόξῃ.* — 110. *εἰς τὴν.* — 111. *τῶν πρό σου.* — *κρείττονά σου.* — 112. *μωρᾷ.* — *διανοίᾳ.* — *διισχυρίζεται τοῦτο.* — *ματαίᾳ· οὐ γάρ τις ἐγένετο πλουσιώτερος καὶ ἐντιμότερός σου.*

108—112. *Germ. Εἰ δέ τις λέγει ἕτερόν τινα γενέσθαι ὑπὲρ τῶν πάροιθεν καὶ πρὸ τούτου ἀνὰ τὴν Ἑλλάδα ὑπέρτερον καὶ κρείττονα τοῦ Ἱέρωνος ἐν κτεάτεσι καὶ ἐν πλούτῳ καὶ ἐν τιμῇ. παλαιμονεῖ καὶ ματαιολογεῖ ἐν πραπίδι καὶ ἐν φρενὶ κούφῃ χαύνῃ καὶ σαθρᾷ, κενεᾷ, ματαίᾳ καὶ ψευδεῖ.*

113. *Τοῦτο λέγει, ὅτι ἀνελεύσομαι τῷ λόγῳ εἰς τὴν σὴν νεότητα καὶ εἴπω ταύτην ἄριστα τοὺς πολέμους μεταχειρίσασθαί τε καὶ κατορθοῦν. λέγει οὖν* εὐανθέα στόλον *τὸ ἀναδραμεῖν πρὸς αὐτὴν ἐν τῷ λόγῳ.*

gl. 113. *κάλλιστον καὶ ἐπαινετόν.* — *ἀνέλθω.* — 114. *πορείαν.* — *τῇ σῇ.* 115. *ὑμνῶν.* — *τῇ.* — 116. *βοηθεῖ.* — *τόλμα.* — *ἐκ τοῦ θράσους.* — 117. *τὴν μεγάλην ἣν ἔχεις.* — 118. *εἰς τοὺς πολέμους, ὅτε νεος ἦσθα.* — 119. *ἱππικῷ στρατῷ.* — 120. *μαχόμενον.* — 121. *αἱ σαί.* — 122. *γεροντικαί.* — *ἄφοβον.* — *λόγον.* — 123. *πρός.* — 124. *θαυμάζειν αὐτάς.*

---

1 *δὲ ἐστὶ α' ι'.* — **5. 6** Apud Reiskium *ᾧ* pro *οἷς* et *κορυφῇ* pro *κεφαλῇ* male scriptum esse annotant Schneider et Semitelos. — **13** *ἕτερον τινά U.* — **20** *οὖν τὸ εὐανθέα στ. ἀναθρ. πρ. αὐτὸν π'.* — **23** *τῇ* Triclinii manu scriptum est. — Ante *αἱ β.* delevi *ἢ οὕτως.*

121—124. *Germ.* Αἱ βουλαὶ δὲ σοῦ αἱ πρεσβύτεραι καί τοι ἀκμαίου ὄντος παρέχουσιν ἐμοὶ ἔπος ἀκίνδυνον πρὸς πάντα λόγον ὥστε ἐπαινεῖν. ἢ ἄλλως αἱ βουλαὶ δὲ σοῦ πρεσβύτεραι ὑπάρχουσιν ἤδη. τίνι ὑπάρχουσιν; ἐμοὶ τῷ παρέχοντι ἔπος ἀκίνδυνον πρὸς πάντα λόγον ὥστε ἐπαινεῖν.

115—124. Τὸ νεότητι θράσος ἀρήγει τοῦτο λέγει, ὅτι οὐδείς ἐστιν ἐν νεότητι ἕτερος ἔπαινος ἢ θρασύνεσθαί τε καὶ κατατολμᾶν τοὺς πολέμους. πολλοὶ γὰρ νέοι ὄντες καὶ δοκοῦντες ἄριστα ἂν πρὸς τὴν μάχην ἀρκέσειν, πρὸς μόνην τὴν ταύτης ἀκοὴν καταπλήττονται. τοῦτο δὲ εἶπε διὰ τὸν Ἱέρωνα, ὡς ἐν τῇ νεότητι ἄμαχον ἐν πολέμοις ὄντα. τὸ δὲ δεινῶν πολέμων (116) ἢ ὅτι πάντες οἱ πόλεμοι δεινοί εἰσιν, ἢ δεινῶν ἀντὶ τοῦ μεγάλων καὶ φοβερῶν· τὸ δὲ βουλαὶ πρεσβύτεραι (121) κατὰ ἄμφω νοητέον, ἢ ὅτι πρεσβυτικὴν φρόνεσιν εἶχεν Ἱέρων, ἡνίκα νέος ἦν, ἢ ὅτι νέος ὢν ἐμάχετο, νῦν δὲ πρεσβύτης τυγχάνων ὀρθῶς καὶ ἄριστα βουλεύεται. σύναπτε οὖν τὸ βουλαὶ δὲ πρεσβύτεραι, εἰ μὲν βούλει, πρὸς τὸ ποτὶ πάντα λόγον, εἰ δὲ μή, τὸ ἐπαινεῖν πρὸς τὸ ποτὶ πάντα λόγον ἐχέτω τὴν δύναμιν· πρεσβύτεραι δὲ βουλαὶ αἱ σαὶ πρὸς πάντα λόγον, ἤτοι πρὸς πᾶσαν βουλὴν καὶ δημηγορίαν παρέχοντι καὶ διδόασιν ἐμὸν ἔπος ἀκίνδυνον ἐπαινεῖν καὶ θαυμάζειν αὐτάς, ἤγουν ἄριστος ἂν περὶ τὸ βουλεύεσθαι, ἀκινδύνως καὶ ἀφόβως ἐπαινεῖν σε παρέχεις μοι· οὐ γάρ ἐστί μοι δέος μὴ δόξω ψευδῆ λέγειν. ἢ οὕτω. πρεσβύτεραι δὲ βουλαὶ αἱ σαὶ παρέχοντι ἐμοὶ ἔπος ἀκίνδυνον ἐπαινεῖν καὶ θαυμάζειν αὐτὰς πρὸς πάντα λόγον, ἤτοι πρὸς πᾶσαν βουλὴν καὶ δημηγορίαν, ὡς ὀρθῶς καὶ ἄριστα γίνονται. εὕρηται δὲ καὶ ἐμόν (122). κρεῖττον δέ ἐστι

---

7 οὐδεὶς ἐστὶν α′ ι″. — 9 ἀρκέσαι ι″. — 12 δεινοὶ εἰσὶν α′ ι″. — 14 κατ᾽ π″. — 16 τυγχ.] ὢν ι″. — 17 μέν om. π″. — 19 δὲ αἱ β. αἱ ι″. — 20 ἤγουν ι″. — 23 γάρ ἐστι μοι α′ ι″. — 26 ἤγουν ι″.

τὸ ἐμοί πρὸς τὸ μέτρον. ἢ σύναπτε τὸ ἀκίνδυνον πρὸς τὸ ποτὶ πάντα λόγον, οὕτως· ἐμοὶ ἔπος παρέχουσιν ἀκίνδυνον καὶ ἄφοβον πρὸς πάντα λόγον, τουτέστι τοιαῦταί εἰσιν, ὥσθ' ὅσα ἂν εἴπω περὶ αὐτῶν, οὐ φοβηθήσομαι μή μέ τις αἰτιάσηται, ὡς εἰκῇ τοὺς λόγους ποιοῦμαι.

gl. 125. τὸ νῦν λεγόμενον. — ὡς Φοινίκων ἐμπορίαν καὶ πραγματείαν· ἐμπορικὸν γὰρ τὸ τῶν Φοινίκων γένος. — 126. λευκῆς. — θαλάσσης. — σοί.

127. Pal. Καστόρειον] ὡς ἀπό τινος Κάστορος τοῦτο ἐφευρόντος. — §. ὅπερ τότε μὲν ἀπεστάλη τῷ Ἱέρωνι μετὰ τοῦ παρόντος εἴδους, νῦν δὲ οὐχ εὑρίσκεται.

127. ὁ Κάστωρ πρῶτος εὗρεν. — 128. Θηβαϊκαῖς; ἐξ Αἰολέων γὰρ οἱ Θηβαῖοι. — 129. ἐπίσκεψαι καὶ δοκίμασον, εἰ ἄριστόν ἐστι. — τῆς ἑπτὰ κτύπους διὰ τῶν ἑπτὰ χορδῶν ἀποτελούσης. — 130. τῆς κιθάρας. — ἀντόμενος] διὰ τὸ μέτρον· — ἤτοι ἐντείνων τὰς χορδὰς καὶ ᾄδων αὐτό.

127—130. Germ. Τὸ δὲ Καστόρειον μέλος τὸ συντεταγμένον ἐν Αἰολίδεσσι χορδαῖς εἰς χάριν σοῦ ἀντάμενος καὶ ἀπαντήσας διὰ τῆς φόρμιγγος τῆς ἑπτακτύπου θέλων ἄθρησον. μαθὼν τὸ μέλος οἷόν ἐστι, γένοιο οἷος ἐσσί.

125—130. Ἰστέον, ὅτι δύο ὕμνους ὁ Πίνδαρος Ἱέρωνι πέμπων, τόν τε νῦν λεγόμενον καὶ ἕτερον Καστόρειον μέλος ἔχοντα, ὡς αὐτός φησι, τούτου μὲν μισθὸν ἔλαβε πρώην, διὸ καὶ λέγει κατὰ Φοίνισσαν ἐμπολάν, τουτέστιν ὥσπερ οἱ Φοίνικες τὰς ἐμπορίας ποιοῦνται, οὕτω καὶ αὐτὸς μισθὸν λαβὼν παρά σου, τοῦτον ἐποίησά σοι. ἢ τὸ κατὰ Φοίνισσαν ἐμπολὰν νοητέον, ἀντὶ τοῦ πέμπω σοι τοῦτον, ἵνα μισθὸν λάβω ἐμπορευόμενος τὸν

1—2 πρὸς — ἐμοὶ om. π''. — 3 τοιαῦται εἰσὶν α' ι'', τοιαῦτά εἰσιν π''. — 4 μή μέ τις π''. μή με τις α' ι''. — 5 εἰκῇ π''. — 17 Ante τὸ δὲ delevi ἢ οὕτως. — 20 οἷον ἐστί γ. οἷος εἰσὶν U. — 25 παρὰ σοῦ π''

ὕμνον καθάπερ οἱ Φοίνικες τὰ σφῶν αὐτῶν πράγματα. τὸ δὲ ἐν Αἰολίδεσσι καὶ Θηβαικαῖς χορδαῖς Καστόρειον μέλος, τὴν χάριν καὶ ἀρετὴν τῆς ἑπτακτύπου καὶ ἑπταχόρδου φόρμιγγος θέλων καὶ ἀποδεχόμενος, ἄθρησον καὶ ἐπίσκεψαι, εἰ ἄριστόν ἐστιν, ἀντόμενος καὶ συναντώμενος, ἤγουν ἐντείνων τὰς τῆς μουσικῆς χορδάς. τοῦτο δὲ τὸ μέλος τὸ Καστόρειον τῷ μὲν φαινομένῳ εἰς χάριν αὐτῷ ἔπεμψε, τῇ δ' ἀληθείᾳ εἰς μισθοῦ δόσιν αὐτὸν προτρέπεται ἐκ τοῦ λέγειν *ἄθρησον* καὶ ἐπίσκεψαι, οἷος ἐγὼ ποιητής. τοῦτο δὲ λέγει διὰ Βακχυλίδην εὐδοκιμοῦντα παρὰ Ἱέρωνι. ἔστι δὲ ἡ ἀρχὴ τούτου τοῦ μέλους αὕτη· σύνες ὅτι λέγω, ζαθέων Ἱέρων ἐπώνυμε. Καστόρειον δὲ εἴρηται, ἐπειδὴ ὁ τοῦ Τυνδάρεω Κάστωρ πρῶτος τοῦτο εὗρεν. ἔστι δὲ ἐνοπλίου ὀρχήσεως μέλος.

131. *Οἷος ἐσσί]* ὑπάρχεις ἐν τῇ φύσει, ἤγουν ἐκ φύσεως ἔχων ἄριστα κρίνειν, κρῖνε καὶ τοῦτο καὶ μὴ ὑπό τινος ἀπατηθῇς. τοῦτο δὲ λέγει διὰ Βακχυλίδην.

gl. 131. εἰς τὴν περὶ τούτου ἐπίσκεψιν τοιοῦτος καὶ μὴ μεταβληθῇς. — ὑπάρχεις ἐν τῇ φύσει. — διεξιὼν τοῦτο τὸ μέλος. — 132. ὁ πίθηκος. — ἐν.

Pal 131—133. Ἤγουν καλοὶ μὲν δοκοῦσιν εἶναι οἱ ἐμὲ ψέγοντες Βακχυλίδης καὶ οἱ ἕτεροι τοῖς μὴ συνετοῖς, ὡς πίθηκες τοῖς παισίν. ἀλλ' οὐχὶ καὶ παρὰ συνετοῖς. οὓς μὴ δέχοιο, εἰ θέλεις συνετὸς εἶναι κατ' ἐμοῦ λέγοντας.

Κάλός τοι πίθων] ἤγουν ὁ πίθηκος ὡραῖος δοκεῖ τοῖς

---

1 τὰ δὲ ι'', corr. Schneider. — 2 χορδαῖς om. π''. — 3 τῆς] τὴν α'ι''. — 4 ἄριστόν ἐστιν ι'', ἀριστόν ἐστιν corr. Schneider. — συναντόμενος ἤγουν ι''. — 8 ἄθρ. ἤγουν ἐπίσκ. π''. — ἤτοι κ''. — 9 τοῦτο] τοῦ ι'', corr. Schneider. — 10 ἐστὶ α' ι''. — ὅ τι π''. — ἱέ (sic) ι'', ἱερῶν coni. Schneider. — 11. 12 Καστόρ. — εὗρεν in π'' post μέλος legitur. — 23 λέγοντος ed. Boeckh.

παισί, τοῖς δὲ ἀνδράσιν οὔ. ὥστε καὶ ὁ Βακχυλίδης πίθηκος ὢν τοῖς λόγοις μὴ ἀπάτωσε φρένας ἀγαθὰς ἔχοντα.

gl 134. εὐδαιμόνησε κριτὴς τῶν ἐν Ἅιδου ὤν.

135. Καρπὸν ἀμώμητον] ἤγουν ἄριστα καὶ ὡς ἐχρῆν περὶ τῶν πραγμάτων ἐλογίζετο· ὥστε καὶ αὐτὸς οὕτω ποιῶν τῆς αὐτῆς ἐκείνῳ ἀξιωθήσῃ τιμῆς.

gl. 135. ἤτοι γνῶσιν. — ἄψογον. — 136. ἤγουν ἐν Ἅιδου δικάζων οὐκ ἀπατᾶται περὶ τὰς κρίσεις, πρὸς χάριν ταύτας ποιούμενος καὶ παραλογιζόμενος ὑπό τινων. — 137. ἀπατᾶται. — ἤγουν ἐν τῇ ψυχῇ. — 138. ὁποῖα, ἤτοι τὸ ἀπατᾶν. — τῶν κρύφα κατηγόρων. — μηχαναῖς. — ἀκολουθεῖ. — 139. ἀνθρώπων. — εἰσὶν οἱ κρύφα κατήγοροι· οὐ γὰρ ὁρᾷ τις αὐτοὺς ἵνα καὶ ἀμύναιτο. — 140. καὶ τοῖς κατηγορουμένοις καὶ πρὸς οὓς τούτων κατηγοροῦσιν. — ὑποβολεῖς διαβολιῶν.

139. 140. Ἀμφοτέροις διαβολιᾶν] καὶ τοῖς κατηγορουμένοις καὶ πρὸς οὓς τούτων κατηγοροῦσι. τοῖς μὲν γάρ φασιν, ὡς οἱ δεῖνες ὑβρίζουσί σε καὶ διαβολὴν τούτων πρὸς αὐτοὺς ποιοῦνται. τοῖς δέ, ἃ πρὸς ἐκείνους κατ' αὐτῶν ἔλεγον, ταῦτα πάλιν κατ' ἐκείνων πρὸς αὐτοὺς διεξέρχονται. τὸ δὲ ὑποφάτιες ἀντὶ τοῦ ὑποβολεῖς διαβολιῶν.

141. Τὸ ὀργαῖς ἀτενὲς τοῦτο λέγει ἀντὶ τοῦ ὅταν ὁρμήσωσι κατά τινων ψιθύρους λόγους διεξιέναι, ἀτενὲς καὶ ἀμετάβλητον πρᾶγμά εἰσιν ἐν ταῖς ὀργαῖς καὶ ταῖς ὁρμαῖς τῶν διαβολιῶν· ἀεὶ γὰρ προχωροῦσιν ἐν αὐταῖς καὶ οὐδέ ποτε τῆς κακίας

1 δ' ἀνδρ. π''. — 2 τοῖς ἔργοις π''. — Ad v. 133 in π'' hoc scholium legitur: ὁ δὲ Ῥαδάμανθυς] οὗτος κατὰ βουλὴν καὶ δίκην ὀρθότατος τὸν τρόπον γέγονεν, ὅθεν καὶ θείας ἠξίωται τιμῆς· παρεδρεύειν γὰρ λογοποιεῖται τῷ Κρόνῳ κατὰ τὰς τῶν Μακάρων νήσους καὶ δικαιονομεῖν τοῖς ἐν Ἅιδου. θέλει δὲ εἰπεῖν, ἔσο δίκαιος κριτὴς καὶ δοκιμαστὴς τῶν ἐμῶν ὀρθός, καὶ μὴ γενοῦ εὐεπιχείρητος τοῖς ἀπατῶσί σε καὶ διασύρουσιν ἐμὲ παρὰ σοί, καὶ ἕξεις μισθόν, οἷον ὁ Ῥαδάμανθυς. — 14 γάρ φησιν π''. — 18 ποιοῦσι ι''. — 23 πρᾶγμα εἰσὶν α' ι''.

παύονται. τὸ δὲ ἀλωπέκων ἴκελοι ἀντὶ τοῦ παμμήχανοι καὶ πανοῦργοι, καθάπερ ἀλώπηξ.

gl. 141. ὀρμαῖς ἤτοι ταῖς διαβολαῖς. — πρᾶγμά ἐστιν· οἱ κρύφα κατά τινων λέγοντες. — ὅμοιοι. — 142. τὸ λάθρα κατά τινος φέρεσθαι. — 143. ἐπικερδές. — ὑπάρχει τῷ ποιοῦντι.

142. 143. Τί μάλα τοῦτο] τοῦτο δὲ τὸ λάθρα κατά τινός φέρεσθαι, τί μάλα τελέθει καὶ ὑπάρχει τῷ ποιοῦντι κερδαλέον ἐν κέρδει; ἀντὶ τοῦ οὐδὲν κέρδος τῷ τοῦτο ποιοῦντι περιγίνεται πλὴν τοῦ κακὸς εἶναι. ὥσπερ δέ φαμεν ἐν φόβῳ ταρβεῖ, οὕτω καί κερδαλέον ἐν κέρδει.

gl. 144. θαλάσσιον. — 145. τὸ τῆς θαλάσσης. — τοῦ ἐν τῷ δικτύῳ μολίβδου. — 146. ταῖς τῶν ἄλλων κατηγορίαις. — ὁ ἐν τῷ δικτύῳ. — 147. τὴν ἐπιφάνειαν. — ἐστί. — θαλάσσης.

144—147. Germ. Ἀβάπτιστός εἰμι] ὁ δὲ νοῦς ἀβάπτιστος γάρ εἰμι ὡς; ἅτε καὶ καθὰ σκευῆς καὶ σαγήνης καὶ δὲ ἑτέρας κατασκευῆς τῶν φελλῶν ἐχούσης πόνον ἐνάλιον ὑπὲρ τὸ βαθὺ ἕρκος τῆς ἅλμης. λέγει γὰρ τὰς μολίβδους τὰς κατηγορίας.

145—147. Ἀβάπτιστός εἰμι] εἰμὶ γὰρ ἀβάπτιστος, ταῖς τῶν ἄλλων κατηγορίαις, ὥσπερ ὁ ἐν τῷ δικτύῳ φελλός ἐστιν ὑπὲρ τὸ ἕρκος καὶ τὴν ἐπιφάνειαν τῆς ἅλμης, ἑτέρας σκευῆς, ἤτοι τοῦ ἐν τῷ δικτύῳ μολίβδου, ἐχούσης τὸ βαθὺ τῆς θαλάσσης, ἅτε καὶ καθὰ πόνον θαλάσσιον, τουτέστιν ἐντὸς τῆς θαλάσσης ὥσπερ πονούσης· λέγει δέ, ὅτι τὰ κατ' ἐμοῦ παρὰ τῶν ἄλλων λεγόμενα οὐδέν μοι λυμαίνεται διὰ τὸ μὴ τούτοις ἐνέχεσθαι· ὑπέρκειμαι γὰρ πασῶν κατηγοριῶν δίκην τοῦ ἐν τῷ δικτύῳ φελλοῦ ἐπάνω τῆς θαλάσσης ἐπιφανείας διὰ τὸ κοῦφον φερο-

1 ἴκελοι π''. — 9 δὲ φαμὲν α' ι'', φαμεν π'', γάρ φαμεν Sakkelion. — 15 εἰμι om. ι''. — 20 φελλὸς ἐστιν α' ι''. — 21 ἤγουν ι''. — 23 ἅτε — θαλάσσης om. π''. — 26 κακη γοριῶν ι''. — 27 θαλάττης α' ι'' κ''.

μένου, καθελκομένου δὲ τοῦ μολίβδου εἰς τὸ βαθὺ τῆς θαλάσσης καὶ κατασπῶντος τὸ δίκτυον.

gl. 148. *λόγον.* — *ῥίψαι ἤτοι εἰπεῖν.* — 149. *ἰσχυρὸν καὶ πιστόν.* — *ἀνδράσι.* — 150. *πανοῦργον.* — *πολίτην.* — *εἰ καὶ οὐδὲν ὁ κατὰ τῶν ἀγαθῶν λόγος ἰσχύει.* — 151. *κολακευτικῶς καὶ δολίως ὑπερχόμενος.* — *πρὸς.* — *τοὺς ἀκούοντας τὴν τῶν ἀγαθῶν κατηγορίαν.* — 152. *λίαν.* — *μηχανοῤῥαφεῖ κατὰ τῶν ἀγαθῶν.*

148—152. *Ἀδύνατα δ' ἔπος] ἀδύνατα δὲ καὶ ἀδύνατον ὑπάρχει ἐκβαλεῖν καὶ ῥίψαι ἤτοι εἰπεῖν τὸν δόλιον ἀστὸν κραταιὸν καὶ ἰσχυρὸν καὶ πιστὸν ἔπος ἐν τοῖς ἀγαθοῖς· τουτέστιν ὅσα ἂν πονηρὸς κατ' ἀγαθοῦ ἐρεῖ, οὐ πιστεύεται, τῆς αὐτοῦ ἀρετῆς ἀνίσχυρον τὴν κατηγορίαν ποιούσης. ὅμως δέ, εἰ καὶ οὐδὲν ὁ αὐτοῦ λόγος ἰσχύει, σαίνων καὶ κολακευτικῶς καὶ δολίως ἄγαν ὑπερχόμενος πρὸς πάντας. πάγχυ καὶ λίαν διαπλέκει καὶ μηχανὰς ῥάπτει· τουτέστιν εἰ καὶ ὅσα κατ' ἀγαθῶν λέγει οὐ πιστεύται, ἀλλὰ τοῦ μηχανοῤῥαφεῖν οὐκ ἀφίσταται, δολίως κολακεύων τοὺς ἀκούοντας, ἵνα δοκῶν αὐτοῖς προσφιλὴς πιστεύηται. τὸ δὲ ἄγαν πρὸς τὸ σαίνων σύναπτε· τὸ δὲ πάγχυ πρὸς τὸ διαπλέκει, καὶ μὴ λέγε ἐκ παραλλήλου, ὥσπερ τινές.*

gl. 153. *αὐτῷ, τῷ πανούργῳ.* — *κοινωνῶ.* — *ἀναιδείας τῆς προσούσης αὐτῷ ὥστε τὰ αὐτὰ καὶ αὐτὸς ποιεῖν.* — *τὸν ἐμόν.* — 154. *ἐμέ.* — *πρὸς.* — *τὸν ἐμόν.* — *καθά.* — 155. *αὐτοῦ.* — *τρόπον.* — *ὑποδραμοῦμαι καὶ κρύφα τι κατ' αὐτῶν μηχανήσομαι.* — 156. *τὰ αὐτὸν βλάψοντα.* — *ἤτοι μηχανώμενος κατ' αὐτοῦ.* — *πανουργίαις καὶ μηχαναῖς κακαῖς.*

---

9 *δ' ἔπος* om. *ι''*. — *δὲ* om. *π''*. — 10 *ῥίψαι*] rectius *ῥῖψαι* Schneider. — *ῥῖψαι ἤγουν ι''*. — 12 *ἀνίσχ. τ. αὐτοῦ ἀρ. α'*. — 15 *ὑπερεχόμενος π''* corr. Semitelos. — 18 *κολακεύειν ι''*, corr. Schneider. — 18 *προσφιλῆς ι''*, corr. Schneider.

153—156. *Φίλον εἴη φιλεῖν]* λέγει, ὅτι ὁ μὲν φιλῶν με ὑπ' ἐμοῦ φιληθήσεται, πρὸς δὲ τὸν ἐχθρόν μου ὥσπερ λύκος ἔσομαι καὶ παντοίας ἐργάσομαι λάθρα κατ' αὐτοῦ μηχανάς. ἐπεὶ δὲ *ὑποθεύσομαι* εἶπεν, ἐτήρησε τὴν τροπὴν πρὸς τὸ *πατῶν* καὶ τὸ *ὁδοῖς* κατ' ἐπαναστροφὴν λέγων ἐν ὁδοῖς σκολιαῖς.

157. Pal. Ὅτι τρεῖς νόμοι τὸ παλαιόν· βασιλεία, δημοκρατία, ἀριστοκρατία. βασιλεία ὅτε ἦρχε μόνος ὁ βασιλεύς, δημοκρατία ὅτε ἦρχεν ὁ δῆμος, ἀριστοκρατία ὅτε ἦρχον οἱ ἄριστοι τοῦ λαοῦ ἤγουν σοφώτεροι τρεῖς ἢ καὶ τέσσαρες.

gl. 157. εἰς πᾶσαν πολιτείαν. — ἀληθής. — 158. ἤγουν ἰσχύει καὶ κρείττων τῶν πονηρῶν ἐστιν. — 159. ἐν μοναρχίᾳ. — χὠπόταν] λάμβανε κἀντεῦθεν τὸ *τηρέοντι* κατὰ συνεκδοχήν. — 160. ὁ σφοδρὸς καὶ πολὺς δῆμος· λέγει δὲ τὴν δημοκρατίαν. — 161. φυλάσσουσιν, ἤγουν ἐν τῇ ὀλιγαρχίᾳ.

157—161. *Ἐς πάντα δὲ νομόν]* τρεῖς εἰσι πολιτεῖαι, βασιλεία, δημοκρατία, ἀριστοκρατία. φησὶν οὖν, ὡς ἐν ταύταις ταῖς τρισὶ πολιτείαις ὁ ἀληθὴς ἀνὴρ διαλάμπει καὶ μεῖζον τῶν πονηρευομένων ἰσχύει. καὶ γὰρ οὗτος εἰπών τι κατ' αὐτῶν πιστεύεται, ἐκεῖνοι δὲ διαβάλλοντες αὐτὸν οὐ δύνανται βλάψαι. τοῦτο δὲ λέγει, ἐπειδὴ ἄνω εἶπεν· ἀδύνατα δ' ἔπος ἐκβαλεῖν κραταιὸν ἐν ἀγαθοῖς δόλιον ἀστόν. *λάβρον* δὲ *στρατόν* λέγει τὸν σφοδρὸν καὶ πολὺν δῆμον ὡς ὑπὲρ τῆς αὐτοῦ πα-

---

3 *μηχανίας* ι''. — **5** «*κατ' ἐπαναστροφοῖς* [sic ι'']) fort. *κατ' ἐπαναστροφῆς λ. ρ. ἐξ ἐπαναστροφῆς*. Quamquam ea quam rhetores dicunt *ἐπαναστροφήν*, h. l. aliena est. Sed in dictione *ὁδοῖς σκολιαῖς* repetitio quaedam inest eius, in qua est *πατέων*.» *Schneider*. — 7 Hoc scholium ego primus edidi. — **8** *δημοκρατεία, ἀριστοκρατεία*. cod. hic et infra v. 9. — **16** *ἐς α'* (hic etiam in textu) π'', *ἐν* ι'' et Semitelos ex corr. — *νομόν) ἐς πάντα δὲ νομὸν τρεῖς* etc. π''. — *τρεῖς εἰσὶ α' ι''*. — **19** *εἰπὼν τὶ α' ι''*. — **23** *τὸν πολὺν καὶ σφοδρὸν α'* (etiam contra glossam).

τρίδος μάχεται, μὴ ὄντος αὐτῇ βασιλέως, ἀλλ' αὐτὸς αὐτῆς ἄρχων. τὸ δὲ σοφοὶ λέγει, ἐπειδὴ ἐν τῇ ὀλιγαρχίᾳ οἱ ῥήτορες τὸν δῆμον ἄγουσι, καθάπερ ἦσαν ἐν Ἀθήναις νῦν μὲν Θεμιστοκλῆς καὶ Περικλῆς νῦν δὲ Μιλτιάδης καὶ Κίμων, ἄλλοτε δὲ Δημοσθένης, Αἰσχίνης, Ὑπερείδης, Ἀντιφῶν καὶ ἕτεροι.

gl. 162. πρὸς τὴν τύχην μὴ μάχεσθαι. — 163. ὑψοῖ. — ποτέ. — 164. ποτέ. — πάλιν. — 165. μεγάλην δόξαν.

161—165. Χρὴ δὲ πρὸς θεόν] Χρὴ πρὸς τὴν τύχην μὴ μάχεσθαι· ἐπειδὴ γὰρ αὕτη τοὺς μὲν εὐτυχεῖς, τοὺς δὲ δυστυχεῖς ποιεῖ, ὁ τούτοις μαχόμενος αὐτῇ μάχεται. διὸ καὶ Βακχυλίδῃ νῦν εὐτυχοῦντι οὐ δίκαιόν ἐστι μάχεσθαι.

gl. 166. ἤγουν τὰ μεταβάλλεσθαι τὰ ἀνθρώπινα. — εὐφραίνει ἐν τῷ ἀποδέχεσθαι ταῦτα. — 167. ἑξεχόμενοι καὶ αἰωρούμενοι. — 168. ἑτερορρεποῦς. — ἐνέβαλον. — τραῦμα, πληγήν. — 169. τῇ αὐτῶν. — 170. τῷ λογισμῷ. — βουλεύονται. — ἐκείνων.'

166—170. *Germ.* 'Ἀνέλκοντες ἑαυτοὺς καὶ παραβιάζοντες περισχεῖν τὰ μεγάλα καὶ μὴ εὐποροῦντες, ἐνέπηξαν τῇ ἑαυτῶν καρδίᾳ τραῦμα ὀδύνης ἐμποιητικόν, πρόσθε (ὅπερ δηλοῖ πρὸ τοῦ) ἀπορῆσαι τοῦ περισχεῖν τῇ διανοίᾳ λελαξευμένα ἐξ ὑποσάθρου τινὸς εἴδωλα λογισμῶν κερδαινόντων ἐπιζήμια. ἢ οὕτως. ὡς ἀπό τινος δὲ στάθμης περισσῆς ἑλκόμενοι ἐνέπηξαν τῇ ἑαυτῶν καρδίᾳ πρόσθεν ἕλκος ὀδυνηρὸν πρὶν ὅσα ἐν φροντίδι μητίονται τυχεῖν.

1 αὐτοῦ π''. — 5 δημ. καὶ αἰχ. ἱ.περίδης π''. — 17 In initio scholii delevi ἢ οὕτως. — 18 ἀνέπηξαν *U.* — 20 ὑποσάκρου τινος *U.* — 23 ἕλ . . . (κος periit). — 1 «Scholium Pal. C. ad hunc locum omitto, quod pars tineis comesa est.» *Boeckh.* — αὐτ . . . (15 litterarum lacuna). — 3 In cod. τράχρας scriptum esse videtur (ἰσχυρᾶς est glossa interlinearis). — φερόμενοι cod.

165—170. *Pal.* Ἀλλ' οὐδὲ οὕτως ἤγουν μὴ φιλονεικῶν αὐτοῖς τοῖς κατ' ἐμοῦ δύναμαι θεραπεῦσαι αὐτούς . . . στάθμης τραχείας ἑλκόμενοι ἐνέπηξαν τὸ ἕλκος τὸ ὀδυνηρὸν ἤγουν βέλος τῆς κακίας τῇ ἰδίᾳ καρδίᾳ πρότερον πρὶν καὶ πρὸ τοῦ τυχεῖν ὅσα βούλονται ἤγουν τρῶσαι ἡμᾶς.

166—170. Ἀλλ' οὐδὲ ταῦτα νόον γ' ἰαίνει] ἐπειδὴ ἐάν τινι καλὸν δοκῇ τι, εὐφραίνει αὐτὸν τοῦτο, διὰ τοῦτο λέγει τὸ ἰαίνει νόον ἀντὶ τοῦ οὐ καλῶς ταῦτα δοκοῦσι τοῖς φθονεροῖς, ὥστε τὸν νοῦν αὐτῶν εὐφραίνειν καὶ παύειν τῆς κακουργίας· εἰ γὰρ ἀπεδέχοντο ταῦτα, οὐκ ἂν ἦσαν τοιοῦτοι, εἰδότες, ὡς μεταβολὴν τῶν ἀνθρωπίνων ἐχόντων εἰ καὶ αὐτοὶ νῦν εὐτυχοῦσιν, ἀλλ' οὐκ εἰς ἅπαν. δέον δέ εἰπεῖν, δοκοῦντες δὲ ἕλκεσθαι ἐκ στάθμης τινὸς περισσῆς καὶ ἑτεροῤῥεποῦς, ἤτοι δοκοῦντες ἀεὶ μετ' αὐτῶν ἔσεσθαι τὴν τύχην καὶ οὐ μεταπεσεῖσθαί πρὸς ἕτερον, οὕτω δέον εἰπεῖν, ἑλκόμενοι στάθμας τινὸς εἶπεν, ὅπερ ἐκεῖνοι ὑπολαμβάνουσιν ὡς ὁμολογούμενον οὗτος εἰπών. στάθμην δὲ λέγουσι τὸ ἄνω τῆς πλάστιγγος, ἀπὸ τούτου δὲ καταχρηστικῶς καὶ ὅλην τὴν πλάστιγγα στάθμην φασί. περισσῆς δὲ λέγει, ἐπειδὴ ἡ πλέοντι τῆς ἄλλης ἔχουσα πλάστιγξ τῷ βάρει καθέλκεται· λέγει δέ, ὅτι οἱ πονηροὶ δοκοῦντες ἀεὶ εὐδαιμόνως διάξειν, ἐπιχειροῦσι βλάπτειν, οὓς ἂν ἐθέλωσιν· ἀθρόον δὲ μεταβληθέντες τῇ τύχῃ, ἐκείνους μὲν οὐδὲν ἐζημίωσαν, αὐτοὶ δ' ἐξελεγχθέντες παρὰ πάντων κατεγελάσθησαν, ὃ καὶ Βακχυλίδης πείσεται.

gl. 171. τὰ αὐτῶν κακά. — ἀθαρῶς καὶ ὑπομονητικῶς. — 172. ποταπόν; ἐπάνω τοῦ αὐχένος.

173. Ζυγὸν ἀρήγει] βοηθεῖ, ἤγουν μεγάλη βοήθειά

---

7 τινα π'', corr. Sakkelion. — 7 διατοῦτο α' ι''. — 12 εἰσάπαν α'. — 15 στάθμης π''. — 17 οὗτος α', οὕτως cett. — 19 περισσᾶς π''. — 21 διάγειν π''. — 27 βοήθεια ἐστὶν ι'', βοηθεία ἐστὶν α'.

ἐστιν, ἐάν τις ἔχῃ ἐχθρὸν εὐτυχοῦντα, ὑπομένειν τὰ παρ' ἐκείνου ἐπιόντα αὐτῷ κακά.

gl. 173. τοῦτο εἴρηται ἐκ μεταφορᾶς τῶν βοῶν. — βοηθεῖ. — πρός. — 174. λακτίζειν. — ἐστίν. — 175. ἐπικίνδυνος. — ὁδός.

175. Ὀλισθηρὸς οἶμος] τὸ γὰρ ἀντιφερίζειν τοῖς κρείττοσι βλάβη καθίσταται. ἔστι δὲ παροιμία τὸ πρὸς κέντρα λακτίζειν ἐκ μεταφορᾶς τῶν βοῶν· ἐκεῖνοι γὰρ ὄπισθεν κεντούμενοι λακτίζουσι πρὸς τὸ κέντρον καὶ ἔτι μᾶλλον πλήττονται.

175. Οὐ χρὴ γράφειν ᾄδοντα, ἀλλ' ἁδόντα. τοῦτο γὰρ ἁρμόζει τῷ μέτρῳ.

gl. 175. ἀρέσκοντα. — 176. ἀνδράσι. — συνεῖναι.

---

2 αὐτῷ π''· — 3 τοῖ τρικλ. margo ι''. — 10 ᾄδοντα ἀλλ' ἁδόντα π'', corr. Semitelos.

Aus dem Verlage von S. Calvary & Co. in Berlin.

Colluthi Lycopolitani carmen de raptu Helenae edidit E. Abel. 1880. 4 M.

Joannis Gazaei descriptio tabulae mundi et Anacreontea. Recensuit Eugenius Abel. 1882. 87 S. 2 M. 40 Pf.

Orphei Lithica. Accedit **Damigeron de lapidibus**. Ed. E. Abel. 1881. 5 M.

Scholia in Pindari Epinicia ad librorum manuscriptorum fidem edidit Eugenius Abel. Vol. II. Scholia vetera in Pindari Nemea et Isthmia continens. 1884 524 S 8. 15 M.

Aeschyli fabulae cum lectionibus et scholiis codicis Medicei et in Agamemnonem codicis Florentini ab Hieronymo Vitelli denuo collatis edidit N. Wecklein. 1885. 2 vol. XVI, 471, 316 p. 20 M.

Aristides Qvintilianvs de mvsica. Nunc primum separatim edidit, e codicibus mss. recensuit, emendavit, annotavit et commentatus est Albertus Iahnius. Pars prima Aristidis Qvintiliani de mvsica libri III. Cum brevi annotatione de diagrammatis proprie sic dictis, figuris, scholiis cet. codicum mss. Acc. II tab. lithogr. in gr. Fol. 1882 LXII, 98 S. 6 M.

Bentley, R., dissertation upon the letters of Phalaris and other critical works with introduction and notes by W. Wagner. 1874. 8 M.

Bräuning, Th. F. G., de adjectivis compositis apud Pindarum 1881. 4. 2 M. 40 Pf.

Buttmann, Ph., Lexilogus oder Beiträge zur griechischen Worterklärung, hauptsächlich für Homer und Hesiod. 2 Bde. (1. Bd. 4. Aufl., 2. Bd. 2. Aufl.). 1865–70. (7 M.) 4 M.

Democriti Abderitae operum fragmenta ed. F. G. A. Mullach. 1843 (6 M.) 4 M.

Eudemi Rhodii Peripatetici fragmenta quae supersunt coll. L. Spengel. 1866 gr. 8. Pracht-Ausgabe auf Schweizer Velinpapier in Leinwandbd. (14 M.) 6 M.

— Idem. Ed. II. 1870. Mit der vorigen genau übereinstimmende Ausgabe auf gewöhnlichem Druckpapier. 3 M.

Hilgard, A., excerpta ex libris Herodiani Technici. 1887. 38 S. 4. 2 M.

Institutionum graeca paraphrasis, Theophilo Antecessori vulgo tributa. Ad fidem librorum manu scriptorum recensuit, prolegomenis, notis criticis, versione latina instruxit E. C. Ferrini, Antecessor Ticinensis. Pars prior, in qua Prolegomena et duo libri priores continentur. Accedit epistola Zachariae a Lingethal. 1884. 512 S. 12 M.

— partis posterioris fasciculus primus. 1884. 2 M. 40 Pf.

— fasciculus secundus. 1884. 3 M.

— **Textus graecus** sine versione latina. Pars prior. 1884. XXII, 256 S. 6 M.

— partis posterioris fasciculus primus. 1886. 2 M.

Joannis Alexandrini commentarius in Nicomachi Geraseni introductionem arithmeticam; primus edidit R. Hoche. 2 partes. 1864 1867. 4. 3 M.

Leidenroth, F. B., indicis grammatici ad scholia Veneta A excerptis locis Herodianis specimen 1884, 65 S. 3 M.

Pecz, W., Beiträge zur vergleichenden Tropik der Poesie. Erster Theil: die Tropen des Aeschylus, Sophocles, Euripides. 1886. XII, 172 S. 6 M. 80 Pf.

Theognidis Megarensis reliquiae. In novum ordinem disposuit, commentationem criticam et notas adjecit F. Th. Welcker. 1876. cart. 4 M.

Druck von Martin Oldenbourg in Berlin, Adlerstr. 5.

Aus dem Verlage von S. Calvary & Co. in Berlin.

Griechische Geschichte

von ihrem Ursprunge bis zum Untergange der Selbständigkeit des griechischen Volkes.

Von

Adolf Holm.

4 Bände in ca. 20 Lieferungen à 6 Bogen. Preis der Lieferung 2 Mark.

Bis jetzt sind erschienen:

Erster Band: **Geschischte Griechenlands bis zum Ausgange des 6. Jahrhunderts v. Chr.** XII, 516 S. 10 Mk.

Zweiter Band: **Geschichte Griechenlands im 5. Jahrhundert v. Chr.** VIII, 608 S. 12 M.

Dritter Band: **Geschichte Griechenlands im 4. Jahrhundert bis zum Tode Alexander's d. Gr.** VI, 516 S. 10 M.

Vierter Band: Schluss des Werkes, erscheint voraussichtlich im Jahre 1891.

Prospectus.

Das vorliegende Werk beabsichtigt, die griechische Geschichte in vier Bänden darzustellen, von denen der erste die Zeit bis zum Ende des 6. Jahrhunderts v. Chr. behandeln wird, der zweite das 5. Jahrhundert, worauf der dritte bis zur Schlacht bei Chaeronea, der vierte endlich bis zur Zerstörung von Korinth durch Mummius gehen soll. Bei dem gegebenen äusseren Umfange des Werkes war Rücksicht auf die Auswahl des Wichtigsten dringend geboten. Diese Auswahl konnte aber, dem Zwecke des Werkes entsprechend, das eine wirkliche Geschichte sein möchte, nicht nach äusserlichen Kriterien getroffen werden; auch aus den von den Alten überlieferten Details war manches mitzutheilen, sobald der Verfasser es für besonders charakteristisch hielt.

In der Darstellung schien es zweckmässig, von der gegenwärtig am meisten beliebten Methode, nach welcher der Historiker das von ihm für wahr Gehaltene einfach als Thatsache ausspricht, abzuweichen, und den Ton der fortlaufenden Erzählung nur dann zu wählen, wenn sich der quellenmässigen Geschichte keine Bedenken in den Weg stellen oder man aus dem Zusammenhang ersieht, dass das vom modernen Autor Gebotene das Resultat subjectiven Gutdünkens ist, sonst aber deutlich darauf hinzuweisen, was die Ueberlieferung bietet, worin sie zu Bedenken Veranlassung giebt, persönliche Meinungen als solche hinzustellen, und zum Verständniss der Ueberlieferung vermuthete Details als Vermuthungen zu bezeichnen. So ist M. Duncker verfahren.

Die Anmerkungen sollten einerseits auf die wichtigsten Stellen der Alten und die wichtigsten neueren Werke aufmerksam machen, andererseits aber Fragen der Kritik und Methodik kurz behandeln.

Das Werk beruht auf einer hoffentlich genügenden Kenntniss des heutigen Standpunktes der Wissenschaft; es ist jedoch bei den äusseren Grenzen, die ihm gesteckt werden mussten, nicht möglich gewesen, dies überall in den Anmerkungen durch Citate sichtbar zu machen. Eine ausführliche Vorführung der Litteratur ist überhaupt mehr Sache eines sogenannten Handbuches. Ein Hauptzweck des Verfassers war, den sich mit der Geschichte Griechenlands selbstständig Beschäftigenden Anregung zu weiteren Forschungen zu geben; deshalb ist auf Manches, was dem Verfasser in dieser Beziehung wichtig schien, besonders hingewiesen worden, aber in möglichster Kürze. Er hat auf Gesichtspunkte, welche sich ausführlicher als richtige begründen liessen, oft nur leise hingedeutet. Der Mitforscher wird die umständlichere Behandlung nicht vermissen, welche ja ohnehin auch der trefflichsten Hypothese nicht den Charakter objectiver Richtigkeit zu geben vermag.

Näheres über die Grundsätze, welche den Verfasser leiteten, enthält die Vorrede des ersten Bandes.

Digitized by Google